# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: tro-ag

*Αἰσχύλου Σχόλια* · Aeschylus Scholia

# Scholia-Aeschylus

*Σχόλια εἰς Αἰσχύλον*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Βυζαντινὴ Ἑλληνική* Byzantine Greek
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

Ag t SCHOLIA VETERA IN AGAMEMNONEM Ἀγαμέμνονος ὑπόθεσις Ἀγαμέμνων εἰς Ἴλιον ἀπιὼν τῆι Κλυταιμήστραι, εἰ πορθήσοι τὸ Ἴλιον, ὑπέσχετο τῆς αὐτῆς ἡμέρας σημαίνειν διὰ πυρσοῦ. [1]

Ag hyp (t) ὅθεν σκοπὸν ἐκάθισεν ἐπὶ μισθῶι Κλυταιμήστρα ἵνα τηροίη τὸν πυρσόν. καὶ ὁ μὲν ἰδὼν ἀπήγγειλεν, αὐτὴ δὲ τῶν πρεσβυτῶν ὄχλον μεταπέμπεται περὶ τοῦ πυρσοῦ ἐροῦσα ἐξ ὧν καὶ ὁ χορὸς συνίσταται· οἵτινες ἀκούσαντες παιανίζουσιν. μετ' οὐ πολὺ δὲ καὶ Ταλθύβιος παραγίνεται καὶ τὰ κατὰ τὸν πλοῦν διηγεῖται. Ἀγαμέμνων δ' ἐπὶ ἀπήνης ἔρχεται· εἵπετο δ' αὐτῶι ἑτέρα ἀπήνη, ἔνθα ἦν τὰ λάφυρα καὶ ἡ Κασσάνδρα. αὐτὸς μὲν οὖν προεισέρχεται εἰς τὸν οἶκον σὺν τῆι Κλυταιμήστραι, Κασσάνδρα δὲ προμαντεύεται, πρὶν εἰς τὰ βασίλεια εἰσελθεῖν, τὸν ἑαυτῆς καὶ τοῦ Ἀγαμέμνονος θάνατον καὶ τὴν ἐξ Ὀρέστου μητροκτονίαν καὶ εἰσπηδᾶι ὡς θανουμένη, ῥίψασα τὰ στέμματα. τοῦτο δὲ τὸ μέρος τοῦ δράματος θαυμάζεται ὡς ἔκπληξιν ἔχον καὶ οἶκτον ἱκανόν. ἰδίως δὲ Αἰσχύλος τὸν Ἀγαμέμνονα ἐπὶ σκηνῆς ἀναιρεῖσθαι ποιεῖ, τὸν δὲ Κασσάνδρας σιωπήσας θάνατον νεκρὰν αὐτὴν ὑπέδειξεν, πεποίηκέν τε Αἴγισθον καὶ Κλυταιμήστραν ἑκάτερον διισχυριζόμενον περὶ τῆς ἀναιρέσεως ἑνὶ κεφαλαίωι, τὴν μὲν τῆι ἀναιρέσει Ἰφιγενείας, τὸν δὲ ταῖς τοῦ πατρὸς Θυέστου ἐξ Ἀτρέως συμφοραῖς. ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους ὀλυμπιάδι ὀγδοηκοστῆι ἔτει β'. πρῶτος Αἰσχύλος Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῶι. ἐχορήγει Ξενοκλῆς Ἀφιδναῖος. τὰ τοῦ δράματος πρόσωπα· φύλαξ, χορός, ἄγγελος, Κλυταιμήστρα, Ταλθύβιος κῆρυξ, Ἀγαμέμνων, Κασσάνδρα, Αἴγισθος. MVGF προλογίζει δὲ ὁ φύλαξ, θεράπων Ἀγαμέμνονος. GF θεράπων Ἀγαμέμνονος ὁ προλογιζόμενος, οὐχὶ ὁ ὑπὸ Αἰγίσθου ταχθείς. [20]

Ag 1 M 〈φρουρᾶς ἐτείας μῆκοσ〉 ] τῶν κατὰ τὸ μῆκος τῆς ἐτείας φρουρᾶς.

Ag 2a M 〈μῆκος δ' ἦν〉 ] ἦν ἐπὶ μῆκος κοιμώμενος.

Ag 2b M τῶν κατὰ τὸ μῆκος τῆς ἐτείας φρουρᾶς· ἐπὶ μῆκος δὲ ἦν κοιμώμενος.

Ag 2c F μῆκος] ἐπὶ μακρὸν λέγω.

Ag 2d F κοιμώμενος] ἀνακλινόμενος.

Ag 2e F [+] ἀστείως εἴρηται τὸ κοιμώμενος οὐκ ἐπὶ ὕπνου—πῶς γὰρ ἂν καὶ φρουροῖ καὶ ἄστρα βλέποι ὁ ὑπνῶν; —ἀλλ' ἐπὶ ἀνακλίσεως ἁπλῶς ἵνα εἴη ὁ φύλαξ οὗτος κοιμώμενος καθὰ καὶ κύων ἐν φυλακῆι νυκτερινῆι.

Ag 2f

F 〈κυνὸς δίκην〉] πρὸς τὸ φυλακτικὸν καὶ φιλοδέσποτον· τὸ δὲ ἄγκαθεν κατὰ συγκοπὴν ἀντὶ τοῦ ἀνέκαθεν, τουτέστιν ἄνωθεν ἐξ ἀρχῆς.

Ag 3a M ἄγκαθεν] ἀνέκαθεν, ἄνωθεν ἐξ ἀρχῆς.

Ag 3b F κυνὸς δίκην] διὰ τὸ φυλακτικὸν καὶ φιλοδέσποτον.

Ag 3c F δυνάστας] τοὺς δυναμένους παρὰ τὰ ἄλλα σημᾶναι τοὺς καιρούς.

Ag 6 MF φθίνωσιν] δύνωσιν.

Ag 7 F φυλάσσω] μηνύω.

Ag 8 F φέρουσαν] τήν.

Ag 9 F βάξιν] φήμην.

Ag 10a F κρατεῖ] ἤγουν κρατεῖται.

Ag 10b F 〈ἀνδρόβουλον κέαρ〉] τὸ μείζονα ἢ κατὰ γυναῖκα βουλευόμενον, γενναῖον· ἢ κατὰ ἀνδρὸς βουλευομένης.

Ag 11a M ἀνδρόβουλον κέαρ] τὸ μείζονα ἢ κατὰ γυναῖκα βουλευόμενον, γενναῖον· ἢ κατὰ ἄνδρα βουλευόμενον.

Ag 11b F ἐλπίζον] ἐλπίδα ἔχον.

Ag 11c F εὖτ' ἂν] ὁπότε δὲ φυλάσσω.

Ag 12a F δὲ] γε.

Ag 12b F 〈γὰρ〉] ἢ περισσὸς ὁ γάρ, ἢ λείπει τὸ ἀλύω.

Ag 14a M παραστατεῖ] ἔρχεται.

Ag 14b F ἀείδειν] λέγειν.

Ag 16a F μινύρεσθαι] κλαίειν.

Ag 16b F ἀντίμολπον] τὸ ἐναντιούμενον πρὸς τὸν ὕπνον.

Ag 17 F 〈οἴκου〉] οἴκου διαπονουμένου οὐκ ἄριστα ὡς τὸ πρόσθεν.

Ag 18 M διαπονουμένου] οἰκονομουμένου τοῦ οἴκου.

Ag 19 F ὀρφναίου] σκοτεινοῦ.

Ag 21 F [+] δεῖ διαστήματος ὀλίγου, εἶτα ἀνακραγεῖν ὡς θεασάμενον τὸν πυρσόν.

Ag 22a τὸ δὲ νυκτὸς ἀντὶ τοῦ ἐκ νυκτὸς ἡμέραν ἡμῖν διδούς. F δεῖ διαστήματος ὀλίγου, εἶτα ἀνακραγεῖν ὡς θεασάμενον τὸν πυρσόν.

Ag 22b M 〈νυκτὸς ἡμερήσιον〉] ἐκ νυκτὸς ἡμέραν ἡμῖν διδούς.

Ag 22c M τορῶς] μεγαλοφώνως.

Ag 26 M 〈ἐπαντείλασαν〉] ὡς ἐπὶ ἄστρου ἢ σελήνης.

Ag 27a M ἐπαντείλασαν] ἐγερθεῖσαν.

Ag 27b F ὀλολυγμὸν] εὐχὴν παρὰ τοῖς παλαιοῖς.

Ag 28 F πρέπει] διαπρεπῶς σημαίνει.

Ag 30a M πρέπει] διαπρεπής ἐστιν.

Ag 30b F φροίμιον] πρὸ τῆς Κλυταιμήστρας.

Ag 31 MF θήσομαι] οἰκειώσομαι.

Ag 32 MF 〈τρὶς ἓξ〉] καὶ παροιμ(ία)· ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβο ι.

Ag 33a M παροιμία τὸ τρὶς ἓξ βάλλειν ἐπὶ τῶν ἄκρως εὐτυχούντων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ag 33b F ⟨βοῦς ἐπὶ γλώσσηι⟩ ] ἢ βάρος ἐπίκειται ἢ φοβοῦμαι ζημίαν ἐπικεισομένην μοι.

Ag 36-37 M βοῦς] παροιμ(ία) ἐστὶν ἐπὶ τῶν ἀλάλων ἢ ἀντὶ τοῦ βάρος ἐπίκειται ἢ φοβοῦμαι ζημίαν ἐπικεισομένην μοι.

Ag 36 F μαθοῦσιν αὐδῶ] τὴν μοιχ(είαν) τῆς Κλυταιμήστρας.

Ag 39 F ἐπεὶ] ἀφ' οὗ.

Ag 40 F ἀντίδικος] ἀντὶ τοῦ ἐχθρὸς ἀπὸ τῶν ἐν ταῖς δίκαις ἐχθρῶν.

Ag 41 M ⟨ἐκ θυμοῦ κλάζοντεσ⟩ ] οὐ γὰρ γλώσσηι, ἀλλ' ἔργωι θυμούμενοι.

Ag 48a M κλάγξαντες] βοήσαντες.

Ag 48b F Ἄρη] Ἀττικῶς· κοινῶς δὲ Ἄρην.

Ag 48c F ⟨οἵτ' .

Ag 50-54 .. ὀλέσαντεσ⟩ ] οἵτινες ὕπατοι ὄντες ὀλέσαντες δὲ τὸν πόνον τῶν ὀρταλίχων τῶν ἐν τοῖς δεμνίοις τηρουμένων ἐπὶ τῶν λεχέων στροφοδινοῦνται. M ἐκπατίοις] τοῖς ἔξω τῆς ὁδοῦ.

Ag 50a M ἐκπατίοις] ἐκπατίοις λεχέων ἀντὶ τοῦ ἔξω τῆς αὐτῶν οἰκίας.

Ag 50b F παίδων] [αἰχμαλώτων] F ἐρεσσόμενοι] ἀντὶ τοῦ πετόμενοι.

Ag 52 F ὀρταλίχων] τῶν μηδέπω πετομένων νεοττῶν.

Ag 54a M ὀρταλίχων] [τῶν αἰχμαλώτων].

Ag 54b F Πὰν] ὁ ὄρειος.

Ag 56 MF ⟨τῶνδε μετοίκων⟩ ] ὑπὲρ τῶν μετοικισθέντων νεοσσῶν.

Ag 57a M ὑπὲρ τῶν μετοικισθέντων νεοσσῶν πέμπει τοῖς παραβᾶσι καὶ μετοικίσασιν αὐτοὺς ὕστερον τιμωρίαν.

Ag 57c F ⟨μετοίκων⟩ ] τῶν αἰχμαλώτων.

Ag 57d F ⟨παραβᾶσιν⟩ ] τοῖς παραβήσασι καὶ μετοικίσασιν αὐτούς.

Ag 59 M ⟨πολυάνοροσ⟩ ] πολλοὺς μνηστῆρας ἐσχηκυίας.

Ag 62 M ⟨γυιοβαρῆ⟩ ] βαρέα καὶ μὴ ἐῶντα ἀνανεῦσαι τοὺς πίπτοντας.

Ag 63 M ⟨διακναιομένησ⟩ ] διακναιούσης.

Ag 65a M ⟨προτελείοισ⟩ ] κυρίως ταῖς πρὸ γάμου θυσίαις, νῦν δὲ ταῖς πρὸ τῆς ἁλώσεως μάχαις.

Ag 65b M προτελείοις] πρὸ τῆς ἁλώσεως.

Ag 65c F κάμακος] δόρατος.

Ag 66 F ⟨ἔστι δ'⟩ ] καὶ τὸ μὲν ὥς κε πέλε ι , τὼς ἔστα ι.

Ag 67 M ⟨ὑποκαίων⟩ ] λείπει τὸ τίς.

Ag 69 M ⟨ἀπύρων ἱερῶν⟩ ] τῶν θυσίων τῶν Μοιρῶν καὶ τῶν Ἐρινύων ἃ καὶ νηφάλια καλεῖται.

Ag 70 M ἀτίται] βλάβην ἔχοντες ἀπὸ τοῦ γήρως.

Ag 72a F παλαιᾶι] γήραι.

Ag 72b F ⟨χώραι⟩ ] τῶι τόπωι ἐκείνωι.

Ag 78 M φυλλάδος] κόμης.

Ag 79 F κατακαρφομένης] ξηρανθείσης.

Ag 80 F ἡμερόφαντον] ὡσανεὶ ὄναρ ὁ γέρων.

Ag 82a F ⟨ἀλαίνει⟩ ] ἀλᾶται.

Ag 82b M ⟨τί χρέοσ⟩ ] διὰ τί; M ἤγουν δι' ἐπιστολῆς θυσίαν πέμπεις.

Ag 87a F δώροις] θυσίαις.

Ag 91a F φλέγονται] λάμπουσι.

Ag 91b F φαρμασσομένη] βαπτομένη.

Ag 94a F χρίματος] τοῦ ἐλαίου.

Ag 94b MF πελάνωι] σκοτεινῶι.

Ag 96a F 〈μυχόθεν〉 ] λείπει κομιζομένωι.

Ag 96b M παιών] θεραπευτής.

Ag 99 F τοτὲ μὲν] ἔσθ’ ὅτε μέν.

Ag 100 M ἀγανὰ] πραέα.

Ag 101 F ἀμύνει] ἀποσοβεῖ.

Ag 102a F 〈τὴν θυμοβόρον〉 ] ἥτις ἐστὶ θυμοβόρος λύπη τῆς φρενός.

Ag 102b M κύριος] δυνατός εἰμι εἰπεῖν τὸ συμβὰν αὐτοῖς σημεῖον ἐξιοῦσιν.

Ag 104a M κύριος] δυνατός εἰμι εἰπεῖν τὸ συμβὰν αὐτοῖς σημεῖον ἐξιοῦσι.

Ag 104b τὸ δὲ ὅδιον ἀντὶ τοῦ ἐνδοξότατον. F ὅδιον] τὸ ἐν τῆι ὁδῶι ὀφθέν.

Ag 104c MF 〈ἔτι γὰρ〉 ] πείθει γάρ με ἡ παρὰ θεῶν πίστις μέλπειν καὶ λέγειν ὅτι εὖ πράξουσιν οἱ Ἀτρεῖδαι ὅσον ἀπὸ τοῦ σημείου.

Ag 105-110 M 〈ἔτι γὰρ〉 ] ὁ γὰρ σύμφυτός μοι αἰών, ὅ ἐστι τὸ γῆρας, διὰ τὴν εἰς θεοὺς πειθὼ μολπήν μοι καὶ ἀλκὴν καταπνεῖ· ὅ ἐστιν εἰ καὶ γέρων εἰμὶ ὅμως μέλψω τὰ γεγονότα· πέποιθα γὰρ ὅτι εἰς πέρας αὐτὰ ἄξουσιν οἱ θεοί.

Ag 105-107 M 〈Ἀχαιῶν .

Ag 109-110 .. τὰν γᾶν〉 ] τοὺς κρατοῦντας τὴν Ἑλληνικὴν ἥβην [καὶ] τὴν ὁμόφρονα περὶ τὰ τακτικά. λέγει δὲ τοὺς Ἀτρείδας. M πράκτορι] τῶι δίκην εἰσπραξομένωι.

Ag 111 M 〈ὅ τ’ ἐξόπιν〉 ] ὁ ἐξοπίσω λευκός, ὅ ἐστιν ὁ πύγαργος.

Ag 115a M ἀργίας] εἶδος ἀετοῦ.

Ag 115b F ἴκταρ] ἐγγύς.

Ag 116 F 〈ἐκ δοριπάλτου〉 ] ἐκ δεξιᾶς, ὅ ἐστιν εὐσυμβόλως.

Ag 117 M ἕδραισιν] τοῖς βασιλείοις.

Ag 118 MF λαγίναν γέννα ν· τὸν λαγωόν.

Ag 119a M 〈ἐρικύμονα〉 ] πολυκύμονα.

Ag 119b M ἐρικύμονα] πολύτοκον.

Ag 119c F γένναν] τὴν τῶν λαγωῶν γένναν λέγει.

Ag 119d F 〈βλαβέντα〉 ] πρὸς τὸ σημαινόμενον τὸ βλαβέντ α.

Ag 120 M 〈αἴλινον .

Ag 121 .. εἰπέ〉 ] ἐπειδὴ ὁ αἴλινος καὶ ἐπὶ θρήνου λέγεται, φησὶν ὅτι ἐν τάξει ὕμνου αὐτὸν λέγε. M στρατόμαντις] ὁ Κάλχας.

Ag 122a F λήμμασι] κρατήμασι.

Ag 122b F ἐδάη] ἤγουν εἰκόνισεν εἶναι τοὺς δύο ἀετοὺς τοὺς δύο Ἀτρείδας.

Ag 123 F λαγοδαΐτας] ἀετούς.

Ag 124 F τεράιζω ν· τὰ τέρατα διηγούμενος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ag 125a M τεράιζων] τὸ τέρας ἑρμηνεύων.

Ag 125b F κτήνη · κτήματ α.

Ag 129a M δημιοπληθῆ] δημόσια.

Ag 129b F 〈οἷον .

Ag 131-134 .. στρατωθέν〉 ] μόνον μὴ προτυπὲν ὑπὸ θεῶν τὸ στρατωθὲν τῆς Τροίας στόμιον, ὅ ἐστι τὸ ἐπὶ [βλάβηι] Τροίας στρατευθέν, ἄτηι σκοτίσηι. M 〈ἄτα〉 ] βλάβη.

Ag 131 M στρατωθέν] στρατῶι κυκλωθέν.

Ag 135 F 〈οἴκωι .

Ag 135-138 .. ἀετῶν〉 ] τῶι γὰρ οἴκωι τῶν κυνῶν Διός, ὅ ἐστι τῶν ἀετῶν, ὀργίζεται Ἄρτεμις διὰ τὸ κύοντα τὸν λαγὼν ἀποκτεῖναι· λοχία γάρ ἐστιν ἡ θεός. M αὐτότοκον] σὺν αὐτῶι τῶι τόκωι.

Ag 137 M πτάκ α· τὸν λαγωόν.

Ag 138 M δρόσοις] τοῖς νεογνοῖς· χωρὶς δ ’ αὖ τ ’ ἔρσαι · ἀέπτοις δὲ τοῖς ἕπεσθαι τοῖς γονεῦσι 〈μὴ〉 δυναμένοις.

Ag 141 M 〈τούτων〉 ] τὰ σύμβολα αἰτεῖ με φάναι τούτων δεξιὰ μὲν διὰ τὴν νίκην, ἐπίμομφα δὲ διὰ τὸν χόλον Ἀρτέμιδος.

Ag 144 M στρουθῶν] τῶν ἀετῶν.

Ag 145 M 〈Παιᾶνα〉 ] ὡς μάντις.

Ag 146 M 〈τεύξηι〉 ] ὦ Ἄρτεμι.

Ag 151 M ἄδαιτον] ἣν οὐδεὶς ἔδαισεν.

Ag 152a M σύμφυτον] συγγενικήν.

Ag 152c M δεισήνορα] οὐ φοβουμένην τὸν ἄνδρα ἢ τὴν οὐ δείσασαν τὸν ἄνδρα.

Ag 154a MF παλίνορτος] ἡ ἐξ ὑστέρου ὁρμωμένη.

Ag 154b M 〈ἀγαθοῖσ〉 ] διὰ τὴν νίκην.

Ag 156 M ὁμόφωνον] ὁμοφώνως.

Ag 158 M Ζεὺς ὅστι ς· διάφορος γάρ ἐστιν ἡ περὶ τοῦ θείου δόξα.

Ag 160 M 〈εἰ τόδε μάταν〉 ] εἰ τὸ τῆς ματαιότητος 〈ἄχθοσ〉 ὀφείλει τις ἀποσείσασθαι τῆς γνώμης, Δία νομιζέτω.

Ag 165 M 〈βρύων〉 ] διὰ τοὺς Τιτᾶνας.

Ag 169 M 〈ὃς δ’〉 ] ὁ Τυφῶς.

Ag 171a M τριακτῆρο ς· νικητοῦ ἐκ μεταφορᾶς τῶν ἐν τοῖς πεντάθλοις ἀποτριαδιζόντων.

Ag 171b M 〈ἐπινίκια〉 ] ἐπὶ ἐλπίδι νίκης.

Ag 174 M 〈τὸ πᾶν〉 ] ὁλοσχερῶς φρόνιμος ἔσται.

Ag 175 M 〈πάθει μάθοσ〉 ] παθὼν δέ τε νήπιος ἔγν ω.

Ag 177a M 〈πάθει〉 ] τῶι παθόντι.

Ag 177b M 〈στάζει〉 ] τῶι ἁμαρτάνοντι τοῦτο συμβαίνει.

Ag 179 M σέλμα] τὸν ζυγόν· ὑψίζυγος γὰρ ὁ Ζεύς.

Ag 183 M 〈ὁ πρέσβυσ〉 ] μείζων γὰρ Μενελάου.

Ag 184 M 〈οὔτινα〉 ] περισσεύει τὸ τιν ά.

Ag 186 M 〈ἐμπαίοισ〉 ] ἐμπαισάσαις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ag 187a M συμπνέων] συμφωνῶν.

Ag 187b M ⟨κεναγγεῖ⟩ ] νηῶν ἐξέφθιτο ἤια πάντ α.

Ag 188 M ⟨ἔχων⟩ ] ἀντὶ τοῦ ἐχόμενος.

Ag 190 M ⟨κακόσχολοι⟩ ] ἐπὶ κακῶι ποιοῦσαι σχολάζειν.

Ag 193 M ⟨ἄλαι⟩ ] καὶ δὴ ἄγρην ἐφέπεσκον ἀλητεύοντε ς.

Ag 194 M ⟨ναῶν .

Ag 195 .. ἀφειδεῖσ⟩ ] καὶ δὴ δοῦρα σέσηπε νεῶ ν. M τρίβωι] διατριβῆι.

Ag 197 M ⟨βριθύτερον⟩ ] ἐπαχθέστερον.

Ag 200 M ⟨ἄναξ δ'⟩ ] τὸ ἑξῆς· ἐπεὶ δὲ πικροῦ, ἄναξ ὁ πρέσβυς τόδ' εἶπεν.

Ag 205 M ⟨κὴρ⟩ ] τιμωρία.

Ag 206 M ⟨τέκνον⟩ ] πλείων οἶκτος ⟨ *** ⟩ διὰ τὸ τέκνο ν.

Ag 208 M ὀργᾶι] τῶι τρόπωι· γρ(άφεται) αὐδᾶι, ὁ μάντις δηλονότι.

Ag 215 M περιόργως] ἐπιθυμητικῶς.

Ag 216 MF εὖ γὰρ εἴη] καλῶς ἀποβαίη.

Ag 217 M ⟨ἔδυ⟩ ] ἀντὶ τοῦ ἠναγκάσθη [τὸ] ποιεῖν.

Ag 218 M τροπαίαν] μεταβολήν.

Ag 219 M ⟨τόθεν .

Ag 220-221 .. μετέγνω⟩ ] ὅθεν ἔγνω πάντα τοὺς ἀνθρώπους τολμᾶν, ἀπὸ τῆς ἀνάγκης δηλονότι. M αἰσχρόμητις] αἰσχρὰ ποιεῖν ἀναγκάζουσα.

Ag 222 M ⟨παρακοπὰ⟩ ] τοῦ νοῦ παρακοπή· πρωτοπήμων δὲ ἡ μείζων τῶν ἄλλων πημάτων.

Ag 223 M ⟨λιτὰς .

Ag 228-230 .. βραβῆσ⟩ ] καὶ τὰς λιτὰς δέ, ἃς ἐποιεῖτο πρὸς τὸν πατέρα, παρ' οὐδὲν ἡγήσαντο ⟨διὰ⟩ τὴν ζωὴν αὐτῆς. M ⟨περιπετῆ⟩ ] περιεσκεπασμένην.

Ag 233 M ⟨προνωπῆ⟩ ] προνενευκυῖαν.

Ag 234a M ἀέρδην] βαστακτικῶς.

Ag 234b M καλλιπρώιρου] εὐμόρφου.

Ag 235 M ⟨βίαι⟩ ] τῆι βίαι καὶ τῶι ἀναύδωι μένει τῶν χαλινῶν τῶν μὴ ἐώντων αὐτὴν λαλεῖν.

Ag 238 M ⟨ἐν γραφαῖσ⟩ ] διὰ τὸ κάλλος ἢ διὰ τὸ ἀφωνητεῖν.

Ag 242 M ⟨ἀταύρωτοσ⟩ ] ἄζευκτος, παρθενική.

Ag 244a M ⟨εὔποτμον⟩ ] ζηλωτὸν ἐποίει δι' ἑαυτὴν τὸν πατέρα.

Ag 246 M ⟨οὔτ' ἐννέπω⟩ ] διὰ τὸ ἀπάνθρωπον εἶναι τὴν σφαγήν.

Ag 248 M ⟨τοῖς μὲν .

Ag 250-252 .. τὸ μέλλον⟩ ] τοῖς μὲν πεπονθόσιν ἡ δίκη δίδωσι τὸ μαθεῖν· δίκην γὰρ δόντες μανθάνουσι τὸ μέλλον. M ⟨προχαιρέτω⟩ ] σύναπτε τὸ προχαιρέτω εἰς τὸ προκλύει ν.

Ag 252 F τορὸν] φανερόν.

Ag 254a M ⟨τορὸν γὰρ ἥξει⟩ ] τὸ πεπρωμένον φανερὸν ἥξει.

Ag 254b M ⟨εὔπραξισ⟩ ] εὐπραγία.

Ag 255 M ⟨ἄγχιστον⟩ ] τὸ συγγενικόν.

Ag 256 M ⟨μονόφρουρον⟩ ] ἐπειδὴ μόνοι γέροντες ἐφύλασσον τὴν Ἑλλάδα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ag 257 M 〈ἐρημωθέντοσ〉] παρόντος μέντοι οὐ δεῖ συντυγχάνειν αὐτῆι 〈***〉.

Ag 260 M 〈φθόνοσ〉] εἰ μὴ θέλεις εἰπεῖν, οὐ μεμψαίμην ἄν.

Ag 263 M ἡ παροιμία] ὁ παλαιὸς λόγος.

Ag 264 M 〈γένοιτο〉] γένοιτο καλὴ 〈ἡ〉 ἡμέρα ὥσπερ ἡ νύξ.

Ag 265 M ἦ] ὄντως.

Ag 269 F 〈μὴ δολώσαντος θεοῦ〉] εἰ μή τις θεός με ἀπατᾶι.

Ag 273 M βριζούσης] νυσταζούσης.

Ag 275 F ἄπτερος] ἰσόπτερος, κούφη.

Ag 276a MF Ἴδης] ὄρος.

Ag 281 F 〈Ἴδη μὲν〉] κοινὸν τὸ ἔπεμψε ν.

Ag 283a M Ἑρμαῖον] ὄρος Λήμνου ἐν ὧι ἐτιμᾶτο ὁ Ἑρμῆς.

Ag 283b F Ἑρμαῖον] ὄρος Λήμνου.

Ag 283c M φανό ν· τὴν λαμπάδα.

Ag 284 M νωτίσαι] ὑπερβῆναι.

Ag 286b M ἰσχύ ς· πυρός.

Ag 287 M 〈πεύκη〉] μεγίστη πεύκη.

Ag 288 M Μάκιστο ν· ὄρος Εὐβοίας.

Ag 289 MF 〈ὁ δ’〉] ὁ τόπος.

Ag 290 M Μεσσάπιο ν· ὄρος μεταξὺ Εὐβοίας καὶ Βοιωτίας.

Ag 293a M Μεσσαπίου] ὄρος.

Ag 293b F θωμό ν· σωρόν.

Ag 295 MF 〈καίουσα〉] ἡ τοῦ Κιθαιρῶνος.

Ag 301 M Αἰγίπλαγκτον] ὄρος Μεγαρίδος.

Ag 303 M Σαρωνικοῦ] κόλπος περὶ Τροιζῆνα.

Ag 306a M Σαρωνικοῦ] κόλπος.

Ag 306b F 〈κάτοπτρον〉] τὸ κατόψιον.

Ag 307 M Ἀραχναῖον] ὄρος Ἄργους.

Ag 309 MF οὐκ ἄπαππον] οὐ ξένον, ἀλλὰ συγγενές.

Ag 311 F ὄξος] λείπει τὸ ὡς.

Ag 322 F γάγγαμον] δίκτυον.

Ag 361a F φλεόντων] φλυαρούντων.

Ag 376 F πρόστριμμα] κακίαν.

Ag 396 F ἄτιμος] πολύτιμος.

Ag 412 F ἀχηνίαις] ἀπορίαις.

Ag 418 F ψύθος] ψεῦδος.

Ag 478 F ἐφήλωσε] ἠπάτησε.

Ag 492 F παγώνιος] ἤγουν ἀπόμαχος.

Ag 512 F ἀγωνίους] τοὺς ἅμα ἑνὶ τόπωι ἱδρυμένους.

Ag 513a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

F τιμάορον] βοηθόν.

Ag 514 F ἀντήλιοι] οἱ εἰς ἀνατολὴν ὁρῶντες.

Ag 519 F μακέλληι] σπάθηι.

Ag 526 F τοῦ ῥυσίου] τοῦ ῥύσασθαι τοὺς Τρῶας.

Ag 535 F ἔθρισεν] ἐθέρισεν.

Ag 536 F θἀμάρτια] τὸν μισθὸν τῆς ἁμαρτίας.

Ag 537 F σπαρνὰς] σπανίους.

Ag 556 F ἄφερτον] βαρύν.

Ag 564 F οὐκ ἀναίνομαι] 〈ἀλλὰ〉 χαίρω ἐν τῶι μὴ ἀντιλέγειν.

Ag 583 F πλουτίζειν] μεταδιδόναι μοι τῆς χαρᾶς.

Ag 586 F ἐξαγισθέντας] ἐξορισθέντας.

Ag 641 F ἀκασκαῖον] λίαν κεκοσμημένον.

Ag 741 F ἐναισίμως] προσηκόντως.

Ag 916 F ἅβρυνε] καλλώπιζε.

Ag 919 F ποδοψήστρων] δι’ ὧν οἱ πόδες δηλονότι καλλωπίζονται.

Ag 926 F καρβάνωι] βαρβάρωι.

Ag 1061 F 〈ἐξαφρίζεσθαι〉] ἀπὸ τῶν στρηνιώντων ὑποζυγίων, ἃ οὐκ εἴκοντα τῶι χαλινῶι ἀφρίζει μετὰ αἵματος.

Ag 1067 ἢ ἐπεὶ αὕτη οὐ πείθεται πρὶν αἵματός μου τὴν ψυχὴν ἐξαφρίσαι, ἀντὶ τοῦ πρὶν ὀργισθῆναί με αὐτῆι. M δ ᾶ· γῆ Δωρικῶς ὅθεν καὶ Δημήτηρ οἷον γημήτηρ.

Ag 1072 M προαναφωνεῖ τὰ ἐσόμενα.

Ag 1076 M 〈ἀπόλλων〉] ὁ ἀπολλύων με παρὰ τὴν ὁμωνυμίαν.

Ag 1081 M 〈τὸ δεύτερον〉] ἐκείνην γὰρ ἀπώλειαν μόνως ὁρίζομαι τὴν τῆς δουλείας, οὐ τὴν νῦν.

Ag 1082 δεύτερον δέ, δεύτερόν με ἀπολέσας οὐ μετὰ καμάτου. M μισόθεον] ἄθεον, θεοστυγές.

Ag 1090 M 〈καρτάναι〉] ἀντὶ τοῦ ἀγχόνηι.

Ag 1091a M ἀρτάναι] ἀγχόναι.

Ag 1091b F 〈ἔοικεν〉] ἔοικεν ὡς κύων εὔρις ἀναζητεῖν εἰ γέγονεν ἐνθάδε παλαιὸς φόνος.

Ag 1093 M 〈μαρτυρίοισι〉] φαντάζεται γὰρ ὁρᾶν τὰ σώματα τῶν ἀνηιρημένων παίδων Θυέστου.

Ag 1095 M 〈προφήτασ〉] τοὺς λέξοντας ἡμῖν περὶ σοῦ· αὐτοὶ γὰρ αὐτόπται γινόμεθα.

Ag 1099 M ἀλκὰ] τὸν Ὀρέστην φησί.

Ag 1103a MF ἐκεῖνα] τὰ περὶ Θυέστου.

Ag 1106 MF ση(μείωσαι).

Ag 1109 M 〈προτείνει〉] διαδέχονται δὲ ἀλλήλους τοῖς ὀρέγμασι τῶν χειρῶν Αἴγισθος καὶ Κλυταιμήστρα.

Ag 1110 M ἐπαργέμοι ς· τοῖς τυφλοῖς καὶ ἀσήμοις ἀπὸ τῶν λευκώματα ἐχόντων ὀφθαλμῶν.

Ag 1113 M 〈τόδε〉] φαντάζεται τὸν χιτῶνα.

Ag 1114 M 〈ἡ ξύνευνοσ〉] ἡ σύνευνος τοῦ Ἀγαμέμνονος αἰτία ἔσται τοῦ φόνου.

Ag 1116 M 〈στάσισ〉] ἡ στάσις, φησίν, ἐπολολύξαι μέλλει ἐπὶ τῆι λεωργῶι Κλυταιμήστραι, ἡνίκα ἀπόληται· παρὰ τὸ αἱ δ ’ ὀλόλυξαν θυγατέρες τε νυοί τε καὶ αἰδοίη παράκοιτι ς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ag 1117 M κέληι] ἀντὶ τοῦ λέγεις.

Ag 1119 MF 〈οὔ με φαιδρύνει〉 ] οὐ σεσαφήνισται.

Ag 1120 M 〈σταγὼν〉 ] ἡ σταγὼν τὸ αἷμα.

Ag 1122 M ξυνανύτει] συμπληροῦται τοῦ βίου δύνοντος ταῖς αὐγαῖς σου, μηκέτι ὁρῶντος [ταῖς αὐγαῖς].

Ag 1123a M ξυνανύτει] συμπληροῦται.

Ag 1123b F ἄπεχε] τίς ἂν ἀποστήσειεν αὐτῆς τὸν Ἀγαμέμνονα, ὅπως ἂν μὴ ἀπόληται; M μηχανήματι] τῆς μελαγκέρου βοός.

Ag 1127a M 〈λαβοῦσα〉 ] τὸν μελάγκερων ταῦρον λαβοῦσα τῶι μηχανήματι τῶι διὰ τῶν πέπλων τύπτει· ἐὰν δὲ γράφηται μελαγκέρωι 〈μελαγκέρωι〉 μηχανήματι τύπτει, ἀντὶ τοῦ κεκρυμμένωι.

Ag 1127b M 〈οὐ κομπάσαιμ’ ἂν〉 ] οὐκ ἀλαζονεύομαι μάντις ἄκρος 〈εἶναι〉 ἐπιγιγνώσκων τὰ θέσφατα, ὅμως δὲ στοχάζομαί τι κακὸν ἀποβήσεσθαι.

Ag 1130 M ἀπὸ δὲ θεσφάτων] γνωμολογῶν φησι τοῦτο· ἐνίοτε γὰρ καὶ ἐπ’ ἀγαθοῖς οἱ χρησμοὶ γίνονται, ὡς δὲ ἐπὶ τὸ πολὺ μοχθηρὰ χρησμωιδοῦσιν.

Ag 1132 ἢ τὸ ὅλον ἐπὶ τῶν χρησμῶν Κασσάνδρας· ἀπὸ τούτων τῶν θεσπισμάτων τίς ἀγαθὴ φάτις γίνεται; βροτοῖς δὲ τοῖς ἐγχωρίοις. M διὰ] διὰ τὰ προσόντα κακὰ τοῖς εἰσερχομένοις καὶ τὰ λεγόμενα φοβερά.

Ag 1133a M 〈κακῶν γὰρ〉 ] παρὰ τὸ λεγόμενον ἐν τῆι συνηθείαι· πρὸς μάντιν οὐδεὶς εὐτυχὴς ἀπέρχετα ι.

Ag 1133b M ἐπεγχέασα] συναναμίξασα τῶι τοῦ Ἀγαμέμνονος καὶ συγκεράσασα.

Ag 1137 M τί γάρ] τί γὰρ ἄλλο; M ἀμφὶ] περὶ σεαυτῆς ἄτοπα φθέγγηι.

Ag 1140 M 〈νόμον ἄνομον〉 ] τὸ ἑξῆς· θρηνεῖς νόμον ἄνομον ἀμφιθαλῆ κακοῖς.

Ag 1142a M 〈νόμον ἄνομον〉 ] ὠιδὴν ἀηδῆ· παρὰ τὸν κιθαριστικὸν δὲ νόμον φησί.

Ag 1142b M 〈ἀηδὼν〉 ] τοῦτο ἡδομένη τῆι μεταμορφώσει τῆς ἀηδόνος φησί.

Ag 1145 M 〈κλαυμάτων ἄτερ〉 ] εἰ γὰρ καὶ ἐν ὄρνισιν οὖσα θρηνεῖ φωνῆι μόνηι καὶ οὐ θρήνοις.

Ag 1148 M ἀμφήκει δορί] τῶι πελέκει.

Ag 1149 M 〈ματαίουσ〉 ] διὰ τὸ δυστυχῆ μαντεύεσθαι ἢ διὰ τὸ προειδέναι τὰ δεινὰ ἀνωφελῶς.

Ag 1151 M δυσφάτωι κλαγγᾶι] ἀσαφεῖ, αἰνιγματώδει.

Ag 1153 M 〈θεσπεσίασ〉 ] τῆς μαντικῆς.

Ag 1154 M ἠνυτόμα ν· ηὐξόμην.

Ag 1159 M μισθὸν] μνείαν.

Ag 1261 F σὲ] ὦ στολή.

Ag 1266 F δυσοίζω] δυσχεραίνω.

Ag 1316 F ἐπιξενοῦμαι] φιλιοῦμαι.

Ag 1320 F τιμαόροις] τιμωροῖς.

Ag 1324 F ση(μείωσαι) ὅλον.

Ag 1328-1330 G πεπαιτέρα] ὡριμωτέρα, γλυκυτέρα.

Ag 1365a F πεπαιτέρα] ἡδύτερος, φησίν, ὁ θάνατος τῆς τυραννίδος.

Ag 1365b F ἐδανὸν] βρωτόν.

Ag 1408a F ῥύσας] γηραιᾶς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ag 1408b F φλεόντων] πληθυνόντων.

Ag 1416 F παροψόνημα] τὴν ἐκ περιουσίας τρυφήν.

Ag 1447 F ἔποικτον] ἐλεεινόν.

Ag 1614 F σημ(είωσαι).

Ag 1629 G σὺν γυνὴ] σοὶ δηλονότι.

Ag 1644 F τύχην] τὸν οἰωνὸν δηλονότι.

Ag 1653 F SCHOLIA VETERA IN CHOEPHOROS πρέπουσα] κοσμηθεῖσα.

Ch 13b νέον] ἀντὶ πῆμα νέον 〈 *** 〉. προστροπή] ἱκέτις πρόσοδος.

Ch 22 ἰαλτὸς] ὑπὸ Κλυταιμήστρας πεμφθεῖσα. ἐπεὶ προΐαλλε συβώτη ς. συνκύπτωι] ἀντὶ κοπετῶι.

Ch 23b συνκύπτωι] ὅπως ἐναγίζουσα κόψωμαι καὶ θρηνήσω. πρέπει] διαφαίνεται.

Ch 25 ἄλοκι] αὔλακι, τομῆι. βόσκεται] ἀντὶ τοῦ τρέφομαι τῶι θρήνωι.

Ch 27-31 〈λινοφθόροι ... πεπληγμένων〉] τὸ ἑξῆς· οἱ δὲ στολισμοὶ τῶν ὑφασμάτων πρὸς τοῖς στέρνοις λινοφθόροι λακίδες ἐρράγησαν. 〈λινοφθόροι〉] τὰ λίνα διαφθείρουσαι.

Ch 29 ὑπ’ ἄλγεσι] ἀντὶ ὑπὸ τῶν κοπετῶν. τορὸς] σαφής.

Ch 32b 〈ὀρθότριξ〉] ὀρθοῦσθαι ποιῶν τὰς τρίχας. ἐξ ὕπνου] ἀντὶ τοῦ δι’ ὕπνου.

Ch 33b 〈ὀνειρόμαντισ〉] δι’ ὀνείρων τοῖς δόμοις μαντευόμενος. ἀωρόνυκτον] κατὰ τὸ μεσονύκτιον.

Ch 35a 〈μυχόθεν〉] ἐκ τῶν τῆς καρδίας μυχῶν. περὶ φόβωι] περισσῶς τῶι φόβωι.

Ch 35c 〈ἔλακε〉] ἀναλακεῖν καὶ βοῆσαι τὴν Κλυταιμήστραν ἐποίησεν ὁ σαφὴς Φοῖβος δι’ ὀνείρων μαντευόμενος. γυναικείοισιν ἐν δώ ( μασι ν)· οἱονεὶ τοῖς ἐστερημένοις τοῦ κουριδίου ἀνδρός.

Ch 39a ὑπέγγυοι] ἀληθεῖς, θεοφόρητοι. ὑπέγγυο ι· τὴν ἀπόφασιν ἐγγυώμενοι ἢ ἐκ θεῶν ἠσφαλισμένοι τὴν μαντείαν.

Ch 40 περιθύμως] ὑπερβαλλόντως. 〈τοῖς κτανοῦσι〉] τοῖς ὀργιζομένοις νεκροῖς ἄχαριν ἢ ἐμοὶ ἀηδῶς ὑπηρετούσηι αὐτῆι.

Ch 44 〈ἰὼ γαῖα μαῖα〉] ὦ γῆ μήτηρ· τοῦτο δὲ διὰ μέσου ἀναπεφώνηται. μωμένα] ζητοῦσα.

Ch 46 〈δύσθεος γυνά〉] δεῖ νοεῖν ὅτι τὸ δύσθεος γυνὰ ἠρέμα πως ἐφθέγξατο. διό φησι φοβοῦμαι δ ’ ἔπος τό δ ’ ἐκβάλλει ν. 〈ἀνήλιοι〉] οὓς οὐδὲ ἥλιος ἐπίδοι διὰ τὸ Ἀγαμέμνονος μύσος.

Ch 55 〈σέβας δ’ ἄμαχον〉] ἑκούσιον σέβας· τὸ μὴ ἐκ φόβου ἀλλὰ ἐξ αἰδοῦς αὐτοῖς γινόμενον. τοῦτο δὲ θέλει εἰπεῖν ὅτι ἡ αἰδώς, ἣν περὶ Ἀγαμέμνονος εἶχον οἱ δῆμοι, νῦν εἰς φόβον ἐτράπη. ἐκεῖνον γὰρ ἠιδοῦντο καὶ ἐφίλουν, τοῦτον δὲ φοβοῦνται ὡς τύραννον διατελούμενον. 〈δι’ ὤτων〉] φιλοῦντες γὰρ αὐτὸν οὐδὲ ἀκούειν ἠνείχοντο κατ’ αὐτοῦ.

Ch 57 δαμίας] τῆς δημοσίας, τῆς τοῦ δήμου. φοβεῖται] ἀντὶ τοῦ ἕκαστος φοβεῖται φθέγξασθαι.

Ch 60 γνωμικῶς. 〈ῥοπὴ .

Ch 61-66 .. νύξ〉] ἡ δὲ τῆς δίκης ῥοπὴ τοὺς μὲν ἐπισκοπεῖ ταχέως καὶ ἀμύνεται, ἄλλοις δὲ ἐν ἀμφιβόλωι ἐᾶι τὴν τιμωρίαν οὐκ ἀθρόως αὐτοὺς ἀμυνομένη, ὥστε τοὺς ἠδικημένους ὑπ’ αὐτῶν λυπεῖσθαι, ἄλλους δὲ σκότος καλύπτει, ὡς μηδ’ ὁρᾶσθαι ὑπ’ αὐτῆς· ὅμως ὁ φόνος πέπηγεν καὶ οὐ διαρρεῖ, ἀλλ’ ἐπέξεισιν ἑαυτόν. τοῖς μὲν] ἀντὶ τοὺς μέν. [5]

Ch 62b 〈ἐν φάει〉] φανερῶς. 〈τὰ δ’〉] ὅσα δὲ ὑπερτίθεται, ταῦτα σύν τε μεγάλωι ἀπέτισα ν.

Ch 64 βρύει] ἀνθεῖ. 〈ἄκραντος .

Ch 65 .. νύξ〉] ἀντὶ αἰώνιος θάνατος. δι’ αἵματ’] διὰ τὰ αἵματα.

Ch 67a τίτας] ὁ τιμωρός. οὐ διαρρύδαν] ἀντὶ οὐ διαρρέων.

Ch 68a ⟨διαλγὴς ἄτη⟩ ] ἡ διαιωνίζουσα ἄτη, τουτέστιν ὁ φόνος. διαφέρει] διασπαράσσει.

Ch 69a παναρκέτα ς· τῆς εἰς πάντα τὸν χρόνον ἀρκούσης αὐτῶι. ⟨βρύειν⟩ ] λείπει τὸ ὥστε.

Ch 70 ⟨τοὺς δ’ … νύξ⟩ ] τοῦτο ὥσπερ ἐπαιδόμενόν ἐστι. νυμφικῶν ἑδω ( λίω ν)· τὸ γυναικεῖον αἰδοῖον λέγει.

Ch 71b ⟨θιγόντι⟩ ] ὥσπερ τῶι ἐπιβάντι νυμφικῆς κλίνης οὐκ ἔστιν ἴασις πρὸς ἀναπαρθένευσιν τῆς κόρης, οὕτως οὐδὲ τῶι φονεῖ πάρεστι πόρος πρὸς ἄκεσιν τοῦ φόνου. ⟨ἐκ μιᾶς ὁδοῦ⟩ ] πάντες οἱ ποταμοὶ εἰς ἓν συνερχόμενοι.

Ch 74 ⟨ἰοῦσαν ἄτην⟩ ] ἀντὶ τῆς ἐπιούσης αὐτῶι ἄτης. Ἀττικὸν δὲ τὸ πρὸς αἰτιατικὴν συντάσσειν, καθαίρω σε τὸν φόνον· τὸ δὲ κοινόν, καθαίρω σε τοῦ φόνου. ⟨ἐμοὶ .

Ch 75–81 .. κρατούσηι⟩ ] τὸ ἑξῆς· ἐμοὶ δὲ πρέποντα καὶ ὀφειλόμενά ἐστιν ἀπ’ ἀρχῆς βίου τὰ τῶν βίαι με φερομένων αἰνέσαι πικρὸν φρενῶν στύγος κρατούσηι· ἀνάγκην γάρ μοι οἱ θεοὶ προσήνεγκαν, ⟨ὅ ἐστι πόλεμον⟩ . ἀμφίπτολι ν.

Ch 75 τὴν ἐκ διαφόρων πόλεων ἀνάγκην [ὅ ἐστι πόλεμον], ὡς ἀμφιμάτορας κόρους φησὶ ὁ Εὐριπίδης· ἐκ διαφόρων γὰρ πόλεων ἦσαν οἱ Ἕλληνες. μὴ δίκαια] εἴτε δικαίως εἴτε μή.

Ch 78 ἔστι δὲ παροιμ(ία)· δοῦλε δεσποτῶν ἄκουε καὶ δίκαια κἄδικ α . πρέπον τ ’ ἀρχὰς βίο υ· πρέποντά μοί ἐστι καὶ ὀφειλόμενα, ἐξότε τοῦτον ἐπανήιρημαι τὸν βίον, τὰ τῶν πρὸς βίαν κεκτημένων ἐπαινέσαι, καλυπτούσηι τὴν κατ’ αὐτῶν ἀποστύγησιν καὶ μηδὲ παρρησίαι τὸν δεσπότην κλαιούσηι.

Ch 80–81 ⟨πικρὸν … στύγοσ⟩ ] τουτέστι μὴ ἐκφαινούσηι τὸ μῖσος τὸ κατὰ Κλυταιμήστρας. ⟨ματαίοισι .

Ch 81–82 .. τύχαισ⟩ ] ἐπὶ ματαίαις τύχαις. εὐθήμονε ς· τουτέστιν ὑπηρέτιδες εὖ τιθεῖσαι τὰ κατὰ τὸν οἶκον.

Ch 87 κηδείους] συγγενικάς. ⟨εὔφρον’⟩ ] λείπει λόγον.

Ch 91 τῶνδ’] τῶν λόγων. πέλανον] πᾶν τὸ ἐπιθυόμενον οὕτω καλοῦσιν.

Ch 94 τάδε] ἀντὶ τοῦ τὰς χοάς. ⟨τῶν κακῶν⟩ ] παρ’ ὑπόνοιαν· ἔδει γὰρ τῶν καλῶν εἰπεῖν.

Ch 97 ⟨γάποτον χύσιν⟩ ] ἐπεξηγήσατο τί εἰσιν ἃ φέρει διὰ τοῦ γάποτον χύσι ν. στείχω καθάρμα τ ’ ὥστις ἐκπέ ( μψα ς)· τοῦτο πρὸς τὸ παρ’ Ἀθηναίοις ἔθος, ὅτι καθαίροντες οἰκίαν ὀστρακίνωι θυμιατηρίωι ῥίψαντες ἐν ταῖς τριόδοις τὸ ὄστρακον ἀμεταστρεπτεὶ ἀνεχώρουν.

Ch 98b πάλι ν· εἰς τοὐπίσω ἀναχωρήσω. ἀστρόφοισιν ὄμμα ( σι ν)· τὸ ἑξῆς οὕτως· δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασι στείχω πάλιν, καθάρματα ὥς τις ἐκπέμψας.

Ch 99 δικοῦσα] πρὸς τὸν Ἀθήνησιν νόμον. ἔστε] γίνεσθε· ἀναδέξασθε τὴν αἰτίαν τῆς βουλῆς.

Ch 100b μεταίτιαι] ἀντὶ τοῦ σύμβουλοι. ⟨κεύθετ’⟩ ] τὴν βουλήν.

Ch 103 ⟨τὸ μόρσιμον⟩ ] ἀντὶ τοῦ οὐδὲν πείσεσθε παρὰ τὸ μόρσιμον. ⟨τῶνδ’⟩ ] τῶν ὑπ’ ἐμοῦ ἀνωτέρω λελεγμένων.

Ch 107 ⟨λέξω⟩ ] λέξω σοι τὸν ἐκ φρενὸς λόγον, αἰδουμένη τὸν Ἀγαμέμνονος τύμβον ὡς βωμόν. ⟨φθέγγου⟩ ] χέουσα τὰς χοὰς εὖξαι ἀγαθὰ τοῖς εὖ φρονοῦσι, τῶι Ἀγαμέμνονι δηλονότι.

Ch 110a ⟨τούτουσ⟩ ] τοὺς εὖ φρονοῦντας αὐτῶι. προσεννέπω] ὀνομάσω.

Ch 111 ⟨αὑτὴν⟩ ] σεαυτὴν κἀκεῖνον δηλονότι, ὅστις Αἴγισθον στυγεῖ. ⟨φράσαι⟩ ] σὺ σκόπησον τίς στυγεῖ Αἴγισθον· οὐκ ἐμὸν γὰρ εἰπεῖν.

Ch 114 ⟨τῆιδε … στάσει⟩ ] τῆι συστάσει ἡμῶν. ⟨δικαστὴν ἢ δικηφόρον⟩ ] κριτὴν ἢ τιμωρόν· ὅ ἐστιν ἀκουσόμενον τοῦ πράγματος, ἢ πρὸ ἀκοῆς τὴν τιμωρίαν ἐπάξοντα ὡς ἀναμφιβόλου ὄντος τοῦ κακοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ch 122 καὶ ταῦτα] καὶ τὸ ταῦτα εἰπεῖν παρὰ θεῶν ὅσιά μοι κρίνεται; ⟨ἐπισκόπουσ⟩ ] νῦν τί ἐπισκόπους; ⟨θρέψασα⟩ ] θρέψασα ἡ γῆ τὸν σπόρον τοῖς ἐπιοῦσι καρποῖς ἀπ' αὐτοῦ κύημα λαμβάνει.

Ch 131a πῶ ς· ἵνα. πῶς] ἀντὶ τοῦ ὅπως.

Ch 131c ἀνάξομεν] βασιλεύσομεν. πεπραγμένοι] νενικημένοι, κατηγωνισμένοι.

Ch 135 ἀντίδουλο ς· ἰσόδουλος, ἐν δούλης τάξει. ὑπερκόπως] ὑπερηφάνως.

Ch 137 ⟨χλίουσιν⟩ ] τρυφῶσιν. ⟨τοῖς δ' ἐναντίοισ⟩ ] τοῖς δὲ ἐχθροῖς σου λέγω σε φανῆναι τιμωρόν.

Ch 145 ⟨ἐν μέσωι⟩ ] ἐν κεφαλαίωι, ἐν ὑποθέσει τίθημι. ἴσθι] ἀντὶ τοῦ ἔσο.

Ch 150 ⟨ἐπανθίζειν⟩ ] στέφειν ὡς ἄνθεσιν. ⟨παιᾶνα⟩ ] ⟨σημείωσαι⟩ ὅτι ἐπὶ ἀποθανόντος παιᾶνα εἶπεν καθὼς καὶ Εὐριπίδης· παιᾶνα τῶι κάτωθεν ἀσπόνδωι θεῶ ι.

Ch 152a καναχὲς] ἠχητικόν. ⟨καναχὲσ⟩ ] καναχηδὸν δακρύετε.

Ch 154a ἔρυμα] τὸν τάφον. ⟨πρὸς ἔρυμα τόδε⟩ ] τὸ ἑξῆς· ἐκκεχυμένων χοᾶν πρὸς ἔρυμα τόδε ἵετε δάκρυ ἄγος ἀπεύχετον—τὸ δάκρυ γὰρ ἀπευκτὸν ἄγος εἶπεν—ἀπότροπον τῶν ἡμετέρων κακῶν καὶ τῶν ἀγαθῶν τῶν ἐχθρῶν.

Ch 157 ⟨ἀμαυρᾶσ⟩ ] τῆς ἀσθενοῦς ὡς πρὸς σύγκρισιν Ἠλέκτρας ἢ ὅτι σκιὰ οἱ νεκροί. ⟨δόμων⟩ ] τῶν ἐν τοῖς δόμοις κακῶν.

Ch 162a ⟨ἐν ἔργωι ... πιπάλλων⟩ ] σὺν ἔργωι πάλλων· ὅ ἐστι μὴ μόνον φέρων ἀλλὰ ⟨καὶ⟩ πράττων. ⟨ἐν ἔργωι⟩ ] ἐν τῶι ἔργωι, ἐν τῶι βάλλειν.

Ch 163a αὐτόκωπ (α)· τὰ ἀφ' ἑαυτῶν ἔχοντα τὴν λαβὴν ξίφη· σχέδια δὲ ἐκ τοῦ σχεδὸν φονεύοντα καὶ οὐ πόρρωθεν ὥσπερ τὰ βέλη. ⟨σχέδια⟩ ] [γρ(άφεται)] ἕτοιμα.

Ch 165 ⟨τῶν ἄνω τε καὶ κάτω⟩ ] ὡς ἐν μέσωι ἱδρυμένων. ⟨ὀρχεῖται⟩ ] λίαν κινεῖται.

Ch 173 ⟨ἐχθροὶ⟩ ] λείπει τὸ εἰσίν. ὅδ ε· ὁ πλόκαμος.

Ch 174b ⟨ὁμόπτεροσ⟩ ] συγγενής. ⟨κλυδώνιον⟩ ] κίνησις τῆς χολῆς τῆς κατ' αὐτήν.

Ch 184 ⟨βέλει⟩ ] ὡς βέλει ἐκρούσθην ἐξ ἐναντίας τιτρώσκοντι. ⟨δίψιοι⟩ ] ποθειναί μοι ⟨ἢ⟩ πρώην ἄρρευστοι, ὡς δίψιον Ἄργος τὸ ποτὲ ἄνυδρον.

Ch 190 ⟨οὐδαμῶς ἐπώνυμον⟩ ] οὐκ ἄξιον τοῦ ὀνομάζεσθαι ὑπὸ τῶν τέκνων ἑαυτῆς μήτηρ. ⟨φρόνημα⟩ ] τὸ δύσθεον φρόνημα οὐδαμῶς ἐπώνυμον μητρὸς πεπαμένη.

Ch 192 ⟨ἐγὼ δ'⟩ ] λείπει οὐκ ἔχω. ⟨σαίνομαι⟩ ] παραμυθοῦμαι.

Ch 195 εἶχε φωνὴν] ὁ πλόκαμος δηλονότι. δίφροντις] διχογνώμων.

Ch 196b ⟨'κινυσσόμην⟩ ] ἐφανταζόμην· κίνυγμα γὰρ τὸ εἴδωλον. ε ὖ· ἀντὶ τοῦ ἀκριβῶς.

Ch 197b ἀποπτύσαι] μισῆσαι. ⟨ἄγαλμα⟩ ] λείπει ἡ εἰς.

Ch 202a ⟨ναυτίλων δίκην⟩ ] τρόπωι ναυτῶν. ⟨δίκηι⟩ ] ⟨σημείωσαι⟩ ὅτι κατὰ δοτικὴν δίκηι.

Ch 203 ⟨εἰ δὲ χρὴ⟩ ] ἀντὶ τοῦ εἰ Ὀρέστου ἐστὶν ὁ πλόκαμος, γένοιτ' ἂν ἐκ μικρᾶς προφάσεως μέγα ἀγαθόν. ⟨καὶ μὴν⟩ ] τὸ ἑξῆς· καὶ μὴν δεύτερον τεκμήριον.

Ch 205b ⟨στίβοι⟩ ] οἱ ἐν τῆι γῆι τύποι τῶν ποδῶν. ⟨τοῖς τ' ἐμοῖσιν ἐμφερεῖσ⟩ ] ἐπειδὴ ἄδηλον τίσιν ὅμοιοι, ἐπήγαγε τοῖς γ ' ἐμοῖσιν ἐμφερεῖ ς.

Ch 209 ⟨τενόντων⟩ ] τὴν εἰς μῆκος τῶν ποδῶν ἔκτασιν τένοντάς φησιν. ⟨ὠδὶσ⟩ ] ἀλγηδὼν καὶ λύπη καὶ ὥσπερ ὠδίνω τὰ παρόντα.

Ch 214 ⟨ἐπεὶ τί ... κυρῶ⟩ ] ἐπειδὴ τί νῦν λαμβάνω ἐκ δαιμόνων; τίνος γὰρ ἤδη ἐπέτυχον ἀπὸ θεῶν ὅτι εἶπες τὰ λοιπά; ⟨ἐκπαγλουμένην⟩ ] ἐκπάγλως θαυμάζουσαν.

Ch 218

Eulogikon public reading copy · View original HTML at eulogikon.org

⟨τυγχάνω⟩ ] ἐπέτυχον. ⟨δυσμαθεῖσ⟩ ] ἀπιστεῖς.

Ch 226 ⟨κηδείου⟩ ] τῆς ἐπὶ κηδείαι τετμημένης. ⟨συμμέτρου⟩ ] παραπλησίου.

Ch 231 ⟨ὕφασμα⟩ ] οὐ πάντως ἐν τῶι νῦν χιτῶνι, ἀλλ' εἰκὸς αὐτὸν ἔξωθεν ἔχειν παιδικὸν σπάργανον. ⟨θήρειον γραφήν⟩ ] παρὰ τὸ ἐν προτέροισι πόδεσσι κύων ἔχ ε.

Ch 236 ⟨δακρυτὸσ⟩ ] ἢ ὅτι παρ' ἐλπίδας ὤφθη ἢ ὅτι φανεὶς δάκρυα αὐτῆι ἐκίνησεν. ⟨δ '⟩ ] ὁ δὲ ἀντὶ τοῦ γάρ.

Ch 240-241 ⟨τὸ μητρὸς ... ἐχθαίρεται⟩ ] ἐν σοὶ ὁρῶ μητέρα στεργομένην, αὕτη δὲ ἀπέχθεταί μοι. ⟨τῆς ὁμοσπόρου⟩ ] ἀπὸ κοινοῦ τὸ εἰς σέ μοι στέργηθρο ν.

Ch 246 θεωρὸς] θεατής. ⟨γένναν⟩ ] ἡμᾶς δηλονότι.

Ch 249 ⟨τοὺς ἀπωρφανισμένουσ⟩ ] ἀντὶ τοῦ ἡμᾶς. ⟨οὐ γὰρ ἐντελεῖσ⟩ ] οὐκέτι γέννα ἐντελὴς ὥστε τὴν πατρώιαν θήραν προσάγειν τῆι καλιᾶι.

Ch 256 ⟨πόθεν⟩ ] ἐὰν ἀποκτείνει ἡμᾶς. ⟨εὔθοινον⟩ ] εὔθυνον διὰ τοῦ υ τὸ δίκαιον σημ(αίνει), διὰ δὲ τῆς οι καλὴν εὐωχίαν ἔχον γέρας, παρὰ τὴν θοίνην.

Ch 258 ⟨αἰετοῦ γένεθλ'⟩ ] ὅς τέ οἱ αὐτῶι φίλτατος οἰωνῶ ν. ⟨ἀρήξει⟩ ] ἀντὶ ἐπιμελήσεται τῶν βωμῶν.

Ch 262-263 ⟨κόμιζ'⟩ ] καθ' ἑαυτὸ ἀντὶ τοῦ σῶζε ἡμᾶς. δύνασαι γὰρ ἀπὸ σμικρᾶς αἰτίας ἀνοικοδομῆσαι τὸν πεσόντα δόμον. ⟨ἀπαγγελεῖ⟩ ] μὴ δυνάμενος ἐχεμυθεῖν.

Ch 268a ἐν κηκῖδι] ἐν ἀναδόσει φλογὸς ἰσχυρᾶι. ⟨πισσήρει⟩ ] καιόμενα γὰρ τὰ ξύλα πίσσαν ἀνίησιν.

Ch 271 ⟨ἐξορθιάζων⟩ ] ἀνατεταμένα βοῶν. ⟨ταυρούμενον⟩ ] ἢ ἐμὲ ζημίαν μεμφόμενον ἢ Αἴγισθον τὸν μὴ ζημιωθέντα ποινὴν ἐπὶ τῶι φόνωι τοῦ πατρός.

Ch 276 αὐτό ν· τὸν Ἀγαμέμνονα ἔφασκε τελεσιουργεῖν. ⟨τὰ μὲν .

Ch 278-290 .. λυμανθὲν δέμασ⟩ ] τοὺς μὲν γὰρ πολίτας λοιμώξειν ἐκ γῆς ἔφασκεν πρὸς ἀφοσίωσιν Ἀγαμέμνονος ὡς μὴ ἐκδικήσαντας, ἡμᾶς δὲ σωματικῶς φθαρῆναι. ⟨δυσφρόνων μειλίγματα⟩ ] τῶν ἐχθρῶν μειλίγματα· αἱ κολάσεις γὰρ τῶν ἀδικούντων μειλίγματά εἰσι τῶν ἀδικηθέντων.

Ch 281 ⟨ἀρχαίαν φύσιν⟩ ] τὴν ὑγιᾶ καὶ ἐξ ἀρχῆς οὖσαν ἡμῖν. ⟨λευκὰς δὲ κόρσασ⟩ ] ἢ μέχρι γήρως ἀτυχήσομεν ἢ παραυτὰ γηράσομεν.

Ch 282a παρὰ τὸ αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγη( ράσκουσι ν). κόρσας] τρίχας.

Ch 285 ⟨ὁρῶντα⟩ ] τὸν ἐν σκότωι νῦν κινοῦντα τὴν ὀφρῦν λαμπρῶς ἡμᾶς ἐπεξιέναι ἔλεγεν. ⟨τὸ .

Ch 286 .. βέλοσ⟩ ] ἡ νόσος. ⟨ἐκ προστροπαίων⟩ ] ἐκ τοῦ Ἀγαμέμνονος ἱκετεύοντος τοὺς θεοὺς ἐκδικήσεως τυχεῖν.

Ch 290 ⟨λυμανθὲν δέμασ⟩ ] λυμανθέντα. ⟨εἶναι μετασχεῖν⟩ ] ἀπὸ κοινοῦ τὸ ἔφασκε ν.

Ch 294 ⟨συλλύειν⟩ ] συγκαταλύειν, συνοικεῖν. ⟨ταριχευθέντα⟩ ] καὶ ὁ Σώφρων· τὸ γῆρας ἄμμε μαραῖνον ταριχεύε ι.

Ch 297 ⟨τοιοῖσδε ... πεποιθέναι⟩ ] κατὰ ἀπόφασιν ἀναγνωστέον. ⟨κεἰ μὴ πέποιθα⟩ ] καὶ εἰ μὴ διὰ τοὺς χρησμοὺς ἀλλὰ διὰ τὰ ἄλλα.

Ch 304 ⟨δυοῖν γυναικοῖν⟩ ] ὑπὸ Αἰγίσθου καὶ Κλυταιμήστρας. ⟨τῆιδε⟩ ] τούτωι τῶι τρόπωι εἴη ἀποβῆναι.

Ch 308a ἧι] καθάπερ. μεταβαίνει] ἐπινεύει.

Ch 309 ⟨ἀντὶ μὲν ἐχθρᾶς ... ἐχθρὰ⟩ ] τοῦτο προστάσσει ἡ δίκη· ἀντὶ λοιδορίας γὰρ λοιδορίαν, ἀντὶ πληγῆς πληγήν. ⟨τινέτω⟩ ] ὁ φονεύσας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ch 315 ⟨αἰνόπατερ⟩ ] δεινὰ παθών. ⟨ἕκαθεν οὐρίσασ⟩ ] μακρόθεν οὐριοδρομήσας εἰς τὸν σὸν τάφον, ὅ ἐστιν ἀπὸ Φωκίδος ἐλθών.

Ch 317 ἄλλως· πόρρωθέν σου ἀφοριζόμενος. σὺ μὲν γὰρ ἐν σκότωι, ἐγὼ δὲ ἐν τῶι φωτί. ⟨σκότωι .

Ch 319-322 .. Ἀτρείδαισ⟩ ] ἐναντίον μὲν τὸ φῶς τῶι σκότωι, τουτέστι πολὺ τὸ μεταξὺ τῶν ζώντων καὶ τεθνεώτων. ὅμως δὲ τοῖς προσθοδόμοις Ἀτρείδαις ὁ γόος ὁ εὐκλεὴς ὁμοίως χάριτες κέκληνται. ⟨χάριτεσ⟩ ] χάριτας δὲ νεκρῶν πάντες φασὶ τὸν γόον.

Ch 322a προσθοδόμο ι· ἱκέται. ⟨προσθοδόμοισ⟩ ] τοῖς πρότερον ἐσχηκόσι δόμον.

Ch 322b νῦν γὰρ οὐκ εἰσὶ δόμοι· φροῦδα γὰρ τά δ ’ ἤδ η. ⟨οὐ δαμάζει⟩ ] τουτέστιν οὐ συναναλίσκεται τῶι σώματι ἡ ψυχικὴ δύναμις.

Ch 325 ⟨ἡ μαλερὰ γνάθοσ⟩ ] ἡ γνάθος συνήθης ὡς ὁ κρημνὸς λέγει Πίνδ(αρος) καὶ ἡ ἠχὼ Σιμωνί(δης). ὀργὰς] ἣν ἔχει ὀργὴν ἡ ψυχὴ ὕστερον φανεροποιεῖ.

Ch 327 ⟨ὀτοτύζεται⟩ ] δεῖ δὲ ὅμως τὸν ἀποθανόντα θρηνῆσαι. ⟨ματεύει⟩ ] ὅμως οὐκ ἠρεμεῖ ἡ ψυχή· ζητεῖ γὰρ παντελῶς ταρασσομένη τὴν ἐκδίκησιν.

Ch 330b ματεύει] ζητεῖ τὸ ἀντιτιμωρεῖσθαι. ἀμφιλαφὴς] ἀντὶ τοῦ πολύς.

Ch 332a ἔξω. μέρει] κατὰ διαδοχὴν ὡς καὶ τοῦ ἀδελφοῦ.

Ch 334 ἔσω. ⟨ἱκέτασ⟩ ] ἱκέτην μὲν ἐμέ, φυγάδα δὲ Ὀρέστην.

Ch 336 πληθυντικῶς δὲ ἑκάτερον εἶπεν ἀντὶ ἑνικοῦ. οὐκ ἀτρίακτος] οὐκ ἀνίκητος, ἀλλὰ νενικημένη ὑπὸ τῶν ἐχθρῶν· ἀπὸ τῶν παλαιστῶν οἳ ἀποτριάζονται ὑπὸ τῶν ἀντιπάλων.

Ch 340 ⟨θεὸς χρήιζων⟩ ] ὁ χρησμωιδῶν Ἀπόλλων. νεοκρᾶτα · κρατῆρα νεοκρήτου τ ’ εἰσεπιλειβομένη ς.

Ch 344b ⟨νεοκρᾶτα⟩ ] Ὀρέστην τὸν νεωστὶ συγκραθέντα ἡμῖν. οἱ δὲ νεκροκρᾶτα, τὴν ἐπὶ νεκρῶι σπονδήν. ⟨νεοκρᾶτα⟩ ] νεωστὶ κεκραμένον· λείπει κρατῆρα.

Ch 345 ἔξω. κελεύθοις] ταῖς προσόδοις.

Ch 350 ⟨ἐπιστρεπτὸν⟩ ] ⟨ζηλωτὸν⟩ ὡς τοὺς ὑπαντῶντας ἐπιστρέφεσθαι πρὸς θέαν ἡμῶν. ⟨πολύχωστον⟩ ] [ζηλωτὸν καὶ] ὑπὸ πολλῶν κεχωσμένον.

Ch 353a ⟨δώμασιν⟩ ] ἐν τοῖς οἰκοδομήμασι τῆς Τροίας. εὐφόρητον] τάφον εὐτυχῆ· φορὰ γὰρ ἡ τύχη.

Ch 354a ἔσω. ⟨φίλοσ⟩ ] πρὸς τὸ πολύχωστον εἶχες τάφον ἀπέδωκεν ὁ χορός.

Ch 359 ⟨τυράννων⟩ ] Πλούτωνος καὶ Περσεφόνης. ⟨μόριμον λάχοσ⟩ ] τὴν ἐκ Μοιρῶν βασιλείαν κεκληρωμένην ἔχων.

Ch 362 ⟨βάκτρον⟩ ] [τὸ] τὸ σκῆπτρον τὸ τοὺς ἀνθρώπους πειθοῖ μᾶλλον ἢ βίαι διατάττον. ⟨μηδ’ .

Ch 363-364 .. φθίμενοσ⟩ ] γυναικικῶς οὐδὲ τούτωι ἀρέσκεται, ἀλλὰ τῶι μηδὲ τὴν ἀρχὴν ἀνῃρῆσθαι. ⟨πάτερ⟩ ] ἀπέστρεψε τὸν λόγον πρὸς τὸν πατέρα αὐτοῦ.

Ch 366 ⟨τεθάφθαι⟩ ] λείπει τὸ ὤφειλες. τοῖς ἐκείνων.

Ch 368b ⟨δαμῆναι⟩ ] λείπει τὸ ὄφελον. ⟨πρόσω⟩ ] πρὸ τοῦ ἀποθανεῖν τὸν πατέρα.

Ch 370b ⟨τινὰ⟩ ] ἐμέ. ὑπερβορέου] ὑπερορίου.

Ch 373b ὑπερβορέου τύχη ς· τῆς ἄγαν πνεούσης. ⟨μείζονα φωνεῖσ⟩ ] ῥάιδιον γὰρ τὸ εὔχεσθαι.

Ch 375-376 ⟨διπλῆς ... ἱκνεῖται⟩ ] διπλῆι μάστιγι ἐπλήγημεν. μαράγνης] μάστιγος.

Ch 376 ⟨τῶν μὲν ἀρωγοὶ⟩ ] ἡμῶν οἱ σύμμαχοι οἱ περὶ Ἀγαμέμνονα. ⟨στυγερῶν τούτων⟩ ] τοῦτο ἰδίαι ἀναπεφώνηται τῶν ἄγαν στυγερῶν τούτων.

Ch 378

τοῦτο δὲ μᾶλλον Ἀγαμέμνονος τοῖς παισὶν αὐτοῦ συμβέβηκεν, πρὸς ὃ ἐπάγει Ἠλέκτρα ὅτι ὡς βέλος μου ὁ λόγος οὗτος ἥψατο. ἄτην] τὴν Ἐρινύν.

Ch 384-385 〈τλάμονι … χειρί〉 ] τῆι χειρὶ Κλυταιμήστρας καὶ Αἰγίσθου. τελεῖται] ἵνα τὸ ὅμοιον καὶ ἴσον τῶι πατρί μου φυλαχθῆι.

Ch 386 〈πευκήεντ'〉 ] πανηγυρικόν, λαμπρόν. 〈θεῖον .

Ch 389-390 .. ποτᾶται〉 ] ὅμως τὸ εἱμαρμένον περιίπταται πάντας καὶ οὐκ ἂν ἐπιβουλευθείην παρὰ τὸ μοιρίδιον. 〈πρώιρασ〉 ] τῆς ὄψεώς μου.

Ch 392 ἔγκοτον στύγος] ὀργίλον μῖσος. ἀμφιθαλὴς] ὁ ποιήσων ἄμφω ἡμᾶς ἀναθηλῆσαι.

Ch 395 βάλοι] τοῖς ἐχθροῖς. 〈κάρανα〉 ] τὰ τοῦ οἴκου ἄκρα· λέγει δὲ τοὺς περὶ Αἴγισθον.

Ch 397 〈πιστὰ〉 ] καὶ γένοιτο πιστὰ τῆι χώραι ὅτι σὺ τούτων αἴτιος. 〈ἀπαιτῶ〉 ] λείπει λαβεῖν.

Ch 399 〈τιμαί〉 ] αἱ Ἐρινύες 〈αἱ〉 παρὰ τῶν χθονίων θεῶν τετιμημέναι. 〈ἄτην .

Ch 403-404 .. ἐπ' ἄτηι〉 ] τὸ ἑξῆς· ἄτην ἑτέραν ἐπάγουσαν λοιγὸν ἐπ' ἄτηι. βοᾶ ι· διὰ βοῆς ἐφέλκεται.

Ch 403b 〈τῶν πρότερον〉 ] τοῦ Ἀγαμέμνονος. 〈νερτέρων τυραννίδεσ〉 ] ἀντὶ τοῦ οἱ κατὰ γῆς θεοί.

Ch 406 〈ἀραὶ〉 ] ἀνειδωλοποιεῖ τὰς ἀράς. 〈τὰ λοίπ'〉 ] ἡμᾶς τοὺς ὑπολοίπους τῶν Ἀτρείδων.

Ch 408 〈δωμάτων ἄτιμα〉 ] ἀπεσπασμένους καὶ φυγαδευθέντας τῶν οἴκων. 〈κλύουσαν〉 ] ἀντὶ τοῦ κλυούσηι.

Ch 412 〈καὶ τότε〉 ] ὅτε σε οἰκτιζόμενον ἴδω, Ὀρέστα. κελαινοῦται] ταράσσεται.

Ch 414 κλυούσαι] ἀκουούσηι τὸν ἀπὸ σοῦ λόγον. ἐπαλκὲς] ἰσχυροποιόν.

Ch 417 〈πρὸς τὸ … καλῶσ〉 ] πρὸς τὸ καλά μοι ἐννοεῖν. 〈τί δ' ἂν φάντεσ〉 ] τί δεινὸν εἰπόντες κατὰ Κλυταιμήστρας τύχοιμεν τῆς σῆς συμμαχίας, ὦ πάτερ; ἢ ἃ πεπόνθαμεν; πάρεστι] τῆι μητρὶ τὸν Ἀγαμέμνονα.

Ch 420b τάδ'] τὰ ἄχη. 〈ἄσαντοσ〉 ] ἀκολάκευτος.

Ch 422 〈θυμόσ〉 ] ὁ τοῦ Ἀγαμέμνονος. 〈Ἄριον〉 ] Περσικόν.

Ch 425 〈ἀπρικτόπληκτα〉 ] παρὰ τὸ ἀπρίξ, πλήσσοντα ἀπρίξ. 〈πολυπάλακτα〉 ] ἀλλεπάλληλον κτύπον ποιοῦντα.

Ch 426b ὀρέγματα] τύμματα. 〈κτύπωι〉 ] τῶι ἄνωθεν ἐπαγομένωι τῆι κεφαλῆι κτύπωι.

Ch 428 〈κρότητον … κάρα〉 ] κωμωιδ(εῖται) ὡς διθύραμβος. 〈ἔπειτ' .

Ch 438 .. ὀλοίμαν〉 ] ἐκ τούτου εἴρηται τὸ τεθναίην ὅ τ ' ἐκεῖνον ἀποπνεύσαντα πυθοίμην Καλλιμάχου. ἔπρασσε] κατεσκεύασε δὲ τὸ μασχαλισθῆναι αὐτὸν ἡ Κλυταιμήστρα, ἡ καὶ οὕτως ἀτίμως αὐτὸν θάψασα, δυστυχίαν μεγίστην κατασκευάζουσα τῶι σῶι βίωι, ὦ Ὀρέστα, ὅ ἐστιν ἵνα δυστυχῆ βίον ζήσῃς, τοῦ Ἀγαμέμνονος μὴ δυναμένου σοι συμμαχῆσαι πρὸς τὴν τιμωρίαν Κλυταιμήστρας. [5]

Ch 443 〈δυσατίμουσ〉 ] τοὺς τοῦ πατρός σου. ἄφερκτος] κατάκλειστος παρὰ τὴν εἱρκτήν.

Ch 447 〈ἑτοιμότερα〉 ] οὐδέποτε οὕτως ἑτοίμως ἐγέλασα ὡς τότε ἑτοίμως ἐδάκρυσα. λίβη] τὰ δάκρυα.

Ch 449 κεκρυμμένα] πρὸς τὸ ἄφερκτο ς. 〈γράφου〉 ] πρὸς τὸν Ὀρέστην φησίν.

Ch 452a τέτραινε] διατόρει, διακόμιζε. 〈ἡσύχωι φρονῶν βάσει〉 ] ἠρεμαίαι τῆι ψυχῆι, ἀντὶ τοῦ προσέχων καὶ μὴ ἀποπλανώμενος.

Ch 453 〈τὰ μὲν γὰρ〉 ] ταῦτα [δὲ] τὰ συμβάντα Ἀγαμέμνονι. αὐτό ς· τουτέστιν 〈Ἀγαμέμνων〉 · ἐπιθυμεῖ δὲ τὰ λοιπὰ γνῶναι ὁ πατήρ, τουτέστι τὴν τιμωρίαν.

Ch 454b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μαθεῖν] ἀντὶ μάθε τῶι τρόπωι σου. ⟨πρέπει⟩ ] πρέπει δέ σοι ἀμετακινήτωι δυνάμει ὁρμᾶν κατ' αὐτῶν.

Ch 456 ξυγγενοῦ] σύμπραξον. κεκλαυμένα] ἐλεεινά.

Ch 458-459 ⟨στάσις ... ἐπιρροθεῖ⟩ ] ἐπιβοᾶι σε ἡ σύστασις ἡμῶν ἡ κοινὴ βοηθὸν ἐλθεῖν. ⟨πρὸς ἐχθρούσ⟩ ] ἀντὶ ⟨κατὰ⟩ ἐχθρῶν.

Ch 461 ⟨Ἄρης Ἄρει⟩ ] ὁ ἡμῶν τῶι τῶν ἐχθρῶν. ⟨μένει πάλαι⟩ ] πέπηγε μὲν καὶ ὥρισται πάλαι ὑπὸ Μοιρῶν τὸ τὴν Κλυταιμήστραν ἀνδροκτονήσασαν ἀναιρεθῆναι· τὸ κατ' αὐτῆς δὲ καλῶς κυρωθὲν ὑπὸ τῆς δίκης ἔλθοι, ὅ ἐστι μὴ μελλήσηι πρὸς τιμωρίαν Κλυταιμήστρας τὸ θεῖον.

Ch 465 εὐχομένοις] τὸ κατ' εὐχὴν ἡμῖν πληρωθείη. ⟨ἐγγενὴσ⟩ ] συγγενής· ὅτι ὑπὸ συγγενῶν ἐπάθομεν.

Ch 467 παράμουσος] ἐκτὸς τοῦ καθήκοντος. ἄφερτα] ἀφόρητα.

Ch 471 ἔμμοτον] ἔνουλον ἢ βαθύτατον. ⟨ἔριν⟩ ] ἣν ἤρισε πρὸς τὸν πατέρα.

Ch 475 ὅδ' ὕμνος] ταῦτα τὰ ᾄσματα τοῖς κατὰ γῆς θεοῖς πρέπει καὶ οὐ τοῖς οὐρανίοις. ⟨τρόποισιν οὐ τυραννικοῖσ⟩ ] οὐχ ὡς βασιλεῖ πρέπει, ἀλλ' ἀδόξως.

Ch 482 ⟨φυγεῖν⟩ ] ὥστε φυγεῖν τὰς ἐπιβουλὰς Αἰγίσθου τιμωρησαμένην αὐτόν. ⟨οὕτω γὰρ⟩ ] οὕτω γὰρ ἄν σοι κρατήσαντες πολυτελῶς θύσοιμεν.

Ch 483-485 ἔννομοι δὲ αἱ νόμιμοι θυσίαι, αἱ πολυτελεῖς. κτιζοίατ'] γίγνοιντο.

Ch 484b εἰ δὲ μ ή· οὕτως τὸ ἑξῆς· ἄτιμος ἐν πυροῖσι κνισωτοῖς ἔσηι παρ' εὐδείπνοις χθονός, ὅ ἐστι παρὰ κατοιχομένοις δείπνωι τιμωμένοις. ⟨εἰ δὲ μὴ⟩ ] τῶν ἄλλων νεκρῶν μεταλαμβανόντων ἐναγισμῶν σὺ ἄτιμος ἔσηι.

Ch 486 ⟨παγκληρίασ⟩ ] κτήσεως. ⟨οἴσω⟩ ] εἰ γὰρ Αἴγισθος ἀπολεῖται, κἀγὼ γαμηθήσομαι.

Ch 488 πρεσβεύσω] τιμήσω. ἐντεῦθεν ἀμοιβαῖα τὰ πρόσωπα Ὀρέστου καὶ Ἠλέκτρας.

Ch 489 πρῶτον δὲ Ὀρέστου. ⟨οἷς ἐνοσφίσθησ⟩ ] οἷς ἀπέθανες.

Ch 493a ⟨πέδαις δ' ἀχαλκεύτοισ⟩ ] ἀσιδήροις δεσμοῖς· λέγει δὲ τῆι ἀδιεξοδεύτωι ἐσθῆτι. ⟨πέδαις δ' ἀχαλκεύτοισ⟩ ] ἐπιβουλευτοῖς πέπλοις.

Ch 497-498 ⟨ἤτοι δίκην ... λαβεῖν⟩ ] ἢ τὴν δίκην συμμαχοῦσαν ἡμῖν κατ' αὐτῶν πέμψον ἢ σὺ κόλασον αὐτούς. ἀντίδος] ἀντίλαβε.

Ch 504 ⟨οὐδέπερ θανών⟩ ] ἐὰν ἡμεῖς ὦμεν. κληδόνες σωτήριοι] διὰ φήμης σώζοιέν σε.

Ch 505b ⟨κληδόνεσ⟩ ] εὐφημίαι. ⟨φελλοὶ⟩ ] ἐκεῖνοι γὰρ ἐπιπλέοντες σημαίνουσι τὴν ἐν βυθῶι σαγήνην· οὕτω καὶ ἡμεῖς ζῶντες σὲ τὸν θανόντα.

Ch 506b φελλο ί· τὰ κοῦφα ξύλα τὰ ἀναβαστάζοντα ἐν τῆι θαλάσσηι τὰ δίκτυα. ⟨κλωστῆρα .

Ch 507 .. λίνου⟩ ] ἐν περιφράσει τὸν κλωστὸν λίνον. ἄκου'] ἀντὶ τοῦ πείσθητι.

Ch 509 ⟨τιμήσασ⟩ ] ἀντὶ τοῦ ἐπακούσας ἡμῶν. ⟨τίμημα⟩ ] λείπει ἡ εἰς.

Ch 511b ⟨ἀνοιμώκτου⟩ ] πολυθρυλήτου. ⟨κατώρθωσαι⟩ ] ὦ Ὀρέστα.

Ch 512b ⟨τὰ δ' ἄλλ'⟩ ] τὰ κατὰ τὴν σφαγὴν Αἰγίσθου. ἔξω δρόμου] ἔξω τοῦ προκειμένου.

Ch 516a ⟨τιμῶσ'⟩ ] ἀντὶ τοῦ τιμῶσα αὐτή. ἀνήκεστον] ἀνίατον.

Ch 517 ⟨θανόντι δ' οὐ φρονοῦντι⟩ ] τῶι ὑπ' αὐτῆς θανόντι καὶ μὴ φρονοῦντι τὰ αὐτῆς. ⟨οὐκ ἔχοιμ'⟩ ] [οὐ] διστάζω ὅτι οὐκ ἐπέμφθη.

Ch 519a ⟨μείω δ' ἐστὶ⟩ ] ἀντὶ τοῦ ὑπερβαίνει τὰ ἁμαρτήματα τὴν ἀπὸ τῶν δώρων πειθὼ καὶ παρηγορίαν. ⟨δ ' ⟩ ] ὁ δὲ ἀντὶ τοῦ γάρ.

Ch 525 δύσθεος] ἀσεβής. ⟨καρανοῦται⟩ ] κεφαλαιοῦται.

Ch 528b ⟨λόγοσ⟩ ] ἀντὶ τοῦ τὰ ἐφεξῆς τοῦ ὀνείρου. ⟨ἐν σπαργάνοισι⟩ ] ὡς παῖδα αὐτὸν ἐκτεῖναι ἐδόκει ἐν τοῖς σπαργάνοις.

Ch 529b ⟨ὁρμίσαι⟩ ] ἀπὸ κοινοῦ τὸ ἔδοξε ν. ⟨χρῄζοντα⟩ ] πρὸς τὸ δράκοντα εἶπεν τὸ χρῄζοντ α.

Ch 530b νεορενὲς] ἀντὶ τοῦ νέον. ⟨στύγουσ⟩ ] τοῦ μισητοῦ θηρίου.

Ch 533 ⟨θρόμβον αἵματοσ⟩ ] ἀντὶ γάλακτος αἷμα. ὄψανο ν· ὄψις, φαντασία.

Ch 534a τὸ χ δὲ ὅτι ἀπὸ τῆς ὄψεως παρῆξε τὸ ὄψανο ν. ⟨ὄψανον⟩ ] τὸ ἐκ τοῦ ἀνδρὸς Ἀγαμέμνονος φάντασμα.

Ch 536 ἀνῆλθον] ἀνέλαμψαν. ⟨λαμπτῆρεσ⟩ ] οἱ σβεσθέντες ἤδη λαμπτῆρες· νὺξ γὰρ ἦν.

Ch 538 ⟨χοάσ⟩ ] τὰς πρὸς εὐμένειαν Ἀγαμέμνονος. ⟨ἄκος τομαῖον⟩ ] θεραπευτικὸν ἴαμα.

Ch 539b ⟨ἐλπίσασα⟩ ] λείπει τὸ ποιεῖν, θεράπευμα τμητικὸν τῶν κακῶν οἰηθεῖσα ποιεῖν. ⟨νιν⟩ ] αὐτό· τὸ ὄνειρον.

Ch 542b ⟨συγκόλλωσ⟩ ] συνημμένως τῆι ἀληθείαι. ⟨χῶρον⟩ ] τὴν γαστέρα τῆς Κλυταιμήστρας.

Ch 544 ⟨ηπλείζετο⟩ ] ἐπιμελείας ἠξιοῦτο. δεῖ τοί νιν ὡς ἔθρεψε ν· ὥσπερ δι’ αἵματος ἔθρεψε τὸν δράκοντα—ἔδει γὰρ αὐτὴν θρέψαι τῶι ἰδίωι γάλακτι—οὕτως δεῖ ⟨αὐτὴν⟩ δι’ αἵματος τὴν ἐμὴν ἐπιθυμίαν πληρῶσαι.

Ch 549 ἐκδρακοντωθεὶς] ἀγριωθεὶς κατ’ αὐτῆς. ἁπλοῦς] σύντομος.

Ch 554b ⟨τήνδε⟩ ] τὴν Ἠλέκτραν. ἄνδρα] τὸν Ἀγαμέμνονα.

Ch 558 ⟨ἧι⟩ ] καθό· τὸ ἑξῆς· ἐφήμισε τὸ πρίν. ⟨εἰκώσ⟩ ] οἶμαι ἀντὶ τοῦ ἐοικώς.

Ch 560b παντελῆ] τελείαν. ⟨παντελῆ σαγὴν⟩ ] πανοπλίαν ἢ τελείαν περιβολὴν ἔχων ξένου.

Ch 563 ⟨φωνὴν⟩ ] φονικήν· οἶμαι δὲ Φωκικὴν θέλειν. ⟨δαιμονᾶι⟩ ] τετάρακται.

Ch 567-568 ⟨μενοῦμεν⟩ ] κἂν μὴ δεξιωθῶμεν, μενοῦμεν πρὸ τῶν θυρῶν ἐπὶ τοσοῦτον ὥστε εἰκάζειν τινὰ ὅτι ἠτιμώθημεν καὶ τοιαῦτα λέγειν. βηλό ν· τὸν οὐδόν.

Ch 574-575 ⟨σάφ’ ἴσθι⟩ ] τὸ ἑξῆς· σάφ’ ἴσθι πρὶν αὐτόν. ⟨ποδώκει⟩ ] τῶι ταχεῖ ξίφει· ὡς ἐπὶ ἐμψύχου δὲ εἶπεν.

Ch 577 ὑπεσπανισμένη] οὐκ ἀποτυγχάνουσα. τρίτην πόσιν] ὡς εἰ ἔφη τοῦ τρίτου κρατῆρος, μετὰ Ἀγαμέμνονα τῶν δύο τούτων τὸ αἷμα.

Ch 579 ⟨σὺ⟩ ] ὦ Ἠλέκτρα. ⟨ἀρτίκολλα⟩ ] σύμφωνα καὶ ὑγιῶς συναρμοζόμενα ταῖς νεωστὶ συνθήκαις ἡμῶν.

Ch 582 τὰ καίρια] τὰ χρήσιμα. ⟨τούτωι⟩ ] τῶι Πυλάδηι.

Ch 584 ὀρθώσαντί μοι] συμπράξαντί μοι. ⟨δειμάτων ἄχη⟩ ] κατὰ περίφρασιν δείματα.

Ch 586b δειμάτων ἄχη] κακῶν κάκιστα βλάβη. ἀγκάλαι] αἱ κοιλότητες.

Ch 588 ἀνταίων] ἐναντίων. ⟨βλάστουσι⟩ ] πολλὰ τίκτει ὁ ἀὴρ ἐκ τῆς ἡλιακῆς ἀκτῖνος πτηνὰ καὶ ἑρπετά· εἰσὶ γὰρ ὄφεις ἐξ ἀέρος πίπτοντες.

Ch 589b ⟨βλάστουσι⟩ ] γεννῶσι καὶ αὔξουσιν. ⟨πεδαίχμιοι⟩ ] αἱ μεταξὺ γῆς καὶ οὐρανοῦ λαμπάδες, τουτέστιν ὁ ὑπὸ ἡλίου φωτιζόμενος ἀήρ.

Ch 590a λαμπάδες] αἱ ἀκτῖνες τοῦ ἡλίου αἱ καθημεριναί. πεδάμαροι] οἶμαι πέδουροι ἵν’ ἦι τὸ σημαινόμενον μετέωροι.

Ch 592a ⟨αἰγίδων⟩ ] καταιγίδων. φράσαι] ἐννόησον.

Ch 594 ἀλλ’] ὁ ἀλλὰ ἀντὶ τοῦ δέ. τίς λέγοι φρεσί ν· ἀντὶ τοῦ ἐννοήσειεν.

Ch 597 ⟨ἔρωτασ⟩ ] ἀπὸ κοινοῦ τὸ τίς λέγο ι. ὁμαυλίας] ὁμοκοιτίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ch 600a ⟨θηλυκρατὴσ⟩ ] ὁ γυναικῶν κρατῶν. λέγει δὲ ταῦτα ὅτι ἡ Κλυταιμήστρα κατωφερείας ἕνεκα τῶι Αἰγίσθωι ἐγαμήθη. ⟨ἀπέρωτοσ⟩ ] ἀντὶ στυγνὸς καὶ ὑπερήφανος.

Ch 602a ⟨ἴστω δ' ὅστισ⟩ ] γινωσκέτω δ' ὅστις ὁ παιδευθεὶς οὐχ ὑποπτέροις φροντίσιν, ἵν' ἦι τὸ ὃς ὑποτακτικὸν ἀντὶ τοῦ ὁ προτακτικοῦ. ⟨οὐχ ὑπόπτεροσ⟩ ] ὁ μὴ κοῦφος, ἀλλ' ἀληθῶς μαθεῖν θέλων.

Ch 603-606 ⟨τὰν ... πρόνοιαν⟩ ] οὕτω τὸ ἑξῆς· ἥντινα μήσατο πρόνοιαν τάλαινα Θεστιὰς ἡ παιδολύμας καὶ πυρδαής. ⟨ἁ παιδολύμασ⟩ ] ἡ τῶι παιδὶ Μελεάγρωι λυμηναμένη.

Ch 607 ⟨παιδὸσ⟩ ] ἥλικα ξύμμετρόν ⟨τε⟩ τῶι παιδὶ δαλόν. ⟨ἐπεὶ .

Ch 608-609 .. κελάδησε⟩ ] ἐξότε πεσὼν ἀπὸ τῆς μητρὸς ἐβόησεν, τουτέστιν ἐξότε γεγέννηται. ἐπεὶ μολὼν] ἀφ' οὗ ἀντὶ ἐξότε.

Ch 610 ἥλικα ξύμμετρόν τ ε· τὸν συμμετρηθέντα αὐτῶι εἰς τὸ διὰ βίου μοιρόκραντον ἦμαρ, ὅ ἐστιν εἰς τὸ ἦμαρ τῆς ζωῆς τὸ ὑπὸ Μοιρῶν δεσποζόμενον. ⟨στυγεῖν⟩ ] ἀπὸ κοινοῦ τὸ ἴστω τί ς.

Ch 615 ⟨φῶτ'⟩ ] τὸν πατέρα Νῖσον. ⟨ὅρμοισ⟩ ] ⟨σημείωσαι⟩ ὅτι ὅρμον ἀπὸ Μίνωός φησιν εἰληφέναι Σκύλλαν, οὐ δι' ἔρωτα.

Ch 620 ⟨ἀπροβούλωσ⟩ ] ἀπρονοήτως, οὐ προσκεψαμένη τὸ ἀποβησόμενον. ὡς προδότις γὰρ τοῦ πατρὸς ἐτιμωρήθη ὑπὸ Μίνωος. ⟨πνέονθ' .

Ch 621a .. ὕπνωι⟩ ] τὸ ἑξῆς· ἀπώλεσεν ἁ κυνόφρων Νῖσον πνέοντα ὕπνωι. πνέονθ'] ἀντὶ ἀσθμαίνοντα.

Ch 622a κιγχάνει] τὸν Νῖσον ἢ τὴν Σκύλλαν. Ἑρμῆς] ὁ θάνατος.

Ch 623 ἐπεὶ δ'] λείπει μνήσομαι Κλυταιμήστρας. ⟨δὲ⟩ ] ὁ δὲ ἀντὶ τοῦ γάρ.

Ch 624b ⟨γαμήλευμ'⟩ ] τοῦ Αἰγίσθου. ⟨μήτιδασ⟩ ] λείπει εἰργάσατο.

Ch 628 ⟨ἐπ' ἀνδρὶ⟩ ] ἐπ' ἀνδρὶ φοβερῶι καὶ σεβαστῶι καὶ παρὰ τοῖς πολεμίοις. ἀθέρμαντον] ἀθράσυντον· διὰ τὸ θράσος γὰρ ἄιδονται αἱ Λήμνιαι.

Ch 630 ⟨αἰχμάν⟩ ] λείπει ἡ κατά. πρεσβεύεται] μεῖζον ὀνομάζεται.

Ch 631b τὸ Λήμνιον] λείπει ἔργον. λόγωι] ἐν διηγήματι.

Ch 632b κατάπτυστον] μισητόν. ⟨ἤικασεν δέ τισ⟩ ] εἰκονίσειέ τις.

Ch 634 ⟨τὸ δεινὸν⟩ ] τὸ κατὰ Κλυταιμήστραν. ⟨δ ' ⟩ ] ὁ δὲ ἀντὶ τοῦ γάρ.

Ch 636 ⟨γένοσ⟩ ] τὸ τῶν Λημνιάδων. ⟨ἀγείρω .

Ch 637-640 .. σοῦται⟩ ] συνάξασα κατηγορῶ· νύσσει γάρ με τὸ δίκαιον ταῦτα λέγειν. ⟨τὸ δ' .

Ch 639-640 .. σοῦται⟩ ] τὸ δὲ ξίφος τῆς δίκης, τὸ ἔχον πικρίαν, ἀντικρὺ διὰ πνευμόνων ὁρμᾶι. σοῦται] ὁρμᾶι.

Ch 641 ⟨τὸ μὴ θέμις γὰρ⟩ ] τὸ γὰρ μὴ δίκαιον οὐ δεῖ ἀμελεῖσθαι οὐδὲ παρασιωπᾶσθαι, ἀλλ' ἐκδικήσεως τυγχάνειν. πατούμενον] λείπει συμφέρον ἐστίν.

Ch 644a ⟨τὸ πᾶν⟩ ] λείπει ὁ γάρ. καὶ ἔστι· τὸ γὰρ πᾶν τοῦ Διὸς σέβας παρεξέβησαν ἀθεμίστως οἱ περὶ τὸν Αἴγισθον. ⟨παρεκβάντεσ⟩ ] ἀντὶ παρεξέβησαν.

Ch 644b καὶ ἔστι μετοχὴ ἀντὶ ῥήματος ὡς τὸ καρπῶι βριθομέν η. ⟨δίκας δ'⟩ ] ῥίζα δικαιοσύνης καταβάλλεται.

Ch 648-649 ⟨τέκνον ... παλαιτέρων⟩ ] ἐπεισφέρει δὲ τοῖς οἴκοις τέκνον παλαιῶν αἱμάτων, ὅ ἐστι τίκτει ὁ φόνος ἄλλον φόνον. ⟨τέκνον⟩ ] ἀντὶ τοῦ ποινήν.

Ch 648b ⟨δίμασε⟩ ] λείπει ἡ ἐπί. ⟨τείνει⟩ ] ἀπαιτεῖ.

Ch 651 ⟨κλυτὰ⟩ ] ἡ περιβόητος. ⟨τίς ἔνδον⟩ ] τίς ἐν δόμοις; ⟨ἐκπέραμα καλῶ⟩ ] ἐκπεράσαι τινὰ καλῶ· τὸ ἐκπέραμά φησι τὸν διάκονον τὸν εἰσιόντα καὶ ἐξιόντα πρὸς τὰς ἀποκρίσεις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ch 660 ⟨νυκτὸς ἅρμ’⟩ ] περιφρα(στικῶς) ἡ νύξ. ἐμπόρους] ὁδοιπόρους.

Ch 662-663 ⟨ὥρα ... ξένων⟩ ] ἐν τοῖς πανδόκοις δόμοις τῶν ξένων καιρὸς τὴν ἄγκυραν προσορμῆσαι τοὺς ὁδοιπόρους· ἀντὶ τοῦ καταλῦσαι. τελεσφόρος] ἀρχηγός, διοικητής.

Ch 664 ⟨εὐπρεπέστερον⟩ ] βέλτιον ἄνδρα ἐξελθεῖν. ⟨λέσχηισιν⟩ ] ἐν ταῖς πρὸς γυναῖκας ὁμιλίαις.

Ch 665b ⟨ἐπαργέμουσ⟩ ] σκοτεινοὺς ἀπὸ τῶν περὶ τοὺς ὀφθαλμοὺς λευκωμάτων. οὐκ ἐπαργέμους] πλεονάζει ἡ οὐ.

Ch 671 ⟨δικαίων ... παρουσία⟩ ] ἀντὶ δίκαιοι ἄνθρωποι. ⟨βουλιώτερον⟩ ] βουλευτικώτερον· ὅ ἐστιν· εἰ δὲ οὐ διὰ ξενίαν ἥκετε, ἀλλὰ δι’ ἄλλο τι.

Ch 674 ⟨Δαυλιεὺσ⟩ ] Δαυλὶς ὡς καὶ Αὐλίς. ⟨αὐτόφορτον⟩ ] ἐπὶ ἰδίαι πραγματείαι.

Ch 676 ⟨ἀπεζύγην⟩ ] τῆς ὁδοῦ, τῆς ὁδοιπορίας ἀπέλυσα ἐπὶ τῶι ξενισθῆναι παρ’ ὑμῖν· ἐκ μεταφορᾶς τῶν ἀπολυομένων τοῦ ζυγοῦ ἵππων καὶ ἐπὶ φάτνην ὁρμώντων. συμβαλὼν] συναντήσας.

Ch 678 ⟨ἐξιστορήσας καὶ σαφηνίσασ⟩ ] ἐρωτήσας καὶ μαθών. ⟨πεύθομαι⟩ ] ἤκουσα γὰρ ἐν τῶι μου πρὸς αὐτὸν διαλόγωι ὅτι Στρόφιος προσαγορεύεται.

Ch 680a ⟨ἐπείπερ⟩ ] τὸ ἑξῆς· ἀγνὼς πρὸς ἀγνῶτα εἶπεν· ἐπείπερ, ὦ ξένε. τὰ δὲ ἄλλα διὰ μέσου. ⟨ἄλλωσ⟩ ] δι’ ἄλλην χρείαν.

Ch 682 μηδαμῶς λάθηι] μηδαμῶς λάθηι με ἡ βουλὴ τῶν φίλων. ⟨κομίζειν⟩ ] εἰς τοὺς οἴκους.

Ch 683b φίλων] λέγει δὲ τῶν περὶ Αἴγισθον. ⟨πόρθμευσον⟩ ] ἀντὶ διακόμισον.

Ch 688 ⟨τοσαῦτ’ ἀκούσασ⟩ ] πιθανῶς, ἵνα δοκῆι ὅλως ἀγνοεῖν. ὦ δυσπάλαιστε] ὦ δυσκαταγώνιστε.

Ch 693a ἐπωπᾶι ς· ἐφορᾶις πολλὰ τὰ ἡμέτερα ἀτυχήματα. κἀκποδὼν] καὶ τὰ πόρρωθεν καλῶς κείμενα τῶν φίλων, ὅ ἐστι· τὰ ἐπὶ ξένης ἀγαθὰ ἐνδιαιτήματα τοῦ Ὀρέστου τοῖς τόξοις εὐστόχως ἱκνουμένη ἀπογυμνοῖς μοι.

Ch 696-699 ⟨καὶ νῦν ... ἐγγράφει⟩ ] τὸ ἑξῆς οὕτως τοῦ νοήματος· καὶ πρότερον ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα. ἦν γὰρ εὐβούλως ἔχων Ὀρέστης. ποῖος Ὀρέστης; ἡ τοῖς οἴκοις ἰατικὴ ἐλπὶς τῆς ἀγαθῆς εὐφροσύνης. νῦν δὲ ἀπώλετο. καὶ νῦν Ὀρέ ( στη ς)· ἀντὶ τοῦ πρότερον· τὸ γὰρ νῦν δηλοῖ καὶ τὸ παρεληλυθός.

Ch 697 ἔξω πηλοῦ πόδ (α)· παροιμ(ία). ⟨ἥπερ .

Ch 698-699 .. ἐγγράφει⟩ ] ἡ εὐφροσύνη τῶν βασιλείων οἴχεται. ἰατρὸς] ἡ ἰατρός.

Ch 699b ἐλπὶς] τάξον αὐτὴν ἀφανισθεῖσαν ἄρα ὡς πρὸς τὸ ἐλπὶς δ ’ ἀπέδωκεν. ⟨τί γὰρ .

Ch 702-703 .. εὐμενέστερον⟩ ] ἢ τὸ ἀγαθὰ ἀγγεῖλαι· τοῦτο γὰρ φιλίας αἴτιον τοῖς ξένοις γίνεται. ⟨καρανῶσαι⟩ ] κεφαλαιῶσαι, εἰπεῖν.

Ch 707 ⟨ἀξίως σέθεν⟩ ] τῶν σοὶ ἀξίων τιμῶν. ⟨ἄλλος δ’ ὁμοίωσ⟩ ] εἰ καὶ μὴ σὺ ἤγγειλας.

Ch 710 ⟨ἡμερεύοντασ⟩ ] δι’ ἡμέρας καμόντας. ⟨ἄγ’⟩ ] πρὸς παρόντα τινά.

Ch 715a ⟨αἰνῶ⟩ ] συμβουλεύω σοι ταῦτα πράσσειν ὡς δώσοντι δίκην, ἤν τι παρὰ τὸ δέον ποιήσηις. ἐπευθύνωι] ὑποδίκωι.

Ch 720 ⟨πότε⟩ ] πότε ἐπευξόμεθα. ⟨ὦ πότνια χθὼν⟩ ] ὦ προφιλὴς καὶ τιμία ἡμῖν.

Ch 722b ⟨ἀκτὴ⟩ ] ἡ ἀκτὴ τοῦ τάφου. ⟨νῦν γὰρ ἀκμάζει⟩ ] νῦν καιρὸν ἔχει ἡ δολία πειθὼ συναγωνίσασθαι τῶι Ὀρέστηι.

Ch 727a ⟨ἐφοδεῦσαι⟩ ] συνάρασθαι πρὸς τὴν ὁδόν. ⟨ἐφοδεῦσαι⟩ ] ἀπὸ κοινοῦ τὸ νῦν ἀκμάζε ι.

Ch 730a ⟨ὁ ξένοσ⟩ ] ξένον τὸν Ὀρέστην καλεῖ, ἵνα δόξωσιν ἀγνοεῖν τὸ σκευώρημα. ⟨τεύχειν κακόν⟩ ] ἀντὶ τοῦ πεποιηκέναι πένθος τῶι οἴκωι διὰ τῆς ἀγγελίας.

Ch 733

Eulogikon public reading copy · View original HTML at eulogikon.org

⟨ἄμισθοσ⟩ ] κακόμισθος· δάκρυα γὰρ προξενεῖ. Κίλισσαν δέ φησι τὴν Ὀρέστου τροφόν, Πίνδ(αρος) δὲ Ἀρσινόην, Στησίχο(ρος) Λαοδάμειαν. ⟨ἡ κρατοῦσα⟩ ] ἡ τοὺς ξένους κρατοῦσα καὶ ὑποδεξαμένη Αἴγισθον καλεῖν ἐκέλευσεν.

Ch 736 ⟨νεάγγελτον⟩ ] τὴν ⟨νεωστὶ⟩ ἀγγελθεῖσαν. ⟨παγκάκωσ⟩ ] ἀντὶ κακῶς ⟨ὁ⟩ οἶκος διάκειται ὑπὸ τῆς φήμης ἧς ἤγγειλαν οἱ ξένοι σαφῶς.

Ch 741 τορῶς] σαφῶς. ⟨ἦ⟩ ] ἀντὶ ὄντως.

Ch 744a ὥς] λίαν. ⟨τὰ μὲν παλαιὰ⟩ ] ἡ κρεουργία τῶν Θυέστου παίδων καὶ ὁ Ἀγαμέμνονος θάνατος.

Ch 747 ⟨τοιόνδε⟩ ] οἷον ἐπὶ τῆι τοῦ Ὀρέστου ἀγγελίαι νῦν. ⟨τλημόνως ἤντλουν⟩ ] καρτερικῶς ὑπέφερον.

Ch 749 ⟨τριβήν⟩ ] τὸν συντρίψαντά μου ταῖς ἐπιμελείαις τὴν ψυχήν. ⟨ὃν ἐξέθρεψα⟩ ] ὃν ἐξέθρεψα οὐ μόνον δι’ ἡμέρας, ἀλλὰ καὶ διὰ νυκτῶν.

Ch 751 κελευμάτων] κελεύουσι γὰρ τῶι κλαίειν οἱ παῖδες. ⟨ἀνωφέλητα⟩ ] ἀνωφέλητα ἐμοὶ τῆι τλάσηι καὶ πολλὰ ⟨καὶ⟩ μοχθηρά.

Ch 754 ⟨τρέφειν ἀνάγκη⟩ ] ἀνάγκη τρέφειν ἐπιμελείαι ψυχῆς· πῶς γὰρ οὐ; ⟨οὐ γάρ⟩ ] ἀλλ’ ἀνάγκην διὰ δακρύων ἐπέφερεν.

Ch 757 ⟨αὐτάρκησ⟩ ] ἡ γὰρ νέα νηδὺς τῶν τέκνων ἑαυτῆι ἀρκεῖν καὶ βοηθεῖν βούλεται, ὅ ἐστιν ἀνύειν βούλεται τὰς ἐπιθυμίας. ⟨ψευσθεῖσα⟩ ] ἀπὸ κοινοῦ τὸ ἐξέθρεψ α .

Ch 761 χειρωναξία ς· τὰς διὰ χειρῶν ἐργασίας. ⟨ἐξεδεξάμην⟩ ] ἀντὶ ἔθρεψα, ἀπέσωσα.

Ch 766 ⟨ἐσταλμένον⟩ ] ἠσκημένον, παρεσκευασμένον. ⟨στυγεῖ⟩ ] τῶι μισουμένωι ὑπ’ Ἀγαμέμνονος.

Ch 774a ⟨ἦ⟩ ] ὄντως. ⟨φρονεῖς εὖ⟩ ] χαίρεις.

Ch 775 ⟨τροπαίαν⟩ ] μετατροπήν. ⟨οὔπω .

Ch 777 .. τάδε⟩ ] τοῦτο ἀκριβοῦς ἐστι μάντεως εἰπεῖν. τινὲς στίζουσιν εἰς τὸ οὔπ ω, ἵν’ ἦι· οὔπω ἐλπὶς οἴχεται δόμων· ταῦτα δὲ καὶ ὁ τυχὼν μάντις γνοίη. ⟨λελεγμένων δίχα⟩ ] ἀντὶ παρὰ τὰ εἰρημένα περὶ Ὀρέστου.

Ch 783 ⟨παραιτουμέναι⟩ ] πλεονάζει ἡ παρ ά· ἢ παρὰ σοῦ αἰτουμένηι. ⟨δὸς .

Ch 785-786 .. κυρίωσ⟩ ] δός μοι εὐτυχίαν εὐτυχῆσαι βεβαίως. ⟨διὰ δίκασ⟩ ] δικαίως.

Ch 787b ⟨διὰ δίκασ⟩ ] κατὰ δίκαν, ὅ ἐστι κατὰ τὸ δίκαιον. ⟨θές .

Ch 791-793 .. ἀμείψηι⟩ ] ἐπάρας γὰρ τὸν Ὀρέστην δυνήσηι καὶ τριπλασίονα ποινὴν εἰσπράξασθαι τὸν Ὀρέστην ποιῆσαι. θές] τὸν Ὀρέστην.

Ch 792 τριπλᾶ] διπλάσια καὶ τριπλάσια. ἴσθι] γίγνωσκε.

Ch 794b ἀνδρὸς] τοῦ Ἀγαμέμνονος. ⟨πῶλον⟩ ] τὸν Ὀρέστην.

Ch 796 ⟨δρόμωι⟩ ] ἐνέμεινε τῆι μεταφορᾶι. φήσας γὰρ ἐν ἅρμασι πημάτων τὸ δρόμωι ἐπήγαγεν. ῥυθμὸν δάπεδο ν· ἀντὶ εὔτακτον καὶ μὴ τραχεῖαν πορείαν.

Ch 797b μέτρον] τέλος αὐτῶι προστιθεὶς τῶν κακῶν. ἰδεῖν] ἀντὶ τοῦ ἴδοι.

Ch 798a τὸ δὲ ἑξῆς· ἴδοι δέ τις σωζόμενον αὐτῶι τὸν ῥυθμὸν τοῦ δρόμου· μηδὲ ὑπερδραμὼν ἐν τῶι δαπέδωι διαρρήξηι τὸν χαλινόν. ἰδεῖν] λείπει τὸ ὅπως· καὶ τὸ ἰδεῖν ἀντὶ τοῦ ἴδοι.

Ch 798b ὁ δὲ νοῦς· ὅπως ἄν τις τοῦτο ἴδοι σωζόμενον τὸν ῥυθμὸν ὁμαλὸν καὶ εὔτακτον κατὰ τὸν δρόμον τῶν ἀνυομένων βημάτων. νομίζετε] ἡνιοχεῖτε καὶ διοικεῖτε.

Ch 806

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈γέρων ... τέκοι〉 ] Ἀγαμέμνονος ὁ παλαιὸς φόνος μὴ συγχωρήσηι φόνον τῶι Ὀρέστηι τεχθῆναι διὰ τὸν φόνον Αἰγίσθου. 〈τόδε καλῶσ〉 ] διὰ τοῦτο τὸ καλῶς ἀναιρεθησόμενον· λέγει δὲ τὸ αἷμα τοῦ Αἰγίσθου.

Ch 807b ὦ] ὦ Ἅιδη. ἀνιδεῖν] ἀναβλέψαι.

Ch 810 〈ἰδεῖν〉 ] ἀπὸ κοινοῦ τὸ δό ς. 〈δνοφερᾶς καλύπτρασ〉 ] τοῦ σκότους.

Ch 813 ἐπιφορώτατος] ὡς ἐπὶ ἀνέμου εἶπεν ἀντὶ τοῦ ὁ λογικώτατος. 〈φανεῖ〉 ] τὰ δὲ κρυπτὰ νῦν φανερώσει.

Ch 815b 〈χρήιζων〉 ] θέλων πολλὰ κρυπτὰ εὑρίσκει. ἄσκοπον] ἀδιάσκοπός ἐστιν ὁ λόγος, τουτέστιν ὁ Ἑρμῆς.

Ch 816a ἀδιάγνωστός ἐστιν· νύκτα γὰρ καὶ σκότον πρὸ τοῦ προσώπου φέρει. 〈ἄσκοπον〉 ] ἀπροφύλακτον.

Ch 816c 〈ἔποσ〉 ] τὸν Ἑρμῆν δέ φησιν· λόγος γάρ ἐστιν. 〈καὶ .

Ch 819-824 .. τάδ’ εὖ〉 ] καὶ τότε δὴ τὸν πλοῦτον τῶν δωμάτων ἐλεύθερον τῆι πόλει μεθήσομεν· ὁμοῦ τε μεθήσομεν τὸν κρεκτὸν γοήτων νόμον, ὅ ἐστι, καὶ τῶν ἀγαθῶν τῆι πόλει μεταδώσομεν καὶ τὸν Ἀγαμέμνονα ἀκινδύνως θρηνήσομεν. 〈καὶ τότε〉 ] ὅταν ἀπαλλαγῶμεν.

Ch 820 λυτήριον] ἐλεύθερον· νῦν γὰρ ὑπὸ τυράννων ἀποκέκλεισται. θῆλυν] γεννητικόν.

Ch 821b οὐριοστάταν] οὐρίως σταθέντα. 〈νόμον〉 ] τὸν τῶν γοήτων οἷον ἄιδουσι περιιόντες τὴν πόλιν.

Ch 824-826 〈τάδ’ εὖ〉 ] τὰ καλῶς ἀποβαίνοντα τὸ ἐμὸν κέρδος ἐστίν, τῶν δὲ περὶ Ὀρέστην καὶ Ἠλέκτραν ἀπαλλαγὴ ἄτης. 〈σὺ δὲ .

Ch 827-829a .. αὐδάν〉 ] σὺ δὲ θαρρῶν ἐμοὶ τέκνον θροούσηι πρὸς σὲ πατρὸς αὐδάν, ὅ ἐστιν, ὡσανεὶ πατὴρ συμβουλεύοι σοι, ὅταν ἥκηι καιρός, ἔργωι ἐπιβαλοῦ ἐπικαλεσάμενος τὸ εἴδωλον τοῦ πατρός. 〈σὺ δὲ .

Ch 827-829b .. αὐδάν〉 ] πρόσεχε δὲ κἀμοὶ συμβουλευούσηι σοι οἷα ἂν πατήρ. τὸ δὲ ἐπαΰσας πατρὸς ἔργωι ἀντὶ τοῦ ἐπικαλεσάμενος τὸ εἴδωλον τοῦ πατρός. 〈σὺ δὲ〉 ] ὦ Ὀρέστα.

Ch 827b 〈μέρος ἔργων〉 ] ὁ καιρὸς τοῦ ἔργου. 〈μέρος ἔργων〉 ] λείπει ἐπιβαλοῦ.

Ch 828 〈ἐπαΰσασ〉 ] ἐπικαλεσάμενος. 〈περαίνων .

Ch 830-832 .. ἄταν〉 ] κατεργασάμενος τὴν πολλῶν μέμψεων ἀξίαν ἄτην, ὅ ἐστι, τὸν Αἴγισθον καὶ τὴν Κλυταιμήστραν. Περσέως δὲ ἀντὶ τοῦ πορθητοῦ, ἢ ἐπεὶ ἀπεστραμμένος ἐκαρατόμησε Μέδουσαν· ἀποστραφείς, φησίν, ὡς ἐκεῖνος μήπως θεώμενος αἰδεσθῆις τὴν μητέρα. 〈ἔνδοθεν . [5]

Ch 835-836 .. τιθείσ〉 ] τὴν ἔνδον ἐπὶ τῆς οἰκίας φονίαν ἄτην καταβαλών, ὅ ἐστι τὴν Κλυταιμήστραν. 〈ἔνδοθεν〉 ] ἐν τῆι ψυχῆι.

Ch 836 〈τὸν αἴτιον〉 ] τὸν Αἴγισθον. 〈μόρον γ’ Ὀρέστου〉 ] ὑπούλως ταῦτά φησι.

Ch 842a 〈αἱματοσταγὲσ〉 ] ὡς ἐπὶ μαχαίρας. 〈φόνωι〉 ] τῶι τοῦ Ἀγαμέμνονος.

Ch 843a 〈ἑλκαίνοντι〉 ] ἐν γὰρ τοῖς θρήνοις ἀμύσσουσιν αὐτῶν τὰ στήθη. 〈δεδηγμένωι〉 ] οὐ παρακαλυφθέντι, ἀλλ’ ἀειμνήστωι.

Ch 846 〈μάτην〉 ] οὐκ ἀληθῶς ἀποθανόντες. 〈οὐδὲν .

Ch 849 .. σθένοσ〉 ] οὐ τοσοῦτον ἰσχύει εἰπεῖν ἄγγελος ὡς ὁ αὐτόπτης. 〈ὠμματωμένην〉 ] τὴν συνετήν μου φρένα.

Ch 855 〈Ζεῦ Ζεῦ〉 ] ταῦτά φησιν ὁ χορὸς εἰσελθόντος τοῦ Αἰγίσθου. 〈ἴσον〉 ] τὸ ἀληθές.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ch 860a πειρα ί· αἱ ἀκμαὶ τῶν ξιφῶν παρὰ τὸ πείρειν. κοπάνων δὲ τῶν κοπτικῶν ξιφῶν. κοπάνων] τῶν συγκοπῶν.

Ch 863 ⟨πῦρ⟩ ] πῦρ δαΐδων. ⟨ἔα ἔα μάλα⟩ ] φωνῆς ἀκούουσιν ἀναιρομένου τοῦ Αἰγίσθου.

Ch 878 ⟨πύλασ⟩ ] τὰς τῆς Κλυταιμήστρας. ⟨ἡβῶντος δὲ δεῖ⟩ ] ἡβῶντος ἀνδρὸς δεῖ εἰς τὸ χαλάσαι τὰς πύλας.

Ch 880 ⟨διαπεπραγμένωι⟩ ] τῶι σφαγέντι. ⟨τὸν ζῶντα .

Ch 886 .. λέγω⟩ ] ἀντὶ ὁ τῶι λόγωι τεθνηκὼς Ὀρέστης ἀπέκτεινε τὸν ζῶντα Αἴγισθον. ⟨Αἰγίσθου βία⟩ ] ἀντὶ τοῦ ὦ Αἴγισθε.

Ch 898 οὔλοισ ι· τὸ οὖλον. μετεσκεύασται ὁ ἐξάγγελος εἰς Πυλάδην ἵνα μὴ δ′ λέγωσιν.

Ch 901 ⟨εὐορκώματα⟩ ] τὰ ὁρκωμόσια ἃ συνωμόσαμεν. ⟨ἅπαντας .

Ch 902 .. πλέον⟩ ] πλέον λέγε πάντας ἀνθρώπους ἔχειν ⟨ἢ⟩ τοὺς θεοὺς ἐχθρούς. ⟨πρὸς αὐτὸν⟩ ] πρὸς αὐτὸν τὸν Αἴγισθον.

Ch 904 πιθανῶς δὲ ἵνα μὴ ἐν φανερῶι ἡ ἀναίρεσις γένηται. γηράνα ι· ἀπὸ τοῦ γήρημι.

Ch 914 οὔτοι] οὐκ ἔστιν ἀπορρίψαι τὸ δορυξένοις ἐκδοῦναι πρὸς ἀνατροφήν. ⟨σου⟩ ] ἑτέρωι συγκοιμωμένης.

Ch 917b ⟨τοῦτ’⟩ ] τὸν Αἴγισθόν φησιν. ⟨εἴφ’⟩ ] ὅτι Κασάνδραν ἐπέγημεν.

Ch 919 ⟨μὴ ἔλεγχε⟩ ] ἄνδρα ἐν πολέμοις πονοῦντα μὴ θέλε κρίνειν γυνὴ οὖσα. ⟨κύνασ⟩ ] τὰς Ἐρινύας.

Ch 926 ⟨πρὸς τύμβον⟩ ] ὅτι μέλλω τελευτᾶν· παροιμ(ίαν) εἶναι τοῦτό φασι πρὸς τύμβον κλαίειν, ἤγουν πρὸς ἄνδρα νήπιον. ⟨στένω⟩ ] εὐγνωμόνως ἐλεοῦσι τοὺς περὶ Αἴγισθον.

Ch 932a ἐπήκρισεν] ἐπ’ ἄκρον ἦλθεν. ⟨διπλοῦς λέων⟩ ] οἱ περὶ Ὀρέστην καὶ Πυλάδην.

Ch 939 ⟨ἐς τὸ πᾶν⟩ ] ἤλασεν δὲ εἰς τὸ τέλος τοῦ δρόμου, ὅ ἐστιν ἤνυσε τὸν ἀγῶνα. ἀφίκετο, φησί, εἰς τὸ τέλος τοῦ ἀγῶνος. ⟨πυθόχρηστοσ⟩ ] ὁ ὑπὸ Πυθοῦς χρησθεὶς Ὀρέστης.

Ch 942-943 ⟨δόμων ἀναφυγὰς κακῶν⟩ ] ὡς τῶν οἴκων φυγόντων τὰς συντριβὰς [τῶν οἴκων]. δυσοίμο υ· δυσπορεύτου.

Ch 945a τὸ δὲ ἑξῆς· τὰς ἀναφυγὰς τῶν κακῶν τὰς ἀπὸ τῆς δυσοίμου τύχης. ἔμολε] τῶι Αἰγίσθωι ἔμολεν ἡ ποινὴ τῶι ἀποκτείναντι δόλωι τὸν Ἀγαμέμνονα.

Ch 948 ἔθιγε] ἡ δὲ Διὸς θυγάτηρ ἡ Δίκη παρέστη ἐν τῆι πρὸς Αἴγισθον μάχηι καὶ ἐφήψατο τοῦ ξίφους· δικαίως γὰρ Ὀρέστης ἠμύνατο. τὸ ἑξῆς· ἔμολεν ὀλέθριον πνέουσα.

Ch 953 ⟨τάπερ⟩ ] ἀντὶ τοῦ καθάπερ. ⟨δολίας .

Ch 955-956 .. ἐποίχεται⟩ ] τὴν Κλυταιμήστραν τὴν δολίως βλάπτουσαν καὶ ἐπὶ πολὺν χρόνον τὸν οἶκον ἐποίχεται ἡ δίκη· ⟨ἢ⟩ ἐπεξῆλθε τὴν δίκην βλαπτομένην ἐκ πολλοῦ Ὀρέστης. ⟨κρατεῖται⟩ ] συμβάλλεται οὖν τὸ θεῖον τοῖς μὴ ὑπουργοῦσι τοῖς κακοῖς.

Ch 960 ⟨ἀρχὰν⟩ ] τοὺς θεοὺς ἢ τὸν Δία. ψάλιον] τὸν χαλινόν.

Ch 965-967 ⟨παντελὴς ... ἐλάσηι⟩ ] ὁ πάντα τελῶν χρόνος τὰ πρόθυρα τῶν οἴκων ἀλλάξει ἀπὸ κατηφείας εἰς λαμπρότητα. ἀμείψεται] ἀλλαγήσεται· οὐχ ὁμοίως ἔσται τοῖς πρώην ἐν τῶι οἴκωι ἡμῶν.

Ch 968a ἐλατήριον] τὸ ἐλαῦνον τοὺς ἀσεβεῖς ἢ τὸ ἀπελαθῆναι ὀφεῖλον. ἐλατήριον [δὲ] τὸ καθαρτικὸν φάρμακον.

Ch 969 ⟨τύχαι⟩ ] ἡ δὲ τύχη νῦν ἐν εὐόπτωι κοίτηι, τουτέστιν ἐν ἀγαθῆι καταστάσει πρὸς τὸ ἰδεῖν τὰ νῦν γεγονότα καὶ ἑτέρων λεγόντων ἀκοῦσαι. ⟨ἰδεῖν⟩ ] λείπει τὸ ἐστίν.

Ch 971

Eulogikon public reading copy · View original HTML at eulogikon.org

⟨μέτοικοι ... πάλιν⟩ ] οἱ νῦν τοὺς δόμους οἰκοῦντες πεσοῦνται εἰς τὸ ἔμπαλιν τῆς πρώτης τύχης· τοῦτο δὲ ἀπὸ τῶν κύβων μετήγαγεν. ἀνοίγεται ἡ σκηνὴ καὶ ἐπὶ ἐκκυκλήματος ὁρᾶται τὰ σώματα ἃ λέγει διπλῆν τυραννίδ α.

Ch 978 ξυνώμοσα ν· θάνατον τῶι πατρί. ⟨δεσμὸν⟩ ] τὸν πέπλον.

Ch 983 ⟨ἐκτείνατ'⟩ ] πρὸς τὸν χορόν. ⟨μοι⟩ ] ἡ μοι ἀντωνυ(μία) τὴν οἰκειότητα δηλοῖ.

Ch 987b ⟨ἐν δίκηι⟩ ] ἐν τῆι κρίσει τῶν Ἐρινύων. ⟨Αἰγίσθου .

Ch 989 .. μόρον⟩ ] Αἰγίσθου γὰρ οὐ λέγω μόρον, μητρὸς δέ, ἥτις ἐ π ' ἀνδρὶ τοῦ τ ' ἐμήσατο στύγο ς. ⟨βάροσ⟩ ] τὸ βάρος φίλον πρώην.

Ch 995 ⟨θιγοῦσαν⟩ ] ὑπερβολή, ὅτι καὶ τὸν μὴ δηχθέντα ἀλλὰ μόνον ἁψάμενον σήπει. ⟨τύχω⟩ ] ἀντὶ ἐπιτύχω εὐθίκτως κακολογήσας.

Ch 998 ⟨ἄγρευμα⟩ ] δίκτυον. ⟨κατασκήνωμα⟩ ] παραπέτασμα σοροῦ.

Ch 1000 ⟨ποδιστῆρασ⟩ ] τοὺς πλέον τῶν ποδῶν καθήκοντας. ἀπαιόλημα] ἀπάτημα.

Ch 1009 ⟨μίμνοντι⟩ ] τῶι τοιαῦτα πράξαντι χρόνωι πάθος ἀνθεῖ. ⟨φόνου⟩ ] τοῦ αἵματος.

Ch 1013 ⟨φθείρουσα⟩ ] ὡς πολυτελοῦς ὄντος τοῦ ἱματίου καὶ ἠφανισμένου τῶι αἵματι. ⟨διὰ⟩ ] ἡ διὰ πρὸς τὸ ἀμείψετα ι.

Ch 1019b ἄτιμο ς· ἀτιμώρητος. ⟨ὅπη τελεῖ⟩ ] εἰς τί ἀποβαίνει τὰ κατ' ἐμέ; ⟨δύσαρκτοι⟩ ] δυσχερῶς ἀρχόμεναι καὶ πειθόμεναι.

Ch 1028 ⟨μίασμα⟩ ] τὴν μητέρα. ⟨φίλτρα .

Ch 1029-1030 .. χρήσαντ' ἐμοί⟩ ] καὶ τὰς ἐπιθυμίας τῆς τόλμης φημὶ τὸν Ἀπόλλωνα χρῆσαί μοι. πλειστηρίζομαι] καυχῶμαι.

Ch 1033 ⟨οὔτις ... ἐφίξεται⟩ ] τοσαύτη γάρ ἐστιν ὡς μηδὲ τοξότην ἐφικέσθαι τοῦ μήκους. ⟨τόδ'⟩ ] τὸ ἐν Παρνασσῶι.

Ch 1064 εὐκαίροις] συντυχίαις. γονία ς· ἄνεμος ὅταν ἐξ εὐδίας κινηθῆι χαλεπὸν πνεῦμα.

Eum t SCHOLIA VETERA IN EVMENIDES Ἀριστοφ(άνους) γρ(αμματικοῦ) ἡ ὑπόθεσις Ὀρέστης ἐν Δελφοῖς περιεχόμενος ὑπὸ τῶν Ἐρινύων βουλῆι Ἀπόλλωνος παρεγένετο εἰς Ἀθήνας εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς· ἧς βουλῆι νικήσας κατῆλθεν εἰς Ἄργος. [1]

Eum hyp (t) τὰς δὲ Ἐρινύας πραΰνασα προσηγόρευσεν Εὐμενίδας. παρ' οὐδετέρωι κεῖται ἡ μυθοποιία. τὰ τοῦ δράματος πρόσωπα· Πυθιὰς προφῆτις, Ἀπόλλων, Ὀρέστης, Κλυταιμήστρας εἴδωλον, χορὸς Εὐμενίδων, Ἀθηνᾶ, προπομποί. MGFE φαίνεται ἐπὶ σκηνῆς τὸ μαντεῖον, ἡ δὲ προφῆτις πρόεισιν ἐπικλήσεις ὡς ἔθος τῶν θεῶν ποιησομένη· ἀπροόπτως δὲ ἰδοῦσα τὰς Ἐρινύας κύκλωι τοῦ Ὀρέστου καθευδούσας πάντα μηνύει τοῖς θεαταῖς, οὐχ ὡς διηγουμένη τὰ ὑπὸ τὴν σκηνήν—τοῦτο γὰρ νεωτερικὸν ⟨καὶ⟩ Εὐριπίδειον—ὑπὸ δὲ τῆς ἐκπλήξεως τὰ θορυβήσαντα αὐτὴν καταμηνύουσα φιλοτέχνως. [5]

Eum 1a τὰ δὲ πρῶτα εὐχαὶ καὶ ἐπικλήσεις θεῶν, ἵνα ἀπὸ τῶν εὐφημοτέρων ἄρξηται ἡ προφῆτις. οἰκονομικῶς δὲ οὐκ ἐν ἀρχῆι διώκεται Ὀρέστης, ἀλλὰ τοῦτο ἐν μέσωι τοῦ δράματος κατατάττει, ταμιευόμενος τὰ ἀκμαιότατα ἐν μέσωι. M φαίνεται ἐπὶ σκηνῆς τὸ μαντεῖον, ἡ δὲ προφῆτις πρόεισιν ἐπίκλησιν ὡς ἔθος τῶν θεῶν ποιησαμένη· ἀπροόπτως δὲ ἰδοῦσα τὰς Ἐριννύας κύκλωι τοῦ Ὀρέστου καθευδούσας πάντα μηνύει τοῖς θεαταῖς, οὐχ ὡς διηγουμένη τὰ ὑπὸ τὴν σκηνήν—τοῦτο γὰρ νεωτερικὸν καὶ Εὐριπίδειον—ὑπὸ δὲ τῆς ἐκπλήξεως τὰ θορυβήσαντα αὐτὴν καταμηνύουσα φιλοτέχνως. [5]

Eum 1b τὰ δὲ πρῶτα εὐχαὶ καὶ ἐπικλήσεις θεῶν, ἵνα ἀπὸ τῶν εὐφημοτέρων ἄρξηται ἡ προφῆτις. E πρεσβεύω] προτιμῶ.

Eum 1c Μ μητρὸς] ἢ τῆς κοινῆς μητρὸς πάντων Γῆς ἢ τῆς Θέμιδος, ἥτις ὀπτήριον θεασαμένη τὸν τῆς ἀδελφῆς αὐτῆς Λητοῦς παῖδα δέδωκε συγγενικὴν δόσιν.

Eum 3a ἀπόδειξις δὲ αὕτη τῆς δωρεᾶς οὐκ ἀχάριστος. Ε 〈μητρὸσ〉 ] ἢ τῆς κοινῆς μητρὸς πάντων ἢ τῆς Θέμιδος.

Eum 3b Μ λάχει] κλήρωι.

Eum 5a Μ 〈πρὸς βίαν〉 ] Πίνδαρός φησι πρὸς βίαν κρατῆσαι Πυθοῦς τὸν Ἀπόλλωνα· διὸ καὶ ταρταρῶσαι αὐτὸν ἐζήτει ἡ Γῆ.

Eum 5b Μ 〈δίδωσι〉 ] ἀντὶ ὀπτήριον.

Eum 7 θεασαμένη 〈γὰρ〉 τὸν τῆς ἀδελφῆς ἑαυτῆς Λητοῦς παῖδα δέδωκε συγγενικὴν δόσιν. Μ 〈παρώνυμον〉 ] ἀπόδειξις αὕτη τῆς δωρεᾶς οὐκ ἀχάριστος.

Eum 8 Μ 〈λίμνην〉 ] τὴν στρογγύλην.

Eum 9a Μ 〈χοιράδα〉 ] τὴν Κύνθον.

Eum 9b διὰ δὲ τοῦ χοιράδα σχεδὸν τὴν αἰτίαν φησὶ δι’ ἣν ἀπέλιπεν Ἀπόλλων, ἐκκλίνων τὸ εὐτελὲς τοῦ χωρίου. Μ ἐς τήνδε] χαριζόμενος Ἀθηναίοις καταχθῆναί φησι ἐκεῖσε Ἀπόλλωνα κἀκεῖθεν τὴν παραπομπὴν αὐτῶι εἶναι· ὁ δὲ Πίνδ(αρος) ἐκ Τανάγρας τῆς Βοιωτίας.

Eum 11 Μ πέμπουσι] Θησεὺς τὴν ὁδὸν ἐκάθηρε τῶν ληιστῶν· καὶ ὅταν πέμπωσιν εἰς Δελφοὺς θεωρίδα, προέρχονται ἔχοντες πελέκεις ὡς διημερώσοντες τὴν γῆν.

Eum 12 Ε κελευθοποιοὶ] οἱ Ἀθηναῖοι.

Eum 13 Θησεὺς γὰρ τὴν ὁδὸν ἐκάθηρε τῶν ληιστῶν. καὶ ὅταν πέμπωσιν εἰς Δελφοὺς θεωρίδα, προέρχονταί τινες ἔχοντες πελέκεις ὡς διημερώσοντες τὴν γῆν. Μ 〈Δελφόσ〉 ] καὶ ὁ Δελφός [λεὼς], ὅς ἐστι τῆς χώρας ἄναξ καὶ κυβερνήτης.

Eum 16a Μ 〈Δελφόσ〉 ] Ἐπαφρόδιτος ἐν ὑπομνήματι Καλλιμάχου αἰτίων β′ φησί· Μελανθοῦς τῆς Δευκαλίωνος καὶ Κηφισοῦ τοῦ ποταμοῦ γίνεται Μέλαινα τοὔνομ α , Μελαίνης δὲ καὶ Ποσειδῶνος Δελφό ς , ἀ φ ’ οὗ οἱ Δελφο ί.

Eum 16b Μ κτίσα ς· ποιήσας.

Eum 17 ἰδίωμα δὲ τοῦτο Αἰσχύλου. Μ 〈Παλλὰσ〉 ] χὴ Παλλά ς , Δελφοί νιν ὅ θ ’ ἱδρύοντο Προναίη ν.

Eum 21 Καλλίμ(α)χ(ος). Μ 〈Κωρυκὶς πέτρα〉 ] πέτραν φησὶ κοίλην τὸν Παρνασσόν.

Eum 22a διὰ τὸ εἶναι δὲ κοῖλον τὸ ὄρος λέγεται ἐκεῖ ἀναστρέφεσθαι τοὺς δαίμονας, καὶ διὰ τὸ ἄοικον εἶναι. Ε 〈Κωρυκὶς πέτρα〉 ] ὁ Παρνασσός.

Eum 22b Μ Βρόμιος] ὁ Διόνυσος.

Eum 24a Ε ἀμνημονῶ] διὸ εἶπε δαιμόνων ἀναστροφ ή.

Eum 24b Μ 〈λαγῶ δίκην〉 ] λαγωοῦ δίκην καταπτήξαντι καὶ μὴ ἀνθισταμένωι.

Eum 26a Μ λαγῶ δίκην] οἱ λαγοὶ δειλοί εἰσιν λίαν· φησὶν αὐτὸν λαγωοῦ δίκην ὑποπτήξαντα 〈καὶ〉 μὴ ἀνθιστάμενον τοῖς πολεμοῦσιν αὐτῶι.

Eum 26b Ε Πενθεῖ] νῦν φησιν ἐν Παρνασσῶι εἶναι τὰ κατὰ Πενθέα, ἐν δὲ ταῖς Ξαντρίαις ἐν Κιθαιρῶνι.

Eum 26c ΜΕ 〈Ποσειδῶνος κράτοσ〉 ] τὴν Πυθὼ τὴν πρώην Ποσειδῶνος ὑπὲρ ἧς Καλαύρειαν ἐδέξατο.

Eum 27 Καλλίμαχος· μέσφα Καλαυρείης ἦλθεν ἐς ἀντίδοσι ν. ΜΕ 〈καλοῦσα〉 ] καλοῦσα φροιμιάζομαι.

Eum 28 Μ ἔπειτα μάντις] τοῦτό φησιν ἐπειδὴ δραματική ἐστιν ἡ ποίησις.

Eum 29 εἰ δὲ ἦν διηγηματική, εἶπεν ἂν ὁ ποιητής· ταῦτα εἰποῦσα εἰς θρόνον ἐκαθέζετο. ΜΕ ἴτω ν· ἴτωσαν Ἀττικώτερον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Eum 32 Μ παρ’ ὀλίγον ἔρημος ἡ σκηνὴ γίνεται· οὔτε γὰρ ὁ χορός πω πάρεστιν, ἥ τε ἱέρεια εἰσῆλθεν εἰς τὸν ναόν.

Eum 33a Μ διάλειμμα γίνεται.

Eum 33b Μ δεινὰ] τὰ δεινὰ ἐξέπεμψέ με τοῦ μαντείου.

Eum 34-35 ἰδοῦσα γὰρ Ὀρέστην ἐπὶ τοῦ βωμοῦ καὶ τὰς Ἐρινύας κοιμωμένας, ἔξεισι τεταραγμένη τετραποδηδὸν ἐκ τοῦ νεώ. ΜΕ σωκεῖν] διὰ τὸ γῆρας.

Eum 36a Μ 〈ἀκταίνειν〉 ] κουφίζειν.

Eum 36b σημ(αίνει) δὲ καὶ τὸ γαυριᾶν καὶ ἀτάκτως πηδᾶν. Μ ἐμφαντικῶς παρίστησι τὸν νεωστὶ ηὐθεντηκότα, οἱονεὶ τὸν φονεύσαντα· αὐθέντης γὰρ λέγεται ὁ φονευτής.

Eum 40 Ε προστρόπαιον] ἱκέτην.

Eum 41 Μ στάζοντα] ἐμφαντικῶς 〈διὰ〉 τούτου 〈τὸν〉 νεωστὶ ηὐθεντηκότα παρίστησιν.

Eum 42a Μ 〈νεοσπαδὲσ〉 ] νεωστὶ ἐσπασμένον.

Eum 42b Μ ἀργῆτι μαλλῶι] εἰώθασιν, ὅταν ἀσαφές τι εἴπωσιν, οἱ ποιηταὶ ἐπεκδιδάσκειν αὐτό.

Eum 45a Ὅμ (η )ρ ( ο ς) · κύμβαχος ἐν κονίηισιν ἐπὶ βρεγμόν τε καὶ ὤμου ς. Μ 〈ἀργῆτι μαλλῶι〉 ] εἰώθασιν οἱ ποιηταί, ὅταν τι ἀσαφὲς εἴπωσιν, ἐπεκδιδάσκειν αὐτὸ ἀπὸ τοῦ Ὁμήρου καὶ σαφὲς ποιεῖν.

Eum 45b Ε 〈γυναικῶν〉 ] τῶν Ἐρινύων.

Eum 47 Μ 〈Γοργόνασ〉 ] πρὸς τὸ φοβερὸν τῆς ὄψεως.

Eum 48 Μ οὐδ’ αὖτε] πρὸς τὸ φοβερὸν τῆς ὄψεώς φησι τὸ Γοργείοις ι.

Eum 49 καὶ γὰρ τὰς Γοργόνας λέγουσι δείματα φέρειν τοῖς ἀνθρώποις. τὸ δὲ ὅλον· εἶδον, φησίν, αὐτὰς ἐν γραφῆι πτερωτάς, ἀλλ’ οὐχ ἁρπακτικάς. Ε 〈εἶδον〉 ] ἀλλ’ οὐδ’ Ἁρπυίας αὐτὰς λέγω· εἶδον γὰρ αὐτὰς ἐν γραφῆι πτερωτάς.

Eum 50 Μ 〈βδελύκτροποι〉 ] ἅς τις βδελύξαιτο καὶ ἐκτραπείη μισήσας.

Eum 52a Μ βδελύτροποι] ἃς ἰδών τις, φησί, βδελύξαιτο καὶ ἐκτραπείη μισήσας αὐτὰς ὡς δυσειδεῖς· ἀπὸ γὰρ τῶν ὀμμάτων αὐτῶν λείβουσιν αἱματηρὸν σταλαγμόν.

Eum 52b Ε 〈βδελύκτροποι〉 ] σκυθρωποί.

Eum 52c Μ φυσιάμασιν] ἀναπνοαῖς.

Eum 53 F 〈δυσφιλῆ λίβα〉 ] οἷον αἱματηράν.

Eum 54 Μ 〈κόσμοσ〉 ] ὃν ἔχουσι περικείμενον ἑαυταῖς.

Eum 55 Μ τὸ φῦλον] οὐδέποτε τοιοῦτον γένος εἶδον.

Eum 57a Μ ὄπωπα] [καὶ] οὐδέποτε, φησί, τοιοῦτον γένος εἶδον μηδὲ ἴδοιμι.

Eum 57b Ε ὁμιλίας] συνηθείας, συνουσίας, συστήματος.

Eum 57c Μ 〈γένοσ〉 ] τὸ τῆς ἀνατροφῆς.

Eum 58 Μ 〈μελέσθω〉 ] ὥστε, εἰ θεραπείας χρεία, ἰατρός ἐστιν, εἴτε μαντείας, τερατοσκόπος, εἴτε καθαρμῶν, καθάρσιος.

Eum 61a Μ μελέσθω] ὥστε, φησίν, εἰ θεραπείας χρεία, αὐτῶι μελέσθω τῶι Ἀπόλλωνι· καὶ γὰρ εἰ θεραπείας χρεία, αὐτός ἐστιν ἰατρός, εἰ δὲ μαντείας, πάλιν αὐτός ἐστι τερατοσκόπος.

Eum 61b Ε 〈ἄλλοισ〉 ] πόσωι μᾶλλον τῶν ἰδίων.

Eum 63 Μ οὔτοι προδώσω] πρὸς Ὀρέστην φησίν· ἀπέστη γὰρ ἡ ἱέρεια.

Eum 64a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μ 〈οὔτοι προδώσω〉 ] ἐπιφανεὶς Ἀπόλλων συμβουλεύει Ὀρέστηι καταλιπεῖν μὲν τὸ μαντεῖον, φυγεῖν δὲ εἰς Ἀθήνας.

Eum 64b καὶ δευτέρα δὲ γίνεται φαντασία· στραφέντα γὰρ μηχανήματα ἔνδηλα ποιεῖ τὰ κατὰ τὸ μαντεῖον ὡς ἔχει. καὶ γίνεται ὄψις τραγική· τὸ μὲν ξίφος ἡιμαγμένον ἔτι κατέχων Ὀρέστης, αἱ δὲ κύκλωι φρουροῦσαι αὐτόν. Μ προδώσω] ἐπιφανεὶς ὁ Ἀπόλλων συμβουλεύει Ὀρέστηι καταλιπεῖν μὲν τὸ μαντεῖον, φυγεῖν δὲ εἰς Ἀθήνας. [5]

Eum 64c καὶ δευτέρα δὲ γίνεται φαντασία· στραφέντα γὰρ μηχανήματα ἔνδηλα ποιεῖ τὰ κατὰ τὸ μαντεῖον ὡς ἔχει ἐν αὐτῶι. ταῦτα δὲ ὁ Ἀπόλλων φησίν· ἡ γὰρ ἱέρεια ἀπέστη αὐτοῦ. Ε πέπων] γρ(άφεται) πρέπω ν. [5]

Eum 66 οὐχ ὅμοιος· αἱ μὲν γὰρ καθεύδουσιν, ἐγὼ δὲ ἐγρήγορα. Μ γραῖαι παλαιαὶ] πολιαὶ γάρ· παῖδες 〈δὲ〉 διὰ τὸ νέον, ἢ ἐπειδὴ ἄγαμοι καὶ παρθένοι εἰσίν· τὸ ἀλλόκοτον δὲ τῆς φύσεως διὰ τῶν ἐναντίων τραγικώτερον διασύρει.

Eum 69a Μ παλαιαὶ] παλαιὰς λέγει τὰς θεὰς καὶ κόρας.

Eum 69b κόρας μὲν ὅτι ἄγαμοι καὶ παρθένοι εἰσί, παλαιὰς δὲ διὰ τὸ γῆρας. τὸ ἀλλόκοτον δὲ τῆς φύσεως διὰ τῶν ἐναντίων τραγικώτερον διασύρει. Ε 〈κακῶν δ’ ἕκατι〉 ] ἕνεκεν τοῦ κακοποιεῖν.

Eum 71 Μ ἐλῶσι] ἐλάσουσι.

Eum 75 MFE βουκολούμενος] περιέπων, ἐνεργῶν.

Eum 78a FE 〈βουκολούμενοσ〉 ] περιέπων.

Eum 78b Μ ἄγκαθεν] ταῖς ἀγκάλαις.

Eum 80 MFE 〈μάθε〉 ] ἐπίστασαι.

Eum 86 Μ 〈σθένοσ〉 ] τὸ δὲ σὸν σθένος ἀσφαλές ἐστιν εἰς τὸ εὖ ποιεῖν.

Eum 87a Μ τὸ δὲ σὸν σθένος, φησίν, ἀσφαλές ἐστιν 〈εἰς τὸ〉 εὖ ποιεῖν.

Eum 87b Ε ὅδιος γὰρ ὁ θεός.

Eum 91 MF 〈σέβει .

Eum 92-93 .. τύχηι〉 ] τὸ τῶν ἱκετῶν σέβισμα καὶ δέημα οὐ μόνον τιμᾶι ὁ Ζεύς, ἀλλὰ καὶ σέβει, ὁρῶν αὐτὸ ὁρμώμενον προσηκούσηι τύχηι. Μ εὕδοιτ’] ὁ μὲν Ὀρέστης φυγῆι οἴχεται Ἀθήναζε πειθόμενος, αἱ δὲ Ἐρινύες μόναι καθεύδουσιν ὑπὸ πόνου ἴσως καὶ Ἀπόλλωνος, τοῦ τραγωιδοποιοῦ τοῦτο ἐπιτηδεύσαντος ἵνα διὰ τούτου ἐμφαίνηι τὸ ἄγριον αὐτῶν καὶ χαλεπόν.

Eum 94a πῶς δὲ διεγείρονται; οὐχ ὑπὸ Ἀπόλλωνος οὐδὲ ὑφ’ ἑαυτῶν, ἀλλ’ ἐν ἄλληι φαντασίαι. ἐφίσταται γὰρ τὸ εἴδωλον Κλυταιμήστρας καὶ μεμψάμενον ἀνεγείρει, ὥστε ποικίλαις φαντασίαις πεπύκνωται. Μ ὁ μὲν Ὀρέστης φυγῆι οἴχεται Ἀθήναζε πειθόμενος, αἱ δὲ Ἐριννύες μόναι καθεύδουσιν ὑπὸ πόνου ἴσως καὶ Ἀπόλλωνος, τοῦ τραγωιδοποιοῦ τοῦτο ἐπιτηδεύσαντος ἵνα διὰ τούτου ἐμφανὲς γένηται τὸ ἄγριον αὐτῶν καὶ χαλεπόν. [5]

Eum 94b Ε ὑμῶν] ὑπὲρ ὧν, φησιν, ἐφόνευσα Ἀγαμέμνονα ἀπώσασθε, καὶ οἱ ἐμὲ φονεύσαντες οὐκ ἀτιμάζονται, ὡς Ὀρέστης οὗτος ὁ ἐμὸς υἱός.

Eum 95a Ε 〈ἀπητιμασμένη〉 ] λείπει εἰμί.

Eum 95b Μ 〈ὡς μὲν ἔκτανον〉 ] ὑπὲρ ὧν ἐφόνευσα Ἀγαμέμνονα ἀπώσασθε καὶ οἱ ἐμὲ φονεύσαντες οὐκ ἀτιμάζονται.

Eum 96 παιδευτικὰ δὲ ταῦτα· τὸ γὰρ τοὺς ἐναγεῖς καὶ μετὰ θάνατον ὑπὸ νεκρῶν ἀτιμάζεσθαι ἱκανῶς ἔχεται παιδεύσεως. Μ 〈κείνων ὕπο〉 ] καὶ σφαγεῖσα αἰτιῶμαι ὑπ’ αὐτῶν τῶν περὶ Ἀγαμέμνονα.

Eum 99a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μ σφαγεῖσα, φησίν, αἰτιῶμαι ⟨ὑπὸ⟩ τῶν περὶ Ἀγαμέμνονα.

Eum 99b Ε ⟨πληγὰσ⟩ ] τραγικώτερον [δὲ] τὸ εἴδωλον Κλυταιμήστρας σώζει τὴν σφαγήν.

Eum 103 Μ ⟨εὕδουσα⟩ ] ἐν τῶι καθεύδειν ὁ νοῦς ἀκριβέστερον ὁρᾶι μὴ παραπλανώμενος τῆι θέαι.

Eum 104a Μ ἐν τῶι καθεύδειν, φησίν, ὁ νοῦς ἀκριβέστερον ὁρᾶι μὴ πλανώμενος τῆι θέαι τῆς ἡμέρας.

Eum 104b καὶ γὰρ τῆς νυκτὸς αἱ ἔννοιαι ἄρισται. Ε ⟨μοῖρ’⟩ ] ἡ τῆς φρενὸς μοῖρα οὐ προορᾶι ἐν ἡμέραι.

Eum 105 Μ ⟨ἀοίνουσ⟩ ] οἶνος γὰρ οὐ σπένδεται Ἐρινύσιν.

Eum 107a Μ οἶνος γὰρ οὐ σπένδεται Ἐριννύσιν.

Eum 107b ἔθυον δὲ αὐταῖς κατὰ τὴν νύκτα, ἐν ἧι οὐδεὶς τῶν θεῶν ἐκοινώνει τῆς θυσίας αὐταῖς. ἐν γὰρ τῶι μεσονυκτίωι μόναις Ἐριννύσιν ἀπάρχονται θύειν. Ε ⟨ἔθυον⟩ ] ἔθυον ⟨ἐν νυκτὶ⟩ ἐν ἧι οὐδεὶς τῶν θεῶν ἐκοινώνει τῆς θυσίας ὑμῖν.

Eum 109a ἐν γὰρ τῶι μεσονυκτίωι μόναις Ἐρινύσιν ἀπάρχονται. Μ ⟨ὥραν⟩ ] ⟨σημείωσαι⟩ ὅτι ταύταις μόναις ἐν νυκτὶ θύουσιν.

Eum 109b Μ ⟨ἐξαλύξασ⟩ ] διὰ τὸ πεφευγέναι ἐκ τοῦ νεώ.

Eum 111 Μ ἐκκατιλλώψας] χλευάσας, ἐγγελάσας.

Eum 113a F ⟨ἐκκατιλλώψασ⟩ ] χλευάσας, ἐγγελάσας.

Eum 113b διὰ δὲ τούτων ἐρεθίζει αὐτάς. ΜΕ ⟨μυγμόσ⟩ ] παρεπιγραφή.

Eum 117 τοῦτο δέ ἐστιν ὅ φησι ὁ ποιητής· αἱ δ ’ ἐπέμυξα ν. τὸ δὲ ἐγείρεσθαι ⟨ἀθρόωσ⟩ τὰς παρειμένας ὕπνωι οὐ πιθανόν· κατὰ βραχὺ οὖν ἐκ προσβάσεως τὴν ἔγερσιν ποιήσονται. Μ ὤζεις] ὡς παρὰ τὸ αἲ αἲ αἰάζειν, οὕτω παρὰ τὸ ὢ ὢ ὤζειν.

Eum 124a Μ ὡς παρὰ τὸ αἲ αἲ αἰάζειν, οὕτω καὶ παρὰ τὸ ὢ ὢ ὤζειν.

Eum 124b τί οὖν ⟨μέλλεισ⟩ τὸ σὸν ἔργον ἀνύειν; Ε τί σοι] τί οὖν μέλλεις τὸ σὸν ἔργον ἀνύειν; Μ ⟨συνωμόται⟩ ] συνωμοσίαν ποιήσαντες κατεκοίμησαν ὑμᾶς.

Eum 127a Μ συνωμοσίαν, φησί, ποιήσαντες κατεκοίμησαν ὑμᾶς.

Eum 127b Ε ἐξεκήραναν] παρείλοντο.

Eum 128 Μ ⟨λάβε⟩ ] ὀνειροπολοῦσαι διώκειν Ὀρέστην τοῦτό φασιν.

Eum 130a Μ ὀνειροπολοῦσαι διώκειν Ὀρέστην ἐοίκασιν.

Eum 130b Ε ἄλγησον] οὕτως ἄλγησον, φησίν, ὡς μαστιζόμενος.

Eum 135 Ε ⟨ἀντίκεντρα⟩ ] ἴσα μαστίγων.

Eum 136 Μ ⟨πνεῦμ’⟩ ] οἰκεῖον τῶι πνεῦμα τὸ ἐπουρίσασ α.

Eum 137a Μ ⟨ἐπουρίσασα⟩ ] ἐφορμήσασα τῶι Ὀρέστηι.

Eum 137b Μ ἐφορμήσασα τῶι Ὀρέστηι.

Eum 137c τὸ δὲ ἀτμῶι κατισχαίνουσα ἀντὶ τοῦ πυρετῶι αὐτὸν ἀναλίσκουσα, ὡς δοκεῖν ἀτμοὺς ἀνιέναι ἀπὸ τῆς γαστρὸς αὐτοῦ. Ε ἀτμῶι] πυρετῶι αὐτὸν ἀναλίσκουσα, ὡς δοκεῖν ἀτμοὺς ἀνιέναι ἀπὸ τῆς γαστρὸς αὐτοῦ.

Eum 138a Μ κατισχαίνουσα] ἐκλεπτύνουσα.

Eum 138b Μ ἐξ ὧν μία.

Eum 140a Μ μιμούμενος ἐμφαντικῶς τὴν ἀλήθειαν οὐκ ἀναστήσει αὐτὰς ἀθρόως, ἀλλ’ ἐγείρεταί τις πρώτη, ὥστε μὴ ἀθρόως τὸν χορὸν φθέγξασθαι.

Eum 140b Μ ματᾶι] μάταιον γίνεται.

Eum 142 Μ ⟨ἐπάθομεν⟩ ] λείπει δεινά.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Eum 143 MF ἢ πολλὰ] κομματικῶς ἕκαστον κατ’ ἰδίαν προενεκτέον.

Eum 144 αἱ γὰρ διακοπαὶ πρόσφοροι τοῖς πάθεσιν. M κομματικῶς ἕκαστον κατ’ ἰδίαν προενεκτέον—αἱ γὰρ διακοπαὶ πρόσφοροι τοῖς πάθεσι τούτοις—καθ’ ἓν καὶ ἕν.

Eum 145 τὸ δὲ καθιππάσω ἀντὶ τοῦ κατεπολέμησας αὐτάς. E 〈ἄφερτον κακόν〉] ἀφόρητον κακὸν ἐπάθομεν.

Eum 146 M καθιππάσω] κατεπολέμησας.

Eum 150 M 〈τοκεῦσιν〉] συλληπτικῶς.

Eum 153a M συλληπτικῶς χρὴ λέγεσθαι τὸν μητραλοία ν.

Eum 153b E 〈ἔτυψεν〉] ὡς ἡνίοχος ἔτυψέ με.

Eum 156a M οὕτως ἔτυψέ με, φησίν, ὥσπερ ἡνίοχος.

Eum 156b E λοβό ν· μέρος τοῦ ἥπατος.

Eum 159a M λοβόν] λοβὸς [τὸ] μέρος τοῦ ἥπατος.

Eum 159b E μαστίκτορος] λείπει τὸ ὡς.

Eum 160a M μαστίκτορος] ἀπὸ κοινοῦ τὸ ἔτυψ ε.

Eum 160b E 〈περίβαρυ〉] οὐ τὸ τυχόν, ἀλλὰ περισσῶς βαρύ.

Eum 161a M κρύος ἔχειν] οὐ τὸ τυχὸν βαρύ, ἀλλὰ τὸ περισσόν.

Eum 161b E κρύος ἔχειν] ἡμᾶς φασιν.

Eum 161c M 〈δίκας πλέον〉] παρὰ τὸ δίκαιον τὸ πᾶν ἔχοντες.

Eum 163 M τὸν θρόνον, φασίν, οὗ Ὀρέστης καθῆστο, πάρεστιν ὁρᾶν φονολιβῆ ἀπὸ ποδῶν ἕως κεφαλῆς.

Eum 164a τὸ γὰρ γᾶς ὀμφαλὸν ἀντὶ τοῦ 〈τὸν〉 ἐν Πυθοῖ. διὰ τούτων ἀποσκευάζειν δοκοῦσι τῆς ἐπικουρίας τῶν θεῶν τὸν Ὀρέστην, ὥστε τὸν ὀμφαλὸν ἔχειν αἱμάτων ἄγος ἐπαίροντα. E φονολιβῆ] τὸν θρόνον, οὗ Ὀρέστης καθῆστο, πάρεστιν ὁρᾶν φονολιβῆ ἀπὸ ποδῶν ἕως κεφαλῆς ὅλον.

Eum 164b τὸ δὲ γᾶς ὀμφαλὸν ἀντὶ τοῦ τὸν ἐν Πυθοῖ. διὰ δὲ τούτων ἀποσκευάζειν δοκοῦσι τῆς ἐπικουρίας Ὀρέστου τὸν θεόν. M 〈προσδρακεῖν〉] ὥστε τὸν ὀμφαλὸν ἔχειν αἱμάτων ἄγος ἐπαίροντα.

Eum 166a M προσδρακεῖν] λείπει ὁ καί.

Eum 166b M 〈αὐτόκλητοσ〉] αὐτὸς αὑτὸν καλέσας ἐπὶ τῶι μιᾶναι τὸν ναόν.

Eum 170 ME 〈μοίρασ〉] ἡμᾶς ὅσον ἐπὶ σοί.

Eum 172 M ποτιτρόπαιος] ὧν ἐναγὴς ἐν τῶι κάραι ἑαυτοῦ ἕτερον μιάστορα λήψεται, καὶ οἱ ἐξ αὐτοῦ δίκας ἡμῖν δώσουσιν.

Eum 176-177 ME 〈ποτιτρόπαιοσ〉] προστρόπαιος ἀντὶ τοῦ ἐναγής.

Eum 176a M ποτιτρόπαιος] ἐναγής.

Eum 176b M τὸ μὲν πρῶτον πρὸς πάσας ὁ λόγος, ἑξῆς δὲ πρὸς μίαν ἀποδίδοται.

Eum 180 E 〈ὄφιν〉] τραγικώτερον ὄφιν εἶπεν τὸ βέλος διὰ τὸν ἰόν, πτηνὸν δὲ διὰ τὸ ἐπτερῶσθαι.

Eum 181a τὸ μὲν πρῶτον πρὸς πάσας ὁ λόγος, πρὸς μίαν δὲ ἑκάστην νῦν. M τραγικώτερον ὄφιν εἶπε τὸ βέλος διὰ τὸν ἰόν, πτηνὸν δὲ διὰ τὸ ἐπτερῶσθαι.

Eum 181b E θώμιγγος] νευρᾶς.

Eum 182 M 〈μέλανα .

Eum 183a .. ἀφρόν〉] τὸ αἷμα μέλανα ἀφρὸν εἶπεν, οὐ δήπου τὸ ἔμφυτον αὐτῶν—ἀναίμονες γάρ εἰσιν οἱ θεοί—ἀλλὰ τὸ ἀπ’ ἀνθρώπων ἠθροισμένον, ὡς τούτωι τροφῆι χρωμένων αὐτῶν. M μέλανα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀφρὸν εἶπε τὸ αἷμα, οὐ δήπου τὸ ἔμφυτον αὐτῶν— ἀναίμονες γάρ εἰσιν οἱ θεοί—ἀλλὰ τὸ ἀπ' ἀνθρώπων ἠθροισμένον.

Eum 183b ἀφρὸν δὲ τὴν πῆξιν τοῦ αἵματος. E θρόμβους] τὰς πήξεις τοῦ αἵματος.

Eum 184 M καρανιστῆρες] αἱ ἀποκεφαλίζουσαι.

Eum 186 M 〈χλοῦνισ〉 ] ἡ ἐκτομὴ μορίων.

Eum 188a M χλοῦνις ἀκρωνί α· ἡ ἀκμαία ἀποκοπὴ παρὰ τὴν χλόην· ἢ ἐπεὶ χλούνης ὁ σῦς, κάπροι δὲ συνεχῶς εὐνουχίζονται.

Eum 188b διὰ τοῦτο τὴν ἀποκοπὴν συικὴν εἶπεν, οὐκ ἀνθρωπίνην. M χλοῦνιν λέγει τὴν ἀκμαίαν ἀποκοπὴν παρὰ τὴν χλόην· ἢ ἐπεὶ χλούνης ὁ σῦς, κάπροι δὲ συνεχῶς εὐνουχίζονται.

Eum 188c FE 〈ἀκρωνία〉 ] κακῶν ἄθροισις [ἢ λιθοβολίας].

Eum 188d Ἡρωδ(ιανὸς) δὲ τὸ σύστημα καὶ ἄθροισμα. M 〈λευσμόν〉 ] ἡ λιθοβολία.

Eum 189 M ἑορτῆ ς· εἰρωνικῶς ἀντὶ τοῦ διατριβῆς.

Eum 191a M τὸ ἑορτῆς εἰρωνικὸν ἀντὶ τοῦ διατριβῆς.

Eum 191b FE 〈πᾶς .

Eum 192-193 .. μορφῆσ〉 ] ἀντὶ τοῦ διὰ τῆς μορφῆς ὑμῶν ἡ κακία τῶν τρόπων ὑμῶν διαδείκνυται. ME τρίβεσθαι μῦσος] μῦσος προστρίβεσθαι.

Eum 195 M 〈ἄνευ βοτῆροσ〉 ] μόναι ὡς ἀνήμερα θηρία.

Eum 196 M 〈αὐτὸς .

Eum 199-200 .. παναίτιοσ〉 ] οὐκ ἐπικοινωνῶν τῆι αἰτίαι, ἀλλὰ τοῦ παντὸς σὺ αἴτιος. ME 〈δέκτωρ〉 ] ὥστε δέξασθαι τὸν φονέα.

Eum 204 ME 〈προπομποὺσ〉 ] ἠθικεύσαντο τὰς διωκτρίας προπομποὺς εἰποῦσαι.

Eum 206 ME τίς γὰρ] τί προστέταχθε ποιεῖν περὶ ἀνδροφόνου ἀνδρὸς γυναῖκα φονεύσαντος; E τί γὰρ] τί προστέταχθε ποιεῖν περὶ ἀνδροφόνου γυναικός; M 〈αὐθέντησ〉 ] ὁ τοῦ Ἀγαμέμνονος φόνος οὐκ ἦν αὐθέντης, ὅ ἐστι μιαρός.

Eum 212a M αὐθέντης] ὁ τοῦ Ἀγαμέμνονος φόνος, φησίν, οὐκ ἔστιν αὐθέντης, ὅ ἐστι μιαρός.

Eum 212b E ἡσυχαιτέρα ν· δολιωτέραν.

Eum 223 MF 〈δίκασ〉 ] ἡ δίκη τοῦ μητρώιου αἵματος.

Eum 230 M 〈μῆνισ〉 ] μή τοί τι θεῶν μήνιμα γένωμα ι.

Eum 234 M 〈ἀφοίβαντον〉 ] ἀκάθαρτον.

Eum 237 M 〈προστετριμμένον〉 ] ἀντὶ ἐπελθόντα.

Eum 238 M 〈ἄλλοισιν〉 ] ἄλλοις προστριψάμενον τὸ μύσος.

Eum 239 M φραδαῖς] ταῖς ἐννοίαις.

Eum 245 M 〈τετραυματισμένον〉 ] ὡς αὐτόχρημα αἱματοῦντος 'Ορέστου καὶ μιαίνοντος τὴν γῆν ἧς ἐφάψεται.

Eum 246a M τετραυματισμέ ( νο ν)· τὸ μὲν ἀπορρεῖν τὸ αἷμα παραδοξολογίας ἐστὶ τραγικῆς.

Eum 246b ὅρα δὲ μὴ ἐκβαίνηι τὴν πίστιν ὁ ἀπὸ Ἄργους εἰς Δελφοὺς ἥκων, εἶτα ἐκεῖθεν εἰς Ἀθήνας καὶ ἔτι αἷμα στάζων ἀπὸ τοῦ ξίφους. φαντασία οὖν ἀμήχανος· ἀλλὰ καὶ συγκέχυται τῆι παραδοξολογίαι. M 〈ἀνδροκμῆσι〉 ] μεγαλοκμῆσιν. [5]

Eum 248 M 〈σπλάγχνον〉 ] τὸ ἡμέτερον σπλάγχνον.

Eum 249 M 〈ἀπτέροισ〉 ] 〈σημείωσαι〉 ὅτι μὴ πτερωτὰς εἰσήγαγεν αὐτάς.

Eum 250 M 〈καταπτακών〉 ] καταπτήξας πρὸς τῶι ἀγάλματι.

Eum 252 M προσγελᾶι] προσσαίνει.

Eum 253 M τὸ αὐτὸ πρόσωπόν ἐστιν.

Eum 254 M ἀτίτα ς· ἀτιμώρητος.

Eum 256a M ἀτίμας] ἀτιμώρητος.

Eum 256b F 〈πλεχθεὶσ〉 ] ἀνθ' ὧν ἡμῖν χρεωστεῖ πρόσφυξ θέλει γενέσθαι τῆς θεοῦ.

Eum 259 M 〈οὐ πάρεστιν〉 ] οὐ πάρεστιν αὐτῶι νικῆσαι ἡμᾶς.

Eum 261 M 〈δυσαγκόμιστον〉 ] τὸ ἅπαξ χυθὲν αἷμα δυσίατον.

Eum 262 M τὸ διερὸν] τὸ βρέξαν τὴν γῆν.

Eum 263a M 〈διερὸν〉 ] πᾶν διερὸν ἐκκεχυμένον εἰς τὴν γῆν δυσαγκόμιστον· τοιοῦτο οὖν καὶ τὸ αἷμα.

Eum 263b M ῥοφεῖν] καταπίνειν.

Eum 264 M 〈πέλανον〉 ] θρόμβον αἵματος.

Eum 265 M εὔθυνος] δικαστής.

Eum 273 M δελτογρά ( φω ι)· ἐφορᾶι δὲ πάντα ἀναγραφόμενος αὐτὰ τῆι ἰδίαι δέλτωι.

Eum 275 M ἐγὼ διδαχ ( θεί ς)· διδαχθεὶς πολλοὺς καθαρμούς, ὅ ἐστι τηλικαῦτα ἀτυχήσας, ἃ πολλῶν ἐδεήθη καθαρμῶν.

Eum 276-278 ἄλλως· οἱ ἐναγεῖς οὔτε ἐν ἱερῶι προσήιεσαν οὔτε προσέβλεπον οὐδὲ διελέγοντό τινι. καὶ παρ' Εὐριπίδ(ηι)· τί σιγᾶ ς ; μῶν φόνον τι ν ' ἠργάσ ω; ἐπεὶ οὖν Ὀρέστης μέλλει διαλέγεσθαι δοκῶν ἔτι ἐναγὴς εἶναι, ἐγώ, φησί, διδαχθεὶς σὺν κακῶι τῶι ἐμαυτοῦ καὶ οἷον διδασκάλοις χρησάμενος ταῖς ἐμαῖς συμφοραῖς, ἐπίσταμαι καὶ σιγᾶν καὶ λαλεῖν ὅπου δεῖ, ἑκατέρου καιρὸν γινώσκων. M 〈βρίζει〉 ] κοιμᾶται. [5]

Eum 280 M ἔκπλυτον] ἐκκεκαθαρμένον.

Eum 281 M 〈ἀβλαβεῖ〉 ] ἐβλάπτοντο γὰρ οἱ μυσαροῖς ξυντυγχάνοντες.

Eum 285 M 〈αὐτόν〉 ] λείπει ἐμέ.

Eum 290a M 〈Ἀργεῖον λεὼν〉 ] ὡς τότε συμμαχούντων Ἀργείων Ἀθηναίοις.

Eum 290b M 〈Τρίτωνοσ〉 ] 〈σημείωσαι〉 ὅτι διὰ τοῦτο οἴεται αὐτὴν Τριτογένειαν.

Eum 293 M 〈θρασὺς ταγοῦχοσ〉 ] ὡς θρασὺς ἡγεμών· ἁρμόττουσα δὲ ἡ εὐχή.

Eum 296 δεῖται γὰρ ἐνδρανοῦς βοηθοῦ. M τὸ ἑξῆς· ἔλθοι, ὅπως γένοιτο.

Eum 298 M 〈ἀναίματον .

Eum 302 .. σκιά〉 ] ὁ μηδὲ αἷμα σχήσων ἐξ ἡμῶν, ἀλλὰ γενησόμενος σκιά. ῥοφήσομεν γάρ σου τὸ αἷμα. ἢ ἐναίματον ἀντὶ τοῦ ζῶντά σε νεκρὸν ποιήσομεν. M 〈οὐδ' ἀντιφωνεῖσ〉 ] οὐκ ἀποκρίνηι.

Eum 303 ἢ ἀντὶ τοῦ οὐδὲ ἀντιφωνήσεις μοι, ἀλλὰ σοῦ βουλομένου λαλεῖν τὸ φθέγμα δεθήσεται. M 〈ἀποφαίνεσθαι〉 ] ὡς ἐπὶ νεκρῶι.

Eum 309 M 〈λάχη〉 ] τοὺς κλήρους ἡμῶν.

Eum 310 ἀπὸ κοινοῦ δὲ τὸ δεδόκηκε ν. M 〈ὡς ἐπινωμᾶι〉 ] δεδόκηκεν ἡμῖν λέξαι τίνα τρόπον τὰ κατ' ἀνθρώπους λάχη ἐφορεύομεν.

Eum 311a M ἐπινωμᾶι] ἐπισκοπεῖ.

Eum 311b M 〈στάσισ〉 ] τὸ σύστημα.

Eum 311c M 〈ἐπικρύπτει〉 ] τὸν φόνον κρύψαι θέλει.

Eum 317 M 〈τοῖσι θανοῦσιν〉 ] τοῖς ἀναιρεθεῖσιν.

Eum 318 M ⟨μᾶτερ⟩ ] ἐπεὶ ὑπὲρ τῆς μητρὸς Ὀρέστου ἀγωνίζονται, οἰκείως τὴν μητέρα ἑαυτῶν ὀνομάζουσιν.

Eum 321 M ⟨ἀλαοῖσι καὶ δεδορκόσιν⟩ ] ζῶσι καὶ θανοῦσιν ἔκδικον.

Eum 323 M ⟨ματρῷιον ἄγνισμα⟩ ] τὸν τῶι ἰδίωι θανάτωι ἀφαγνιοῦντα τὸν φόνον τῆς μητρός.

Eum 326 ἄγνισμα δέ τινες εὐφήμως τὸ μόλυσμα. M ἐπὶ] ἐπὶ Ὀρέστηι δὲ μέλλοντι θύεσθαι λεχθήσεται ὕμνος ἐξ ἡμῶν, ὡς ἐπὶ ἱερείωι, ὃς αὐτοῦ τὰς φρένας παρακόψει.

Eum 328-332 M παραφορὰ] παρακίνησις τῶν φρενῶν.

Eum 330 M δέσμιος] ὁ δεσμεύων αὐτοῦ τὰς φρένας.

Eum 332 M ⟨αὐονὰ⟩ ] ὁ ξηραίνων τοὺς βροτούς.

Eum 333 M ⟨διανταία⟩ ] ἡ διαμπὰξ τιμωρουμένη.

Eum 334 M αὐτουργίαις] αὐτοφονίαις.

Eum 336 M ⟨τοῖς ὁμαρτεῖν⟩ ] τούτοις ἡμᾶς ἀκολουθεῖν, ἕως ἀποθάνηι ὁ τοιοῦτος.

Eum 338 M θανὼν] λείπει γίνεται.

Eum 339 M ⟨οὐκ ἄγαν ἐλεύθεροσ⟩ ] ἀλλὰ πάλιν κολάζεται.

Eum 340 M ἐφυμνίωι αὐτῶι χρῆται.

Eum 341 λέγεται δὲ καὶ μεσόφθεγμα. M ἀφόρμικτο ς· οὐ γὰρ σὺν ὀργάνοις μουσικοῖς γίνεται οὗτος ὁ ὕμνος.

Eum 345a M ⟨δέσμιοσ⟩ ] ὁ δεσμεύων αὐτοῦ τὰς φρένας.

Eum 345b M λάχη] ἀντὶ τοῦ γέρα.

Eum 349 M ἀπέχειν] μὴ πλησιάζειν ἡμᾶς τοῖς θεοῖς.

Eum 350 M ⟨παλλεύκων .

Eum 352 .. ἐτύχθην⟩ ] οὐδαμοῦ ὅπου ἑορτὴ καὶ ἀμπεχόνη καθαρὰ πάρειμι. M ⟨ὅταν⟩ ] ὅταν τις ἐχθρὸς συγγενὴς ὢν τὸν συγγενῆ φονεύσηι.

Eum 355 M πίθασος] οἰκεῖος, φίλος.

Eum 356 M ⟨ὤ⟩ ] διὰ μέσου τὸ ὤ.

Eum 357 M ⟨αἵματος νέου⟩ ] τοῦ νεωστὶ εἰργασμένου ὑπ' αὐτοῦ.

Eum 359a M νέου] διὰ τὸ νέον αἷμα.

Eum 359b M τινὰ] τὴν Κλυταιμήστραν.

Eum 360 MF ⟨ἐπικραίνειν⟩ ] λείπει εὔχομαι· ⟨εὔχομαι⟩ τοῖς θεοῖς τελέσαι μου τὸ βούλημα καὶ μὴ εἰς μάχην μοι ἐλθεῖν.

Eum 361-363 M ⟨τόδε⟩ ] τὸ τῶν φονέων.

Eum 365 M ⟨ὑπ' αἰθέρι⟩ ] καὶ τοὺς ὑψηλοὺς καθαιροῦμεν.

Eum 368 M ⟨τανυδρόμοισ⟩ ] τοῖς τανυδρόμοις αὐτῶν κώλοις ἐπάγουσα τὰ σφαλερά μου κῶλα.

Eum 375 ἢ ἀπ' ἄλλης ἀρχῆς· καὶ τοῖς τανυδρόμοις γίνεται σφαλερὰ τὰ κῶλα διὰ τὴν ἐπιοῦσαν ἄτην δύσφορον ὑπ' ἐμοῦ. οἷον, καὶ οἱ ταχυδρόμοι οὐ δύνανταί με ἐκφυγεῖν. M ⟨ὑπ' ἄφρονι⟩ ] παραφρονῶν γὰρ οὐκ αἰσθάνεται τοῦ κακοῦ.

Eum 377 M ⟨κνέφασ⟩ ] σκότος φρενῶν· λείπει, φασί, διά, διὰ μύσος.

Eum 378 οὐκ ἔστι δέ· αὐτὸ γὰρ τὸ μύσος κνέφας εἴρηκεν. M ⟨αὐδᾶται⟩ ] κακὴ δὲ φήμη περὶ τοῦ οἴκου αὐτοῦ λέγεται.

Eum 379-380 M ⟨εὐμήχανοι⟩ ] λείπει τὸ ἐσμέν.

Eum 381 ἡμεῖς γὰρ εὐμήχανοι ἐσμὲν καὶ ἐπιτελεστικαὶ καὶ τῶν κακῶν μνήμονες. M δυσπαρήγοροι] οὐ ταχέως παρηγορούμεναι ὑπὸ βροτῶν.

Eum 384 M 〈διόμεναι λάχη〉 ] μετερχόμεναι λάχη ὑπὲρ ὧν οὐ τιμώμεθα ὑπὸ θεῶν.

Eum 385-386 M λάχη] ἀφωρισμένα τῶν θεῶν τῶι προσόντι αὐτοῖς σκότει.

Eum 386 M δυσοδοπαίπαλα] δυσπαράβατα καὶ τραχέα ζῶσι καὶ τοῖς θνήσκουσιν.

Eum 388 M 〈μοιρόκραντον〉 ] τὸν ὑπὸ Μοιρῶν καὶ θεῶν τετελεσμένον.

Eum 392 M ἔπι δέ μοι] ἔπεστιν.

Eum 393 M ἐπὶ ὀχήματος ἔρχεται.

Eum 397 M καταφθατουμένην] καταφθάνουσα.

Eum 398a M Μιτυληναῖοι ἐμάχοντο πρὸς Ἀθηναίους περὶ πόλεως Σιγείου· ἔδοξεν οὖν μονομαχίωι λῦσαι τὸν πόλεμον, καὶ ὑπὲρ μὲν Μιτυληναίων ἐπολέμει Πιττακός, ὑπὲρ δὲ Ἀθηναίων Φρύνων.

Eum 398c ἡττηθέντος δὲ Φρύνωνος διελύθη τὰ τῆς μάχης. ἔοικεν οὖν παρορμᾶν Ἀθηναίους ὁ Αἰσχύλος εἰς τὸ ἀντέχεσθαι πάλιν Σιγείου, λέγων τὴν θεὸν ἐκεῖθεν ἐληλυθέναι. M 〈αἰγίδοσ〉 ] ὡς ἁρμένωι χρωμένη τῆι αἰγίδι. [5]

Eum 404 M 〈ὑμᾶς τ'〉 ] καὶ πρὸς ὑμᾶς.

Eum 410a M 〈σπαρτῶν〉 ] τῶν σπειρομένων.

Eum 410b M 〈ἄμορφον ὄντα〉 ] ἄμομφος οὖσα οὐ δυνήσηι με ἐφ' οἷς εἶπον ἀντιψέξαι.

Eum 413 M 〈αἰανῆ〉 ] σκοτεινὰ ἢ θρηνητικὰ ἢ αἰάζειν ποιοῦντα.

Eum 416 M 〈ἐπωνύμουσ〉 ] τὰ ἐπώνυμα οἷς καλεῖσθε.

Eum 418 M 〈ὅπου〉 ] ἐν τῶι Ἅιδηι.

Eum 423 M 〈ἐπιρροιζεῖ〉 ] ἐπιβοᾶις, ἐπιβάλλεις.

Eum 424 M ἐν ἐρωτήσει.

Eum 426a M μὴ ἐξ ἀνάγκης τοῦτο πεποίηκεν; M δυοῖν] ὑμῖν μὲν κατηγορεῖν, ἐκείνωι δὲ ἀπολογεῖσθαι.

Eum 428a μηδὲ δίκην δικάσηις πρὶν ἀμφοῖν μῦθον ἀκούσηι ς. M 〈δυοῖν〉 ] σοῦ καὶ Ὀρέστου.

Eum 428b M 〈ἀλλ' ὅρκον〉 ] οὕτως, φησί, φανερόν ἐστι τὸ κατ' αὐτόν, ὡς μήτε αὐτὸν δύνασθαι ὀμόσαι ὅτι οὐκ ἔστι τοιοῦτος, μήτε θέλειν ὅρκον ἡμᾶς αἰτῆσαι, εἰ δικαίως αὐτὸν κολάζομεν.

Eum 429 M κλύειν] θέλεις αὐτὸν ἀπολογήσασθαι ἢ κατηγορεῖς αὐτοῦ ὡς πράξαντος; M μὴ πρότεινε αὐτῶι ὅρκον καὶ διὰ τούτου θέλε νικᾶν.

Eum 432a M ὅρκοις] οὐκ ὀφείλει ὁ ἀδικῶν ὅρκωι φεύγειν τὴν κατηγορίαν· ἐπιορκήσει γάρ.

Eum 432b M 〈ἐπαξίων〉 ] ἀξίων οὖσαν γονέων.

Eum 435 M 〈ψόγον〉 ] ἀντὶ ἔγκλημα.

Eum 438 M 〈προσίκτωρ〉 ] τῶι ναῶι 〈 *** 〉 .

Eum 441a M 〈τρόποις Ἰξίονοσ〉 ] ὃν τρόπον κἀκεῖνος προσεκάθητο τῶι ναῶι τοῦ Διὸς καθαρισθησόμενος.

Eum 441b πρῶτος γὰρ Ἰξίων φόνον ποιήσας ἐκαθαρίσθη ὑπὸ Διός. M 〈ἀμείβου〉 ] ἀποκρίνου μοί τι εὔγνωστον.

Eum 442 M προστρόπαιος] ἐναγής.

Eum 445 M ση(μείωσαι).

Eum 448a M 〈τὸν παλαμναῖον〉 ] τὸν φονέα.

Eum 448b M καὶ εἰς οἶκον εἰσῆλθον καὶ ὑδάτων μετέλαβον.

Eum 452 M ταύτην] τὴν τοῦ μύσους.

Eum 453 M 〈ἁρμόστορα〉 ] διατάκτορα, βασιλέα.

Eum 456 M 〈ξὺν ὧι σὺ〉 ] διὰ τούτων φιλοποιεῖται τὴν θεόν.

Eum 457 M 〈κελαινόφρων〉 ] δολιόφρων.

Eum 459 M 〈ποικίλοις ἀγρεύμασι〉 ] τῶι πέπλωι.

Eum 460 M 〈ἐξεμαρτύρει〉 ] ἐκήρυττε τὸν διὰ τῆς ἐπιχύσεως τῶν λουτρῶν γενόμενον αὐτῶι φόνον.

Eum 461 λέγεται γὰρ μετὰ τὸ φονεῦσαι γυμνὸν ἐξαγαγεῖν καὶ δεῖξαι τοῖς πολίταις. M τοῦτο δὲ πρὸς τὸ ἄλλης ἀνάγκης οὔτινος τρέων κότο ν.

Eum 465a M τῶνδε] πάντων.

Eum 465b M πράξας] τὰ κατὰ τὴν σὴν κρίσιν ἀποβαίνοντα, ὁποῖα ἂν ἦι, ἐπαινέσω.

Eum 469 M εἴ τις] εἴ τις οἴεται τὸ πρᾶγμα τόδε βροτὸς δικάζειν, μεῖζον ἢ κατ’ ἀνθρώπους οἴεται.

Eum 470-472 ἐμοὶ δὲ περὶ φόνου δικάζειν οὐχ ὅσιον. M ὀξυμηνίτου] ἐφ’ οἷς ταχέως μηνίσουσιν Ἐρινύες.

Eum 472 M 〈κατηρτυκὼσ〉 ] τέλειος τὴν ἡλικίαν.

Eum 473a τοῦτο δὲ ἀπὸ τῶν ζώιων. M 〈καθαρὸς ἀβλαβὴσ〉 ] διὰ τούτου ἐλπίδας αὐτῶι χρηστὰς ὑποτίθησιν.

Eum 474 M 〈αἱροῦμαι πόλει〉 ] δέχομαι ἐν τῆι πόλει.

Eum 475 M 〈εὐπέμπελον〉 ] εὐπαραίτητον, εὐχερῆ, εὐάρεστον· δυσάρεστοι, 〈φησί〉 , φύσει εἰσὶν αὗται.

Eum 476 M 〈τυχοῦσαι〉 ] ἀντὶ τυχουσῶν.

Eum 477 M πέμπειν αὐτὰς ἀμηνίτως δυσχερές ἐστιν ἐμοί.

Eum 481 M 〈ἐπέσκηψεν〉 ] ὡς σκηπτὸς ἐπῆλθεν.

Eum 482 M 〈ὁρκίων〉 ] οἷον ἐνόρκους δικαστάς.

Eum 483 M 〈θήσω〉 ] διετέλεσε γὰρ τὸ Ἀρειοπαγιτικὸν συνέδριον.

Eum 484 M ὑμεῖς δὲ ὅρκους αὐτοὺς αἰτήσατε.

Eum 485-486 M βέλτατα] βέλτιστα.

Eum 487a M βέλτατα] τὰ μέγιστα.

Eum 487b F 〈ὅρκον περῶντασ〉 ] ὅρκον διδόντας.

Eum 489 M ἡ μὲν Ἀθηνᾶ ἀπῆλθεν εὐτρεπίσαι δικαστάς, ὁ δὲ Ὀρέστης ἱκετεύων μένει.

Eum 490 αἱ δὲ Ἐρινύες φρουροῦσιν αὐτόν. μέλος δὲ οἰκεῖον ἄιδουσι τῆι ἑαυτῶν προαιρέσει. M τόδ’ ἔργον] τὸ μητροκτονεῖν.

Eum 494 M βροτοσκόπων] τῶν τοὺς βροτοὺς ἐπισκοπούντων.

Eum 499 M 〈τῶνδ’〉 ] ἡμῶν δηλονότι.

Eum 500 M πάν τ ’ ἐφήσω μό ( ρο ν)· οὐκέτι τινὰ μὲν ἔννομον ἡγήσομαι μόρον, τινὰ δὲ οὔ, ἀλλὰ πάντα ἐφήσω μόρον, ὅπως τις βούλεται ἀναιρεῖν.

Eum 502 οὐ τιμωρήσω τοῖς ἀδικουμένοις, ἀλλὰ συγχωρήσω ἀλλήλους ἀναιρεῖν. M πεύσεται δ ’ ἄλλο ς· ἀεὶ τὰ ἀλλήλων ἀκούσονται, καὶ οὐ γίνεται κακῶν ἀνάπαυσις.

Eum 503 M ὑπόδοσιν] διαδοχήν.

Eum 505 M τλάμων] παθὼν δέ τις μάτην ἑαυτὸν παραμυθεῖται τῆι εἰς ἡμᾶς ἐλπίδι· ἢ ἕκαστος δὲ τῶν φονέων παρηγορηθήσεται.

Eum 506-507

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τλήμων γὰρ ὁ ἀναιδής· ἡ δ ʼ ὧδε τλήμω ν. M κικλησκέτω] ἡμᾶς δηλονότι.

Eum 508 M θροούμενος] θροῶν.

Eum 510 M ταῦτ α· ἀναιρούμενος πατὴρ ἢ μήτηρ ὑπὸ παιδός.

Eum 513 M ἐπειδὴ ἀπόλωλε τὸ δίκαιον.

Eum 515-516 MF οὐ πανταχῆι τὸ δεινὸν ἀπεῖναι φρενῶν δεῖ.

Eum 518-519 M 〈καθήμενον .

Eum 519-521 .. στένει〉 ] ὥστε καθήμενον ὑπὸ στένει σωφρονεῖν, ὡς εἰ ἔλεγεν ὑπὸ τῶι δέει. ἔστι δὲ ἀπ' εὐθείας τῆς τὸ στένος. ἐν φάει] λαμπρότητι, ὀρθότητι φρενῶν.

Eum 522 M μήτ'] ἀλλὰ τὸν ἠρέμα τούτων ἐφαπτόμενον· παρόσον οἱ μὲν παντάπασι τυραννούμενοι κακῶς βιοῦσιν, οἱ δὲ ἄναρχοι πονηρῶς.

Eum 526-529 M ἄλλα] ἄλλα ἄλλως ἐφορᾶι ὁ θεός.

Eum 530a M ἔσθ' ὅπη δέους.

Eum 530b M ξύμμετρον] σύντομον.

Eum 532 M 〈δυσσεβείασ〉 ] ὕβριν γεννῶσα· οἱ γὰρ ἀρξάμενοι τοῦ θείου καταφρονεῖν ὑβρίζουσι τοὺς ἀνθρώπους.

Eum 534 M ἐκ δ ʼ ὑγιείας φρενῶ ν· ἐκ τοῦ ὀρθὰς ἔχειν φρένας· νόσον μὲν φρενῶν τὴν δυσσέβειάν φησιν, ὑγίειαν δὲ ἐξ ἧς ἂν εἴη τιμή· ἐξ ἐκείνης δὲ ὕβρις.

Eum 535-536 M ἐς τὸ πᾶν] καθολικῶς λέγω τὸ ἐπιφερόμενον.

Eum 538 M νιν] τὴν δίκην.

Eum 540 M 〈ἀνάγκας ἄτερ δίκαιος ὢν〉 ] ὁ χωρὶς ἀνάγκης δίκαιος ὤν.

Eum 550 M τὸν ἀντίτολμον] τὸν τὰ ἐναντία τοῖς εἰρημένοις τολμῶντα ἀντὶ τὸν ἄδικον.

Eum 553a M 〈περαιβάδαν〉 ] παραβεβηκότα.

Eum 553b M παντόφυρτ'] πάντοθεν συνηγμένα.

Eum 554 M 〈καθήσειν〉 ] ἀπὸ τῶν χειμαζομένων τροπικῶς ἀντὶ τοῦ ταπεινωθήσεσθαι.

Eum 555 M 〈πόνοσ〉 ] ἀτυχία.

Eum 556 M 〈ἀκούοντασ〉 ] τοὺς θεούς.

Eum 558 M 〈γελᾶι .

Eum 560-562 .. ἄκραν〉 ] γελᾶι, φησίν, ὁ δαίμων ἐπὶ τῶι ἀδίκωι πάσχοντι, τὸν μηδέποτε προσδοκήσαντα τιμωρεῖσθαι ἰδὼν ἐν μέσηι τῆι δύηι ὑπεζευγμένον καὶ χαλινωθέντα. τοῦτο γὰρ δηλοῖ τὸ λέπαδνο ν. M δι' αἰῶνος] τὸν πολυχρόνιον δὲ ὄλβον ἑαυτοῦ προσκρούσας τῶι βράχει τῆς δίκης ὤλετο.

Eum 563 M κληρώσασα Ἀθηνᾶ τοὺς ἀρίστους ἄγει δικάσοντας.

Eum 566-569 καθισάντων δὲ αὐτῶν ἐν μέσωι στᾶσα κελεύει διὰ τῆς σάλπιγγος καὶ τοῦ κήρυκος σιωπὴν γενέσθαι ὡς μὴ ἀρκοῦντος μόνου τοῦ κήρυκος. ὅρα δὲ πῶς τὰ Ἀθηναίων ἔθη ἀναχρονίζει· ἃ γὰρ νῦν γίνεται, ταῦτα τὴν Ἀθηνᾶν εἰσήγαγε λέγουσαν. ἐχρῶντο γὰρ τῆι σάλπιγγι ἀνείργειν τὸ πλῆθος θέλοντες. M κατεργάθου] κάτεχε, κώλυε. [5]

Eum 566 M λείπει.

Eum 567 F 〈ἀρήγει〉 ] συμφέρει.

Eum 571 M 〈αἰανῆ〉 ] διηνεκῆ παρὰ τὸ αἰεί.

Eum 572 M 〈τόνδ'〉 ] τῶν Ἀρειοπαγιτῶν.

Eum 573 M ἐν παραχορηγήματι αὐτῶι εἰσιν οἱ Ἀρειοπαγῖται μηδαμοῦ διαλεγόμενοι.

Eum 574a M 〈ὧν〉 ] ὧν ἐκληρώθης, δηλονότι μαντείων.

Eum 574b παραφανέντος δ’ Ἀπόλλωνος ταῦτά φησιν. M 〈μαρτυρήσων〉 ] μαρτυρήσων ὅτι οὐκ ἔστιν ἐναγής· ἐκάθηρα γὰρ αὐτόν.

Eum 576 M 〈ξυνδικήσων〉 ] σύνδικοι λέγονται οἷς ἴσον μέτεστιν ἐν τῆι δίκηι τῆς αἰτίας.

Eum 579 M ὑμῶν] τῶν Ἐρινύων.

Eum 582a M ὅρα τὸ δικαστήριον.

Eum 582b M διώκων] κατηγορῶν.

Eum 583 M 〈πολλαὶ〉 ] τοῦτο οὐ πρὸς τὰς τρεῖς, ἀλλὰ πρὸς τὸν χορόν· ιε′ γὰρ ἦσαν.

Eum 585 M 〈ἔπος δ’ ἀμείβου〉 ] ῥητορικῶς πυνθάνονται.

Eum 586-587 εἰ μὲν ὁμολογοίη, ὑπεύθυνος ἔσται, εἰ δὲ ἀρνοῖτο, ἐλεγχθήσεται. καὶ Ἀχιλλεὺς πρὸς τοὺς πρέσβεις· τί δὲ λαὸν ἀνήγαγεν ἐνθά δ ’ ἀγείρας Ἀτρείδη ς; διὰ γυναῖκα. M 〈ἓν μὲν〉 ] ἓν πέπτωκας.

Eum 589 ἡ μεταφο(ρὰ) δέ ἐστιν ἀπὸ τῶν παλαιόντων, οἳ ἐπὶ τοῖς τρισὶ πτώμασιν ὁρίζουσι τὴν ἧτταν. M 〈ξιφουλκῶι χειρὶ〉 ] πλανᾶται.

Eum 592 αἱ μὲν γὰρ τὴν αἰτίαν τοῦ φόνου πυνθάνονται, ὁ δὲ πρὸς τὸ πῶς, ξίφει φησίν, ὡς τὸ μὴ δ ι ’ ἐμὴν ἰότητ α. M 〈δεῦρό γ’ ἀεὶ〉 ] ἕως δεῦρο.

Eum 596a M δεῦρο] τὸ ἀεὶ ἀντὶ τοῦ ἕως τάττουσιν Ἀττικοὶ πολλάκις· δεῦρο μέν μοι τόν δ ’ αἰεὶ τείνει λόγο ν.

Eum 596b M 〈τὴν τύχην〉 ] τὴν πρᾶξιν.

Eum 596c M τάχα] ἀντὶ ἴσως.

Eum 597 M 〈πέμπει〉 ] ὡς ὑμᾶς ἔπεμψεν ἡ μήτηρ, οὕτω βοηθοὺς κἀμοὶ πέμψει ὁ πατήρ.

Eum 598 M προσβολὰς] συντυχίας.

Eum 600 M 〈δίδαξον〉 ] πανούργως φασί, μὴ ἡμᾶς δίδασκε, ἀλλὰ τοὺς δικαστάς.

Eum 601 M 〈πατέρ’ ἐμὸν〉 ] ἐμὲ κἀκεῖνον ἠδίκησεν.

Eum 602 M πῶς οὖν λέγεις ὅτι ἠδίκησέ με; πῶς δὲ Ἀγαμέμνονα, ὅπου ἀπέθανε δι’ αὐτόν; τί δ’] οὐκ, εἰ τέθνηκεν, τούτου αἰτία εἶ σύ, ἐπεὶ οὐ ζῶσαν ἐδίωκες, ὥστε οὐδὲ ἀποθανοῦσα διὰ τὴν σὴν αἰτίαν ἀπέθανεν.

Eum 604 M 〈ἐγὼ δὲ〉 ] ἐγὼ οὖν ὅμαιμός εἰμι τῆι μητρί.

Eum 606 M 〈ἀπεύχηι〉 ] ἀπαρνῆι.

Eum 608 M 〈σὺ μαρτύρησον〉 ] ὡς ἀπορῶν τῆς ἀποκρίσεως.

Eum 609 ἐπεὶ γὰρ ἦλθεν εἰς τὴν διάκρισιν τοῦ δικαίως ἢ μὴ ἀνῃρηκέναι τὴν μητέρα, ἐπὶ τὸν συμβουλεύσαντα θεὸν καταφεύγει. τραγικὸν οὖν καὶ πρέπον· ὁμοειδές τε τὸ 〈αὐτὸν〉 πάντα λέγειν. M 〈θεσμὸν〉 ] τὸν Ἀρεοπαγιτικόν.

Eum 615 M 〈κελεύσει〉 ] ὥστε ἐμοὶ μὲν Ζεύς, ἐγὼ δὲ τούτωι προσέταξε· οὐκ ἄνευ Διὸς οὖν τὸ γενόμενον.

Eum 618 M 〈μαθεῖν〉 ] ἀντὶ τοῦ μάθε, ὦ βουλή.

Eum 619 M 〈πιφαύσκω〉 ] κελεύω δὲ ὑμᾶς πεισθῆναι τῆι βουλῆι τοῦ Διός.

Eum 620 M πράξαντα] ἐκδικήσαντα.

Eum 624 M 〈τιμαλφούμενον〉 ] συνεχὲς τὸ ὄνομα παρ’ Αἰσχύλωι· διὸ σκώπτει αὐτὸν Ἐπίχαρμος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Eum 626 Μ ⟨ἀμείνον’⟩ ] βελτίονα.

Eum 632a Μ ⟨τὰ πλεῖστ’⟩ ] ⟨τὰ⟩ πλεῖστα ηὐτυχηκότα ἀπὸ στρατείας.

Eum 632b Μ ⟨δροίτῃ⟩ ] πυέλωι, τῆι ὡς σορῶι αὐτῶι γενομένηι, παρὰ τὴν δρῦν.

Eum 633a ξύλιναι γὰρ αὗται. Μ κἀπὶ τέρματι] τῶν λουτρῶν δηλονότι.

Eum 633b Μ ⟨περεσκήνωσεν⟩ ] παρεσκήνησεν· ⟨τὸ χ⟩ πρὸς τὴν συναλοιφὴν τῆς περὶ καὶ τὴν συζυγίαν τοῦ ῥήματος.

Eum 634a Μ ἀτέρμονι] ἀτραχήλωι.

Eum 634b Μ τοιαύτην] τὴν Κλυταιμήστραν.

Eum 638a Μ ⟨λεώσ⟩ ] οἱ δικασταί.

Eum 638b Μ ⟨πατρὸς προτιμᾶι⟩ ] ὡς λέγεις σύ, πατέρα προτιμᾶι μητρὸς ὁ Ζεύς.

Eum 640 Μ ⟨ἐναντίως λέγεισ⟩ ] οὐ τὸν Δία προέθετο κακῶς εἰπεῖν, ἀλλὰ τὸν Ἀπόλλωνα ὡς ψευσάμενον βούλεται ἐλέγξαι.

Eum 642 Μ ⟨ὑμᾶσ⟩ ] ὦ κριταί.

Eum 643 Μ σκόπει πῶς δικαιοῖς Ὀρέστην φεύγειν.

Eum 652a Μ ⟨πῶς γὰρ⟩ ] ἐκ τῆς Ἀπόλλωνος ἀπολογίας κατακρίνουσιν Ὀρέστην.

Eum 652b εἰ γὰρ τὸν φονέα οὐχ οἷόν τε τὸν φόνον ἀνακαλέσασθαι, πῶς Ὀρέστης φονεύσας ἐλευθερωθήσεται; Μ ⟨κύματοσ⟩ ] κυήματος.

Eum 659 Μ ⟨ὁ θρώισκων⟩ ] ὁ σπερμαίνων.

Eum 660 Μ ⟨ἔρνοσ⟩ ] ὡς παρακαταθήκην.

Eum 661 Μ ⟨γένοιτ’⟩ ] γεννήσειεν.

Eum 663 Μ ⟨Παλλάσ⟩ ] ὦ Παλλάς.

Eum 667a Μ ⟨ὡς ἐπίσταμαι⟩ ] ὅσον δύναμαι.

Eum 667b Μ ⟨αἰανῶσ⟩ ] δι’ αἰῶνος.

Eum 672 Μ ἐπισπόρους] ἀπογόνους.

Eum 673 Μ φέρειν] ὃ δοκιμάζεται.

Eum 674 Μ ⟨πῶς τιθεῖσ’⟩ ] τί τιθεῖσα μέμψιν παρ’ ὑμῶν οὐχ ὑπομενῶ; Μ ⟨πρώτασ⟩ ] ⟨σημείωσαι⟩ ὅτι πρώτη ἐπὶ Ὀρέστηι γέγονεν δίκη ἐν τῶι Ἀρείωι πάγωι.

Eum 682 Μ ⟨φθόνον⟩ ] μῆνιν.

Eum 686 Μ ⟨τήνδ’⟩ ] τὸν Ἄρειον πάγον.

Eum 688 ἐν αὐτῶι γὰρ ἐστρατοπέδευσαν. Μ ⟨ἔνθεν⟩ ] ὅθεν Ἄρειος πάγος ἐκλήθη.

Eum 689 Μ ⟨δὲ⟩ ] ὁ δὲ ἀντὶ τοῦ γάρ.

Eum 690 Μ ⟨βουλεύω⟩ ] συμβουλεύω τοῖς ἐμοῖς πολίταις δημοκρατεῖσθαι μέν, ὑπὸ φόβον δὲ [μὴ] εἶναι.

Eum 697-698 Μ ⟨εὑδόντων ὕπερ⟩ ] ὑπὲρ τῶν ἀποθανόντων τιμωρόν.

Eum 705 Μ καθάρας τὸν πρωτομυσῆ Ἰξίονα.

Eum 718 Μ ⟨ὁμιλήσω⟩ ] ἐπ’ ἀπειλὰς τρέπονται ἀφεῖσαι τὴν δικαιολογίαν.

Eum 720 Μ ⟨ἐμῆι⟩ ] ἐκβαλεῖς τὴν ὀργὴν οὐδὲν δυναμένην βλάψαι τοὺς ἐχθρούς.

Eum 730 Μ καθιππάζηι] κατατρέχεις.

Eum 731 Μ ⟨ὡς ἀμφίβολοσ⟩ ] τέως γὰρ ἐν ἀμφιβόλωι ἔχω τὸ ὀργίζεσθαι.

Eum 733a M ἀμφίβολος] ἀμφιβάλλουσα.

Eum 733b M ⟨προσθήσομαι⟩ ] ἐγὼ προσθήσω τὴν ἐσχάτην ψῆφον, ἧι, ὅταν ἴσαι γένωνται, νικᾶι ὁ κατηγορούμενος.

Eum 735 M ⟨κἂν ἰσόψηφος κριθῆι⟩ ] κἂν ἴσαι δὲ γένωνται αἱ ψῆφοι, ὁ κατηγορούμενος νικᾶι.

Eum 741 M ⟨ὅσοισ⟩ ] ὁ ἀριθμὸς τῶν Ἀρεοπαγιτῶν λʹ καὶ εἷς.

Eum 743 M ⟨νῦν .

Eum 746 .. τέρματʼ⟩ ] νῦν μοι ζωὴ ἢ θανάτου τέλος. M ⟨νέμειν⟩ ] ἢ τὰς πρώην ἔχειν τιμάς.

Eum 747 M διαιρέσει] διακρίσει τῶν λευκῶν καὶ μελαινῶν.

Eum 749 M γνώμη ς· ἀντὶ ψήφου.

Eum 750 ὁ τρόπος συνεκδοχή, ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον. τὸν γὰρ μέλλοντα βάλλειν ψῆφον δεῖ πρῶτον ἐν γνώμηι γενέσθαι. M ⟨βαλοῦσα .

Eum 751 .. μία⟩ ] ἡ ψῆφος δὲ βαλεῖν τε καὶ ὀρθῶσαι οἶκον δύναται. M ⟨Σωτῆροσ⟩ ] τοῦ Διός.

Eum 760 M ⟨συνδίκουσ⟩ ] τὰς συνηγόρους Εὐμενίδας.

Eum 761 M ⟨πρυμνήτην⟩ ] ἄρχοντα, κυβερνήτην.

Eum 765 M ⟨πράξομεν⟩ ] τιμωρησόμεθα.

Eum 769 M παρόρνιθας] ἀπαισίους.

Eum 770 M ⟨ὀρθουμένων⟩ ] γεννωμένων.

Eum 772 M ⟨πάλαισμʼ⟩ ] τὴν ἐμὴν ἐπικουρίαν.

Eum 776 M ἀντιπενθῆ] ἰσοπενθῆ, ὅμοια δρῶντα οἷς πέπονθα.

Eum 782a M μεθεῖσ α· ἀντὶ μεθήσω.

Eum 782b μετοχ(ὴ) ἀντὶ ῥήματος, ὡς τὸ καρπῶι βριθομένη ἀντὶ τοῦ βρίθεται. σταλαγμὸν δὲ τὴν κατὰ βραχὺ φθοράν. M χθονιαφόρον] τὸν εἰς τὴν γῆν φερόμενον.

Eum 783 M λιχὴν] ψίλωσις.

Eum 785a M ἄφυλλος] ἄκαρπος.

Eum 785b M ἰώ] τοῦτο διὰ μέσου ὀλοφυρόμεναι ἀναφωνοῦσιν.

Eum 785c M ⟨βαλεῖ⟩ ] ὁ λειχήν.

Eum 787 M ⟨δύσοιστα .

Eum 789-790 .. ἔπαθον⟩ ] ἔμιξε τῶι θρήνωι τὴν τιμωρίαν τεχνικῶς. εἰπὼν γὰρ δύσοιστα ἔπαθον ἐπήγαγεν πολίταις, ἵνα ἧι· πολίταις δύσοιστα ὄντα. M ⟨γένωμαι⟩ ] λείπει ὁ ἢ διαζευκτικός, ἢ τί γένωμαι.

Eum 789 M ⟨πολίταισ⟩ ] ὑπὸ τῶν πολιτῶν ἔπαθον.

Eum 790 M ⟨κόραι⟩ ] κόραι Νυκτός.

Eum 791 M ⟨θήσασ⟩ ] ἔφασκε γὰρ ὁ Ἀπόλλων γνώμηι Διὸς μαντεύεσθαι.

Eum 798 M ⟨σταλάγματα⟩ ] τὰ σταλάγματα αἰχμαί εἰσι βιβρώσκουσαι τὰ σπέρματα.

Eum 802 M ⟨σταλαγμὸν χθονὶ⟩ ] λείπει ἐμποιήσω.

Eum 813 M ⟨δύσκηλον⟩ ] δυσθεράπευτον.

Eum 825 M ⟨καρπὸν⟩ ] τὸν πάντα ποιοῦντα κακῶς πράττειν.

Eum 831 M κοίμα] κοίμιζε.

Eum 832a M μένος] τὸν θυμόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Eum 832b M 〈σεμνότιμοσ〉 ] λείπει ἐσομένη.

Eum 833 M 〈τέλουσ〉 ] ὡς προτέλεια θυόντων Ἀθήνῃσι ταῖς Ἐρινύσι.

Eum 835 τέλος δὲ ὁ γάμος. M 〈ἀτίετον〉 ] ἀνεκδίκητον, τιμωρεῖσθαι μὴ δυναμένην.

Eum 839 τὸ δὲ φεῦ διὰ μέσου ἀναφωνεῖ. M 〈ἅπαντά τε κότον〉 ] ὀργὴν καὶ ἅπαντα κότον πνέω.

Eum 840 M δ ᾶ· ὦ γῆ, Δωρ(ικῶς)· ὅθεν καὶ Δαμάτηρ.

Eum 841 M δαμαίαν] τὴν δημοσίαν ὑπὸ θεῶν δεδομένην.

Eum 846 δόλοι] οἱ δόλοι γὰρ τῶν θεῶν ὡς οὐδὲν παρῆράν με τῶν δημοσίων τιμῶν. M 〈ξυνοίσω〉 ] φέρουσα τὰς ὀργάς.

Eum 848 M σοφωτέρα] διὰ τὸν χρόνον.

Eum 849 M 〈ἐλθοῦσαι χθόνα〉 ] λείπει ὁ καί.

Eum 851 M 〈ἐρασθήσεσθε〉 ] ἀντὶ μεγάλοι ἔσονται 〈οἱ〉 Ἀθηναῖοι, ὥστε ἐπιθυμῆσαι τῆς ἐξ αὐτῶν τιμῆς.

Eum 852 M θηγάνας νέω ν· τὰς ἀναλισκούσας τὰ νέα.

Eum 859-860 M 〈ἐμμανεῖσ〉 ] ὅτι καὶ 〈οἱ〉 οἰνωθέντες τρόπον 〈τινὰ〉 γίνονται ἐμμανεῖς.

Eum 860a M θυμώμασιν] ὀργαῖς.

Eum 860b M 〈ἐξελοῦσ'〉 ] ἀναπτερώσασα· μάχιμον γὰρ τὸ ὄρνεον, τῶν τε ἄλλων ζώιων τὸ συγγενὲς αἰδουμένων μόνος οὐ φείδεται.

Eum 861 M θυραῖος] ὁ Περσικός.

Eum 864a M 〈οὐ μόλις παρών〉 ] οὐ μακράν.

Eum 864b M 〈ἐνοικίου δ' ὄρνιθοσ〉 ] τῶν ἐνοικούντων πολιτῶν, ὅ ἐστιν ὁμόφυλον πόλεμον.

Eum 866 M τὸ ἑξῆς· πρὸς νεωτέρας ἐμοῦ καὶ πολισσούχων βροτῶν θεὸς παλαιὰ ἄτιμος ἔρρειν.

Eum 882-884 M εἰ πείθηι τῶι μειλίγματι τῆς ἐμῆς γλώσσης, παράμεινον καὶ τῶν καταλεχθέντων ἀγαθῶν μεταλάμβανε.

Eum 886-889 εἰ δὲ μὴ πείθηι, ἴσθι μὴ βλάψουσα πόλιν. M ἀμοίρου] πολυμοίρου.

Eum 890 F ἀπάγει] αὐτόν.

Eum 935 F 〈γόνοσ〉 ] τὰ σπέρματα.

Eum 946 M πλουτόχθων] ὁ καρπὸς ὁ ἐκ γῆς πλουτίζων.

Eum 947 M 〈ἀκούετε〉 ] ὦ Ἀρεοπαγῖται.

Eum 948 M αἱ προπομποί.

Eum 1032 MF 〈ἔνδαιδεσ〉 ] μετὰ λαμπάδων.

Eum 1044 M SCHOLIA VETERA IN SVPPLICES ἀφίκτωρ] ἱκετῶν ἔφορος.

Supp 2 νάιον ἀρθέντ α· 〈 *** 〉 . 〈ἀπὸ προστομίων〉 ] τινὲς τῆς Φάρου· Αἰγύπτου προπάροιθε γάρ ἐστιν.

Supp 3 ἄμεινον δὲ τὰ στόμια ἀκούειν, πλεοναζούσης τῆς πρ ό· διὰ γὰρ τοῦ Ἡρακλεωτικοῦ στομίου τὴν φυγὴν ἐποιήσαντο. 〈δὲ〉 ] ὁ δὲ ἀντὶ τοῦ γάρ.

Supp 6 οὔτι ν ' ἐ φ ' αἵματ ι· οὐκ ἐφ' αἵματί τινι καταγνωσθεῖσαι ψήφωι πόλεως δημοσίαι ἡμᾶς ἀπελαυνούσηι. φυλαξάνορα ν· γάμον φυγὴν ἀνδρῶν ἡμῖν ἐμποιοῦντα.

Supp 9 ἀσεβῆ] ὃν οὐ σέβομεν ἡμεῖς οὐδὲ τιμῶμεν. στασίαρχος] τῆς συστάσεως ἡμῶν ἄρχων.

Supp 12b τάδε πεσσονομῶν] ὑπὲρ τούτων λογιζόμενος. 〈κύδιστ' ἀχέων〉 ] ἀμείνονα τῶν κακῶν ἐψηφίσατο τὴν φυγήν.

Supp 13 κακὸν ὁ γάμος, κακὸν δὲ καὶ ἡ φυγή, αἱρετώτερον δὲ τὸ φεύγειν. ἐγχειριδίοις] τοῖς ἱκετηρίοις θαλλοῖς.

Supp 22 ἱεροστέπτοισι κλάδοισι] τοῖς στεφάνοις. βαρύτιμοι] οἱ βαρέως τινύμενοι καταχθόνιοι θεοί.

Supp 24-25 τὸ δὲ ὕπατοι ἀπὸ ἄλλης ἀρχῆς. τρίτος οἰκοφύλα ξ· ὁ τριτόσπονδος, ἢ ὁ τρίτος τῶν εἰρημένων.

Supp 26 εἶπε γὰρ ὕπατοι θεοὶ καὶ χθόνιοι καὶ Ζεὺς σωτὴρ τρίτος. δέξαι θ ʼ ἱκέτη ν· δέξαιτο ἡμᾶς τῶι τῆς χώρας αἰδεσίμωι πνεύματι, ὅ ἐστιν αἰδῶ ἐπιπνεύσας τοῖς ἡμᾶς δεχομένοις Ἀργείοις.

Supp 31a ἀσώδει] πηλώδει. ἀσώδει] ψαμμώδει.

Supp 31b τὴν γὰρ ψάμμον οὕτως φησὶν ὡς ὁ ποιητής· εἰλύσω ψαμάθοις τόσην οἱ ἄσι ν. 〈πέμψατε .

Supp 33-36 .. ὄλοιντο〉 ] τὸ ἑξῆς οὕτως· πέμψατε πόντονδε, ἔνθα ἀντήσαντες λαίλαπι χειμωνοτύπωι, βροντῆι, στεροπῆι τε, ὀμβροφόροισί τε ἀνέμοις ἀγρίας ἁλὸς ὄλοιντο. 〈ὧν θέμις εἴργει〉 ] ὧν τὸ δίκαιον ἡμᾶς εἴργει διὰ τὸ μὴ θανατωθῆναι τὸν πατέρα.

Supp 38 πατραδελφίαν] 〈συγγένειαν τὴν τῶν〉 ἀνεψιῶν τῶν ἐκ τοῦ ἀδελφοῦ τοῦ πατρὸς αὐτῶν. 〈ἐπικεκλομένα .

Supp 40-45 .. ἔφαψιν〉 ] ἐπικαλούμεθα τὸν ἶνιν τῆς βοὸς τὴν ἐπαφὴν τὴν ἐξ ἐπιπνοίας τοῦ Διός. Δῖον πόρτιν] τὸν Ἔπαφον.

Supp 42 τιμάορ α· βοηθόν. 〈ἔφαψιν〉 ] τὴν ἐξ ἐρωτικῆς διαθέσεως.

Supp 45 ἐπέπνευσε γὰρ αὐτῶι ὁ Ἔρως. ἐπωνυμίαι] τῆι δὲ ἐπωνυμίαι ἐβεβαιοῦτο ὁ εὔμοιρος αὐτοῦ βίος.

Supp 45-46 ὡς γὰρ τῆς γονῆς ἐφήψατο Ζεύς, οὕτως καὶ τῆς τύχης. 〈ὅν τʼ .

Supp 49-54 .. τεκμήρια〉 ] τὸ ἑξῆς· ὃν ἐπικαλουμένη νῦν ἐν Ἄργει δείξω πιστὰ τεκμήρια, ὡς οὐ ξένη οὖσα ἐλεύσομαι, ἀλλʼ εἰς προγόνων γῆν. ἐπιλεξαμένα] ἐπικαλουμένη.

Supp 50 ἐν ποιονόμοις] ἐν Ἄργει οὗ ἐνέμετο ἡ Ἰώ. πρόσθε πόνων] τῆς Ἰοῦς τοὺς πόνους ἐγὼ διηγουμένη.

Supp 56 ἐν μάκει] προϊόντος τοῦ λόγου. οἰωνοπόλων] τῶν φωνὰς οἰωνῶν γινωσκόντων.

Supp 59 τις] πλεονάζει τὸ τι ς . Τηρείας μήτιδο ς· κατὰ περίφρασιν τοῦ Τηρέως.

Supp 62 κιρκηλάτου] τῆς ὑπὸ κίρκων ἐλαυνομένης. ἐργομένα] διωκομένη.

Supp 64 ἠθέω ν· τῶν συνήθων τόπων. 〈ʼΙαονίοισι νόμοισι〉 ] ἀντὶ τοῦ φωνῆι Ἑλληνικῆι.

Supp 71 Νειλοθερῆ] τὴν ἐν τῶι Νείλωι θερισθεῖσαν, ὅ ἐστι βλαστήσασαν ἐν Αἰγύπτωι. ἀπὸ τῶν σταχύων δὲ ἡ μεταφορά. γόεδν α· τῶν γόων τὸ ἄνθος ἀποδρέπομαι.

Supp 75 ἀερίας ἀπὸ γᾶ ς· σκοτεινῆς, μέλαινα γάρ ἐστιν. ἢ ὅτι ταπεινὴ καὶ τοῖς ἀπὸ θαλάσσης ὡς ὑπόγειος φαίνεται. ἀλλὰ θεο ί· ἀλλʼ ὦ γενέται θεοί, 〈κλύετε〉 καλῶς τὸ δίκαιον ὁρῶντες.

Supp 77 καὶ Ἡσίοδος· κλῦθι ἰδὼν ἀίων τ ε. ἥβαι] τὴν τῶν Αἰγυπτιαδῶν.

Supp 82 γάμοις] ἐπὶ τοῖς νενομισμένοις καὶ δόξασιν ὑμῖν. ἔστι δὲ κἀκ πο ( λέμο υ)· καὶ τοῖς ἐκ πολέμου δὲ τειρομένοις καὶ φεύγουσιν ὁ βωμὸς διὰ τὸ τῶν δαιμόνων σέβας ῥῦμα τῆς βλάβης ἐστίν.

Supp 83 ἢ οὕτως· καὶ τοῖς ὑπὸ πολέμου τειρομένοις καὶ τετραμμένοις εἰς φυγὴν ὁ βωμὸς Ἄρης ἐστίν· ὑπερμαχεῖ γὰρ αὐτῶν, καὶ οὐδὲν πάσχουσι διὰ τὸ σέβας τῶν θεῶν. σέβας] λείπει ἡ διά. [5]

Supp 87 〈Διὸς ἵμερος ... ἐτύχθη〉 ] γνωμικῶς παρὰ τὸ ἀνὴρ δέ κεν οὔτι Διὸς νόον εἰρύσαιτ ο . πάνται τοι φλεγέθ ( ε ι)· ἐν παντὶ τόπωι λάμπει, κἂν διὰ σκότου χωρῆι.

Supp 88 τοῖς μὲν ἀνθρώποις οὐκ εὐσύνοπτός ἐστιν, ἀλλὰ μέλαινά τις αὐτοὺς κατέχει συντυχία. πίπτει δ ʼ ἀσφα ( λέ ς)· εἰ δέ τι ἀνυσθῆι τῶι νεύματι τοῦ Διός, ἀσφαλῶς πίπτει καὶ εὐσχημόνως.

Supp 91a τὸ γὰρ ἐπὶ νώτωι πίπτειν τοὺς παλαιστὰς ἄσχημόν ἐστιν. πίπτει δʼ ἀσφαλὲς] ἀσφαλῶς ἀποβαίνει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Supp 91c ἀσφαλὲς] εὐσχημόνως. ἐπὶ νώτωι] ἀσχημόνως.

Supp 93-95 δαυλοὶ ... πόροι] πυκνοὶ γάρ εἰσιν οἱ τῶν πραπίδων αὐτοῦ τοῦ Διὸς πόροι. πανώλεις] τοὺς τοῦ ὀλέσθαι ἀξίους, ὅ ἐστι κακούς.

Supp 101a ἥμενον] ἢ τὸ ἄνω ἱδρυμένον ἢ τὸ ἑδραῖον. ἥμενον ἄνω φρόνημ (α)· τὸ δὲ φρόνημα αὐτοῦ ἐπὶ τῶν ἁγνῶν ἑδρασμάτων ἐφήμενον ἐξέπραξε τὸν σκοπὸν ἑαυτοῦ.

Supp 102 αὐτόθε ν· ἀπὸ τῶν ἁγνῶν ἑδρασμάτων, ὅ ἐστι τοῦ οὐρανοῦ. πυθμή ν· αὐτὸς ὁ Αἴγυπτος.

Supp 106 [ τὸ θάλο ς]· ἡ ῥίζα τῶν πεντήκοντα παίδων, ὅ ἐστιν αὐτὸς ὁ Αἴγυπτος. 〈 τεθαλώς 〉 · οὐ φύλλοις, ἀλλὰ τῆι ἀνοίαι τῶν παίδων ἑαυτοῦ· καὶ διάνοιαν μαινόλιν ἔχων, ὅπερ ἐστι κέντρον ἄφυκτον.

Supp 111 ἀπάται] τῆι ἀπατητικῆι. δακρυοπετ ῆ· παρασκευαστικὰ τοῦ πίπτειν τὰ δάκρυα τῶν ἀκουόντων.

Supp 117a ἱλέωμαι] ἱλάσκομαι. βοῦνιν] τὴν γῆν κατὰ βαρβάρους.

Supp 119 εὐακοννεῖς] ὦ γῆ, νοεῖς καὶ τὴν βάρβαρον φωνήν. καλύπτραι] τῶι κεφαλοδέσμωι.

Supp 122 θεοῖς δ ’ ἐναγέ α· ὅπου δὲ θάνατος ἀπῆι, ἐκεῖ τῶν ἀνθρώπων εὐπραγούντων τιμαὶ τοῖς θεοῖς ἐπιτρέχουσιν. ἐναγέα δὲ ἐναγίσματα. δυσάγκριτοι] δυσδιάγνωστοι.

Supp 127 ἀπάξει] ἡμᾶς. 〈ἐμπιτνῶ ξὺν λακίδι〉 ] τῶι διασχισμῶι ἐμπίπτω.

Supp 134-135 λινορραφὴς δόμος δορό ς· ἡ ναῦς, παρόσον τρυπῶντες τὰς ναῦς σπάρτοις αὐτὰς συνέρραπτον. καὶ τὸ παρ’ Ὁμήρωι νῆας ἀκειόμενον τὸ συρράπτοντα δηλοῖ, ὅθεν καὶ ἀκεστρίας τὰς ῥαπτρίας φασίν. ἅλα στέγων] τὴν θάλατταν εἴργων.

Supp 138-140 τελευτᾶς ... κτίσειεν] 〈 *** 〉 ἴσως οὖν πρὸς τὴν ἀρχὴν ἔσται καὶ τὸ τέλος. 〈σπέρμα〉 ] ὁ Ἔπαφος.

Supp 143 ἐκφυγεῖν] λείπει τὸ δοίη. 〈θέλουσαν〉 ] θέλουσάν με εἶναι ἁγνήν.

Supp 145-147 μ’ ἐπιδέτω ... ἀσφαλές] ἀσφαλῶς ἐπιδέτω με. 〈ἀδμήτα〉 ] ἡ παρθένος ἡμᾶς τὰς παρθένους.

Supp 150 ῥύσιος γενέσθω] ἀντὶ τοῦ ῥυσάσθω. εἰ δὴ μή] εἰ δὲ μὴ ῥύσεται.

Supp 156 τὸν ταιον] τὸν καταχθόνιον Ἅιδην. 〈ἄζην .

Supp 162-163 .. ἐκ θεῶν〉 ] ὦ Ζεῦ, ἡ παρὰ τῶν θεῶν μῆνις κατὰ Ἰοῦς ἰώδης ἐστὶ καὶ μαστιγωτική. 〈γαμετουρανόνεικον〉 ] τὴν τῆς Ἥρας τῆς ἐν 〈τῶι〉 ἀνδρὶ νικώσης πάντας τοὺς ἐν οὐρανῶι θεούς.

Supp 165 καὶ ἐφ’ ἡμᾶς οὖν ἔφθασεν ἡ μῆνις τῆς Ἥρας. 〈χαλεποῦ .

Supp 166-167 .. χειμών〉 ] πρὸς τὸ ἄνω τοῦτο· τὸν πολυξενώτατον Ζῆνα τῶν κεκμηκότων ἱξόμεσθα · χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι χειμώ ν· τὰ δ’ ἄλλα διὰ μέσου ἀναπεφώνηται. καὶ τό τ ’ οὐ δικαίοι ς· τὸ ἑξῆς· καὶ τότε οὐ δικαίοις ἐνεύξεται Ζεὺς λόγοις, νῦν ἔχων παλίντροπον ὄψιν λιταῖς.

Supp 168 οὐκ εὐαπολόγητος ἔσται, φασίν, ὅταν ἡμᾶς παρίδηι ἀπολλυμένας. ναυκλήρωι] ἐξάρχωι.

Supp 178 καὶ τἀπὶ χέρσου] ὡς τὰ ἐν θαλάσσηι. δελτουμένας] ἀπογραφομένας.

Supp 187 〈στόλον〉 ] τὸν πρὸς ἡμᾶς στόλον μετὰ ὁρμῆς ποιεῖται. 〈ἀγωνίων θεῶν〉 ] στρογγύλα γάρ ἐστι τὰ ἱερεῖα καὶ γωνίας οὐκ ἔχοντα.

Supp 191 λευκοστεφεῖς] λευκοῖς ἐρίοις ἐστεμμένας. 〈ἀγάλματ’ .

Supp 192-193 .. συνωνύμων〉 ] ὅ ἐστιν ἀντέχεσθε τῆι δεξιᾶι τῶν ἀγαλμάτων, τῆι ἀριστερᾶι τοὺς κλάδους κατέχουσαι. 〈πρόλεσχος .

Supp 200-201a .. γένηι〉 ] μήτε προτέρα κατάρχου τοῦ λόγου μήτε ἀμειβομένη μακρολόγει. 〈πρόλεσχος .

Supp 200-201b .. γένηι〉 ] πολλὰ προοιμιάζου. 〈χρεῖος εἶξεν〉 ] ἐπικουρίας χρήιζεις.

Supp 203

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γνώμη. 〈γεννήτωρ〉 ] ὁ ἔφορος τοῦ γένους.

Supp 208 〈θρόνους ἔχειν〉 ] ὡς αὐτοῦ ἤδη καθεσθέντος. οἴκτειρε μὴ ἀπολωλότας] μὴ μετὰ τὸ ἀπολέσαι οἰκτειρήσῃς ἡμᾶς.

Supp 212 〈ὄρνιν τόνδε〉 ] τὸν ἥλιον· ἐξανίστησι γὰρ ἡμᾶς ὡς ὁ ἀλεκτρυών. 〈ὁρῶ〉 ] ἐν γραφῆι.

Supp 218b θεοῦ] τοῦ Ποσειδῶνος. ἄλλος] ὡς τῶν Αἰγυπτίων ἄλλως αὐτὸν γραφόντων.

Supp 224 〈ὁμοπτέρων〉 ] τῶν συγγενῶν ὑμῖν. 〈ὄρνιθοσ〉 ] τοῦ ὁμογενοῦς.

Supp 227 ἄκοντος πάρα] παρὰ πατρὸς ἄκοντος. ὑστάτας] μεθ’ ἃς οὐκ ἔστιν ἄλλη τιμωρία.

Supp 234 〈ἀνέλληνα στόλον〉 ] τὸν οὐχ Ἕλληνα κατὰ στολήν. 〈χλίοντα〉 ] τρυφῶντα.

Supp 238 οὐδὲ κηρύκων ὕπο] μὴ ἐπικηρυκευσάμεναι. ἡγητῶν] πρέσβεων.

Supp 241 ἀφικτόρων] Ἑλληνικῶν ἱκετῶν. συνοίσεται] συμφωνήσει.

Supp 244-245 〈καὶ τἄλλα ... σημανῶν〉 ] ἔμελλον ἂν στοχασμῶι τὰ καθ’ ὑμᾶς λέγειν, εἰ μὴ φωνὴν εἴχετε. ἀμφὶ κόσμον] περὶ τοῦ κόσμου ἡμῶν ὅτι βάρβαρος.

Supp 247 ἐτὴν] νῦν δημότην. τηρὸν] φύλακα.

Supp 250 Παλαίχθονος] Παλαίχθων ὄνομα κύριον. καὶ πᾶσαν αἴδνης] ἀντὶ καὶ πάσης αἴας.

Supp 255a Στρυμών] ποταμὸς ἐγχώριος. 〈Στρυμών .

Supp 255b .. κρατῶ〉 ] τοῦ πρὸς δυσμὰς μέρους Στρυμόνος κρατῶ· Στρυμὼν δὲ ποταμὸς Θράικης. 〈συντέμνει .

Supp 258-259 .. κρατῶ〉 ] ὁ δὲ ὅρος ὁ ἡμέτερος τἀπὶ Δωδώνην ἔχει ἕως τῆς θαλάσσης. καὶ ἐπέκεινα δὲ τῶνδε κρατῶ. 〈ἐκ πέρασ〉 ] τοῦ πέρατος.

Supp 262 ἀνεχρόνισε δέ· τῶν γὰρ Ἡρακλειδῶν ναυσὶ διαβάντων εἰς Ἄργος οὕτως ἐκλήθη Ναύπακτος. μιάσμασιν] ὡς τῶν πολιτῶν αὐτοκτονησάντων.

Supp 267 δράκονθ’ ὅμιλον] τί ἀνῆκε; δρακόντων πλῆθος. εὕρετεν] ἀντὶ περιεποιήσατο.

Supp 276 προσφύσω] ἀντὶ ἀποδείξω. Κύπριος χαρακτήρ] καὶ γυναῖκες ἂν Κύπριαι ἀνδράσι μιγεῖσαι τέκοιεν καθ’ ὑμᾶς.

Supp 284 ἱπποβάμοισιν] ἵπποις ἐοικυίαις κατὰ τὸ τάχος. καμήλοις ἀστραβιζούσας χθόνα] καμήλοις νωτοφορουμέναις κατὰ τὴν χθόνα.

Supp 285 ἀστράβη δὲ λέγεται ἡ νωτοφόρος ἡμίονος. καὶ τὰς .

Supp 287-289 .. ὑμᾶς] λείπει εἶναι. κληιδοῦχον] ἱέρειαν.

Supp 296 παλλαγμάτων] αἱ περιπλοκαί. πῶς .

Supp 298 .. τάδε] τὰ νείκη Διὸς καὶ Ἥρας εἰς τί κατέληξαν; 〈βοῦν〉 ] τὴν διὰ τὴν 〈Ἥραν〉 γενομένην ὑπὸ Διὸς μεταμόρφωσιν τῆς Ἰοῦς τῆι θεῶι προσῆψεν.

Supp 309 〈νιν ... δρόμωι〉 ] διὰ τί αὐτὴν ἤλασε μακρῶι δρόμωι; συγκόλλω ς· συμφώνως.

Supp 318 〈τίν’ ... ἄλλον〉 ] ὁ Εὐριπίδης ε′ φησὶ παῖδας εἶναι Βήλου, Αἴγυπτον, Δαναόν, Φοίνικα, Φινέα, Ἀγήνορα. ὄνομα τοῦτο] τοῦ πατρός σου.

Supp 333 〈τί φῂισ〉 ] διὰ τί λέγεις ἐληλυθέναι; 〈ἢ τὸ μὴ θέμισ〉 ] ἢ ὅτι ἀθέμιτος 〈ὁ〉 γάμος; ᾤετο γὰρ αὐτὰς ἐκδεδόσθαι ἤδη ἄλλοις ἀνδράσιν.

Supp 337 τίς δ’ ἂν] κατ’ ἔχθραν δηλονότι· τίς γὰρ τοὺς ἄνδρας δεσπότας ὄνοιτο; εἴπερ .

Supp 344 .. ἦν] συνέπρασσον ὑμῖν, εἰ τὴν ἀρχὴν προφάσεως εἶχον. κατασκίους] τοῖς θαλλοῖς ἱκετηρίων κλάδων πεπληρωμένας.

Supp 352 〈ἀλκᾶι〉 ] τῆι τοῦ ὅρους. φράζουσα .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Supp 353 .. μόχθους] τῶι ἑαυτῆς βοτῆρι σημαίνουσα τοὺς διωγμούς. ὁρῶ .

Supp 354-355 .. θεῶν] ὁρῶ ὅμιλον θεῶν ἐστεμμένων ἱκετηρίαις. 〈ἀστοξένων〉 ] τῶν νῦν μὲν ξένων, πρώην δὲ συνημμένων τῶι ἄστει.

Supp 359 ἄνατον] τὴν μὴ ἐπὶ βλάβηι τινὸς γεγονυῖαν. κλαρίου] πάντα πᾶσι κληροῦντος καὶ κραίνοντος.

Supp 361 παρ’ ὀψιγόνου] παρ’ ἐμοῦ τῆς νεωτέρας ὁ γέρων. οὖνπερ] οὐ πτωχεύσεις.

Supp 363-364 〈ἱεροδόκα ἁγνοῦ〉 ] οἱ θεοὶ δέχονται τὰ ἀπὸ ἀνδρὸς ἁγνοῦ ἱερά. οὔτοι .

Supp 365-366a .. ἐμῶν] οὐ πρὸς τὴν ἑστίαν τῶν ἐμῶν δωμάτων. 〈οὔτοι .

Supp 365-366b .. ἐμῶν〉 ] ἀντὶ τοῦ οὐκ ἰδίαι πρὸς ἐμὲ ποιεῖσθε τὰς ἱκεσίας, ἀλλὰ πρὸς πᾶσαν τὴν πόλιν. τὸ κοινὸν .

Supp 366 .. πόλις] εἰ δὲ τὸ κοινὸν μιαίνεται, ὅ ἐστιν ἡ πόλις. ἄκριτος] ἀνυπεύθυνος.

Supp 376 παλιγκότοις] ἐχθροῖς. καὶ τύχην ἑλεῖν] καὶ τοῦ συμφέροντος ἐπιτυχεῖν.

Supp 381-384 〈τὸν ... ἐννόμου〉 ] τὸν ξένιον καὶ ἱκέσιον Δία τὸν φύλακα τῶν ἀτυχούντων, οἵτινες τοῖς πέλας προσιζάνοντες οὐ μεταλαμβάνουσι τῆς δίκης, ἀλλ’ ὑπερορῶνται. μένει .

Supp 385-386 .. οἴκτοις] τοῖς θρήνοις τῶν πασχόντων συμμαχεῖ ὁ τοῦ Διὸς χόλος. 〈μῆχαρ〉 ] τὴν δὲ τοῦ γάμου μηχανὴν ὁριοῦμαι τοῖς ἄστροις· ἀντὶ μηχανήσομαι φεύγειν δι’ ὁδοῦ μακρᾶς τὸν γάμον.

Supp 394 οἱ γὰρ μακρὰν ὁδὸν φεύγοντες δι’ ἄστρων σημαίνεσθαι ἐλέγοντο. 〈ἑτερορρεπήσ〉 ] αὐτὸς ἐπεξηγήσατο τί ἐστιν ἑτερορρεπή ς.

Supp 405 〈τί τῶνδ’〉 ] εἰ ὁ Ζεὺς τὸ ἴσον φυλάττει, τί ἀπορεῖς συμμαχῆσαι τῶι Διί; 〈δεῖ .

Supp 407-408 .. ὠνωμένων〉 ] δεῖ δὴ εἰς βυθὸν μολεῖν φροντίδος βαθείας σωτηρίου δίκην κολυμβητῆρος. τοῦτο δὲ τοῖς σπογγοτόμοις συμβαίνει, τὸ πόρρωθεν σκοπεῖν καὶ περιβλέπεσθαι. 〈ῥυσίων〉 ] ἀντὶ τοῦ ἱκετίδων.

Supp 415 σημείωσαι. 〈ἐκβολαῖς δυσθέοισ〉 ] διωγμοῖς ἀθέοις.

Supp 427 κότον] τὸν τοῦ Διός. 〈βίαι δίκασ〉 ] παρὰ βούλησιν τῆς δίκης.

Supp 431 〈ἱππηδὸν〉 ] ὡς ἵππον τῆς ἄμπυκος ἑλκομένην. πέπλων .

Supp 432a .. ἐμῶν] τὰς ἐπιλήψεις τῶν πέπλων μου. 〈ἐπιλαβὰσ〉 ] ἀπὸ κοινοῦ τὸ μὴ τλαίης ἰδεῖ ν.

Supp 434 ἴσθι γὰρ] λείπει τὸ ὅτι. 〈ὁμοίαν θέμιν〉 ] δίκαιόν ἐστιν ἀποδιδόναι ὁμοίαν δίκην· αἴ κε πάθηι τά κ ’ ἔρεξ ε , δίκη δ ’ ἰθεῖα γένοιτ ο.

Supp 438 δεῦρο δ’ ἐξοκέλλεται] οὕτως ἀποβαίνει. 〈ἢ τοῖσιν ἢ τοῖσ〉 ] ἢ τοῖς θεοῖς ἢ τοῖς Αἰγυπτιάδαις.

Supp 443 πορθουμένων] χρημάτων. 〈ἄτην〉 ] τοῦ Διὸς ἐμπιπλῶντος καὶ γεμίζοντος ἄτης τὸν γόμον.

Supp 446 〈γλῶσσα〉 ] ἀντὶ τοῦ γλώσσης τοξευσάσης, ὅ ἐστιν εἰπούσης. 〈πημονῆς ἄκη〉 ] τῆς προσδοκωμένης πημονῆς ἄκη.

Supp 452 παροίχομαι] καὶ τοῦτο ποιῶν ἐκτὸς ἔσομαι τοῦ νείκους θεοῖς ὑπηρετῶν. γένοιτο] μάντις ἀποβαίην φαῦλος.

Supp 457a στρόβους ζώνας τε] τὰς στροφὰς τῶν ζωνῶν. νέοις πίναξιν] καινοῖς ἀναθήμασι τὰ ἀγάλματα τῶν θεῶν κοσμήσω.

Supp 463 λέγει δὲ ὅτι μετεωρήσω ἐμαυτὴν τῆι ἀγχόνηι. ἀπάγξασθαι θεῶν] ἐξηρτῆσθαι τῶν θεῶν.

Supp 466a 〈ἤκουσα〉 ] ἤκουσα λόγον καρδίας δηκτικόν. μακιστῆρ α· ἰόν.

Supp 468a δυσπάλαιστα] δυσμεταχείριστα. 〈πράγματα〉 ] ἀπὸ κοινοῦ τὸ ἤκουσ α.

Supp 473 οὐχ ὑπερτοξεύσιμον] ἀνυπέρβλητον. 〈τἀνάλωμα〉 ] τὸ πτῶμα τῶν σωμάτων.

Supp 479 φόβος] ὁ τούτου φόβος μέγιστός ἐστιν ἐν βροτοῖς. κατ’ ἀρχῆς .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Supp 485 .. λεώς] τοὺς γὰρ ἄρχοντας ἐν ταῖς τοιαύταις περιστάσεσιν εἴωθεν αἰτιᾶσθαι ὁ λαός. τοῖς ἥσσοσιν .

Supp 489 .. φέρει] ὡς καὶ πρὸς τὸν [ ε ὖ ] ἔχον θ ʼ ὁ φθόνος ἕρπε ι. 〈φράστορασ〉 ] τοὺς φράσοντας.

Supp 496 ὁμόστολος φύσις] οὐχ ὅμοιοι τοῖς ἐγχωρίοις ἐσμέν, ὥστε λαθεῖν. 〈θράσοσ〉 ] μὴ θαρρήσας μόνος ἀπελθεῖν φοβηθῶ ὑπό τινος.

Supp 501 βωμοὺς] τοὺς κατὰ τὰς ἕδρας τῶν θεῶν. 〈ξυμβόλοισιν〉 ] τοῖς συντυγχάνουσι.

Supp 505 〈ποῦ θράσοσ〉 ] ἀντὶ τοῦ ποῦ παραγενομένης μου τὸ θράσος νέμεις; 〈βέβηλον〉 ] τὸ πᾶσι βατὸν καὶ μὴ ἱερόν.

Supp 510 πτερωτῶ ν· δρακόντων. 〈ἄλευσον〉 ] καταπόντωσον αὐτῶν τὴν ὕβριν.

Supp 528b 〈εὖ〉 ] ἀντὶ δικαίως. τὰν μελανόζυγαταν] τὴν ναῦν ἐν ἧι βλαβήσονται.

Supp 532 〈παλαίφατον〉 ] πολυβόητον. νέωσον .

Supp 534 .. αἶνον] ἀνανέωσον τὴν φήμην ὅτι σοῦ ἐσμεν. 〈πολυμνήστωρ〉 ] πολλὴν μνήμην ἔχων γενοῦ ἐφάπτωρ τῆς Ἰοῦς.

Supp 537 〈γᾶς ἀπὸ τᾶσδ’〉 ] τῆς δίας Αἰγύπτου, τῆς τοῦ Διὸς ἱερᾶς γῆς. 〈εἰς ἴχνοσ〉 ] εἰς Ἄργος.

Supp 539 ἀνθονόμους ἐπωπὰς] κατανομάς. 〈βούχιλον〉 ] ἔνθα ἐχιλοῦτο ἡ βοῦς καὶ ἤσθιεν.

Supp 541 ἐρεσσομένα] ἐλαυνομένη. ἁμαρτίνοος] ἀντὶ τοῦ μανεῖσα.

Supp 544-545 ἀντίπορον γαῖαν] Ἀσίαν καὶ Εὐρώπην. ἐν αἴσαι] ἐν εἱμαρμένηι.

Supp 546 πόρον] τὸν Βόσπορον. λείπει ὁ καί.

Supp 555 αἶαν] Φοινίκην, ἣν ἱερὰν Ἀφροδίτης φασὶ διὰ Βύβλον καὶ Λίβανον. ἱκνεῖται] ἱκνεῖται δὲ δῖον πάμβοτον ἄλσος τοῦ οἴστρου τῶι κέντρωι αὐτὴν διατρυπῶντος.

Supp 557 βουκόλου πτερόεντος] τοῦ μύωπος. ἄλσος] τὴν Αἴγυπτον.

Supp 559 χιονόβοσκον] φασὶ γὰρ λυομένης χιόνος παρὰ Ἰνδοῖς πληροῦσθαι αὐτόν. 〈ὕδωρ .

Supp 561 .. ἄθικτον〉 ] λέγεται γὰρ ὁ ἀὴρ κουφότερος εἶναι· ἐπεξηγήσατο δὲ τί ἐστι τὸ μένος τοῦ Τυφῶ, εἰπὼν τὸ ὕδωρ τοῦ Νείλου. ἔννομοι] οἰκήτορες.

Supp 567 ὄψιν ἀήθη] ὄψιν ἀήθη ὁρῶντες. δυσχερὲς] τερατῶδες.

Supp 571 〈τίς ἦν〉 ] ὡς ἐν ἐρωτήσει. θέλξας] θεραπεύσας.

Supp 576 σθένει] λείπει ὁ καί. δακρύων .

Supp 578-579 .. αἰδῶ] ἐννοοῦσα ὃ πέπονθεν. 〈ἔρμα〉 ] τὸ βάρος.

Supp 580b ἀψευδεῖ λόγωι] καθὼς ἡ φήμη βούλεται. γένος] τὸ γένος τῆς Ἰοῦς.

Supp 588-589 〈καὶ ... κυρήσαισ〉 ] καὶ τὸ γένος ἡμῶν ἐξ Ἐπάφου λέγων εἶναι τῆς ἀληθείας κυρήσεις καὶ οὐ ψεύσηι. 〈αὐτόχειρ〉 ] αὐτὸς ὁ πατὴρ φυτουργὸς τοῦ γένους, ὁ τῆι ἑαυτοῦ χειρὶ θεραπεύσας τὴν Ἰώ.

Supp 594 〈τὸ πᾶν μῆχαρ〉 ] ἡ πάντων μηχανή. 〈ὑπ’ ἀρχὰς .

Supp 595-596 .. κρατύνει〉 ] οὐχ ὑπὸ τὰς ἀρχὰς δέ τινος τῶν κρεισσόνων καθήμενος, τὸ μεῖον ἔχων. ὅστινος .

Supp 597 .. κάτω] οὐ σέβει κάτω ὢν αὐτός. 〈ἔργον〉 ] ἅμα τῶι λόγωι ἡ πρᾶξις.

Supp 599 〈σπεῦσαι〉 ] εἰς τὸ συντελέσαι. 〈πληθύνεται〉 ] πότερον πλείους οἱ συμμαχοῦντες ἡμῖν ἢ ὀλίγοι.

Supp 607 δεξιωνύμοις] δεξιοῖς. 〈ἔφριξεν〉 ] πυκνὰς ἔσχε τὰς ἠρμένας αὐτῶι χεῖρας.

Supp 609 τὸ ἑξῆς· ἔδοξεν ἡμᾶς μετοικεῖν. ἐνοίκων] πολιτῶν.

Supp 612 προστιθῆι τὸ καρτερόν] λείπει τὸ τίς· ἀντὶ τοῦ βίαι πολιτῶν. ἱκεσίου .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Supp 616-618 .. παχῦναι] εἰς τὸν μετέπειτα χρόνον μήπως αὐξήσηι κότον ὁ Ζεύς. παχῦναι] αὐξήσειν.

Supp 618b 〈ξενικὸν ἀστικόν θ’〉 ] ὃ εἶπεν ἄνω ἀστοξένων, τοῦτο διαλελυμένως εἶπεν. διπλοῦν] διπλοῦν καθὸ καὶ ξένους ὄντας παρορῶμεν καὶ συγγενεῖς δειχθέντας οὐκ ἐλεοῦμεν.

Supp 621 τοιαῦτ’ ἀκούων] ταῖς χερσὶν ἐπέκρανεν, πρὶν εἰπεῖν τὸν κήρυκα· ἀράτω τὰς χεῖρας ὅτωι ταῦτα δοκεῖ. ποινάς] ἀμοιβάς.

Supp 629 τέρμον’ ... ἅπαντα] βεβαίως εἰς 〈τὸ〉 παντελὲς φέρων αὐτάς. ὅτε] ἀντὶ εἴποτε.

Supp 632 〈χεούσασ〉 ] χεούσης ἐμοῦ εὐκταῖα γένει ἤτοι τοῖς Ἀργείοις. πυρέφατον] πυρὶ ἀναλωθεῖσαν.

Supp 636a κτίσαι] ποιῆσαι. 〈μάχλον〉 ] τὸν εἰς τοὺς πολέμους κατωφερῆ ἢ τὸν παλίμβολον.

Supp 637-638 τὸν ... ἐν ἄλλοις] τὸν ἐν ἄλλοις ἀρότροις θερίζοντα τοὺς βροτούς. ὤκτεισαν] ἡ πόλις.

Supp 642a 〈ποίμναν〉 ] τὴν ἡμῶν σύστασιν. ἀμέγαρτον] ἀφθόνητον διὰ τὸ εὐτελές.

Supp 643 ἀρσένων] τῶν Αἰγυπτιαδῶν. 〈Δῖον .

Supp 646-647 .. σκοπὸν〉 ] Διὸς σκοπόν, τὸν Διὸς ὀφθαλμὸν τὸν πάντα σκοποῦντα. 〈ἐφίζει〉 ] ἐφιζάνει γὰρ βαρὺς καὶ ἐρείπει τὸν οἶκον.

Supp 652 〈ἅζονται〉 ] τοῦτο συναπτέον 〈τῶι〉 οὐδὲ με τ ’ ἀρσένω ν. 〈ἀρέσονται〉 ] εἰς ἀρέσκειαν ἄγουσι.

Supp 663-664 〈ἄδρεπτον ἔστω〉 ] τὸ ἄνθος τῆς ἥβης αὐτῶν μὴ ἐκκοπείη. γεμόντων] πληρούσθωσαν.

Supp 667-669 〈καὶ γεραροῖσι ... φλεγόντων〉 ] καὶ διαπρεπέτωσαν τοῖς γέρουσιν αἱ θυμέλαι. 〈νέμοιτο〉 ] [ἢ] οἱ γέροντες.

Supp 670-671 〈Ζῆνα ... ὑπέρτατον〉 ] τῶν γερόντων σεβόντων τὸν Δία τὸν ξένιον ὑπερτάτως. ὡς πολιῶι νόμωι] ὁ Ζεὺς τῶι ἀρχαίωι νόμωι τὸ ἴσον τηρεῖ.

Supp 674 ἐφόρους] βασιλεῖς. 〈βοάν τε δῆμον〉 ] ἐμφύλιον μάχην, τὴν ἐπὶ τοῖς ἀπολωλόσι βοήν.

Supp 684-685 〈ἀπ’ ἀστῶν〉 ] ἄποθεν τοῦ κράτους τῶν ἀστῶν. καρποτελεῖ .

Supp 688-689 .. ἐπικραινέτω] τελεσφορῆσαι ποιείτω. φέρματι] κυήματι.

Supp 690b πανώρωι] κατὰ πᾶσαν ὥραν αὐξομένωι. πρόνομα] πρὸ τῆς πόλεως νεμόμενα.

Supp 693 ἐκ δαιμόνων] παρὰ δαιμόνων. 〈μοῦσαι〉 ] αἱ ὠιδαί.

Supp 698 〈φυλάσσοι ... τιμὰσ〉 ] ἀμετακίνητοι εἶεν αὐτοῖς αἱ τιμαί. προμηθεὺς] ἡ γὰρ ἀρχὴ ὑπὲρ τῶν κοινῶν προνοουμένη τήν τε πόλιν καὶ τὸ κοινὸν αὔξει.

Supp 701 ξένοισί τ’] τοῖς τε ξένοις δίκας εὐσυμβόλους διδοῖεν πρὶν ἐξοπλίζειν Ἄρη. τὸ γὰρ τεκόντων] πρῶτον θεούς, δεύτερον νόμους, τρίτον δὲ τόδε, τὸ τοὺς γονεῖς τιμᾶν.

Supp 707 ἐχρῆν δὲ εἰπεῖν· καὶ τοὺς γονεῖς δὲ σέβοιντο. τὸ γὰρ τιμᾶν γονεῖς τρίτον ἐστὶ παράγγελμα δίκης. ἱκεταδόκου] τῆς δεξαμένης ἡμᾶς τοὺς ἱκέτας.

Supp 715a 〈στολμοί τε λαίφουσ〉 ] κατὰ περίφρασιν τὸ λαῖφος. παραρρύσεις] ἐκτάσεις.

Supp 718 οὕτως δὲ ἡμῖν κλύουσα τοῦ οἴακος οὐ φίλη ἐστίν. ἄνδρες νήιοι] ναῦται.

Supp 719-720 ἐκ τῶν λευκῶν πεπλωμάτων μέλανα γυῖα φαίνονται ἔχοντες. 〈ῥυσίων〉 ] ἐνεχύρων· ἐνεχυράζοντες ἡμᾶς διά τινος ἁρπαγῆς.

Supp 730 βοῇ ι· νῦν τῆι βοηθείαι. 〈ἀλκῆσ〉 ] τῆς τῶν βωμῶν καταφυγῆς.

Supp 732-733a σημείωσαι. γνώμη.

Supp 735 μῆκος ... χρόνου] τῆς ἡμῶν φυγῆς καὶ τῆς τούτων παρουσίας. ὅσον μοι προγέγονεν ὄφελος διὰ τῆς ἐνθάδε φυγῆς, τῶι δείματι νῦν παροίχεται· ἀπιστῶ γὰρ εἰ τεύξομαι ἐπικουρίας.

Supp 739 τελεία] τελεσθεῖσα. ἐν μεσημβρίαι .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Supp 746-747 .. κατερρινημένους] καλῶς ἐν ἡλίωι γεγυμνασμένους. 〈δουλόφρονεσ〉 ] οἱ Αἰγυπτιάδαι.

Supp 751 κόρακες ὥστε] λείπει ἁρπάζουσί με. 〈ἐχθαιροίατο〉 ] εἰ ἀσεβήσαιεν εἰς τοὺς βωμούς.

Supp 756 〈χεῖρ'〉 ] χειρὶ τὸ ἐντελές. 〈περίφρονεσ〉 ] ἀντὶ ὑπέρφρονες.

Supp 757b ἀνιέρωι] ἀσεβεῖ. 〈κρείσσουσ〉 ] τοσοῦτον αὐτῶν διαφέρουσιν ὡς λύκοι κυνῶν.

Supp 761 〈βύβλου ... στάχυν〉 ] ἐπεὶ παπυροφάγοι οἱ Αἰγύπτιοι. κράτος] τὴν βίαν.

Supp 764 στολῆι] ἀντὶ ὁρμῆι. 〈οὔτοι ταχεῖαι .

Supp 764-765 .. ὅρμοσ〉 ] οὐδὲ ἡ ὁρμὴ ταχεῖα οὐδὲ ἡ ἔκβασις. πισμάτων σωτηρίου] ἀντὶ πείσματα σωτήρια.

Supp 766 ἀγκυρουχίαις] ταῖς ἀσφαλείαις καὶ κατοχαῖς τῶν ἀγκυρῶν. ποιμένες] κυβερνῆται.

Supp 772 〈πρὶν ... θρασυνθῆναι〉 ] πρὶν καταθαρρῆσαι τῶι ὅρμωι τὰς ναῦς. 〈ἄγγελον〉 ] ἐμὲ τὸν ἀπαγγέλλοντα αὐτοῖς τὴν παρουσίαν τῶν Αἰγυπτιαδῶν.

Supp 776a βουνῖτι] ὀρεινή. ἔνδικον σέβας] δικαία σέβεσθαι, ἢ ἣν δικαίως πάντες τιμῶσιν.

Supp 778 κελαινὸν] ἀφανές. 〈ἄφαντοσ〉 ] μεταβληθείην μὴ εἰς πτηνόν, ἀλλ' εἰς ἄψυχόν τι.

Supp 785 〈μελανόχρωσ〉 ] ἀντὶ τεταραγμένη. ἡ μεταφο(ρὰ) ἀπὸ τῆς θαλάσσης ἥτις ἐν τῶι ταράσσεσθαι μελαίνεται. 〈πατροσκοπαι〉 ] προσκοπήσας ὁ πατὴρ καὶ σημάνας ἐτάραξεν ἡμᾶς.

Supp 787 〈μορσίμου〉 ] μόρον μοι ἐπάγοντος. 〈δαΐκτοροσ〉 ] τοῦ γάμου δαϊκτῆρος τῆς καρδίας μου.

Supp 802 〈ἐλευθεροῦται〉 ] ἀντὶ ἐλευθεροῖ. τυχώ ν· ἐμοῦ δηλονότι.

Supp 806 ἀμφ' αὐτᾶς] περὶ ἐμαυτῆς. τέμνω] εὕρω.

Supp 807b λυτήρια] λείπει 〈ὁ καί〉 . ἐπεξηγήσατο ὀμφάν· ἑαυταῖς δὲ παρακελεύονται.

Supp 809 λίτανα] λιτανευτικά. καὶ τέλεα δέ μοι .

Supp 809-811 .. λύσιμα] καὶ ἐπιτελεστικά μοι καὶ λύσιμα τῶν κακῶν γινόμενα. 〈μάχιμα〉 ] ἀντὶ ἀτάραχα.

Supp 816 〈γαιάοχε παγκρατὲς Ζεῦ〉 ] ὦ πάσης γῆς κρατῶν Ζεῦ. διόμενοι] διώκοντες.

Supp 820a μάταισι] ταῖς ζητήσεσιν. 〈ἐπίπαν〉 ] ἴσον ἐπὶ πάντων.

Supp 825 〈ὂ ὂ ὂ ἂ ἂ ἅ〉 ] ταῦτα μετά τινος πάθους ἀναβοῶσιν ἐξ ἀπόπτου τοὺς Αἰγυπτιάδας ἰδοῦσαι. μάρπις] ὁ ἐλθὼν ἐπὶ τὸ μάρψαι ἡμᾶς.

Supp 826c νάιος γάιος] ὁ πρώην μὲν ἐπὶ νηός, νῦν δὲ ἐπὶ γῆς γεγονώς. τῶν πρ ό , μάρπτ ι , κάμνοι ς· πρότερον θάνοις, ὦ μάρπτι, πρὶν ἡμᾶς συλλαβεῖν.

Supp 827b τῶν πρόμαρπτι κάμνοις] τοῦτο διὰ μέσου. ἰό φ· ἔστι ἀποπτυσμοῦ μίμημα· ἀπὸ δὲ τοῦ ἀποπτύειν ἐπίφθεγμα ἐποίησεν.

Supp 827c διὸ δεῖ τὴν ὑστέραν δασύνειν. 〈κάκκασ〉 ] καταβάσεις.

Supp 829-830 οὐκέτι παρὰ τοῦ πατρὸς ἀκούσασα, ἀλλ' αὐτόπτης γενομένη βοῶ. πρὸς ἀλκάν] πρὸς τὴν τῶν θεῶν ἀλκήν, τὴν ἐπὶ τῆι δόξηι ἐπηρμένην ἀλκὴν τῶν θεῶν.

Supp 835a γᾶι ἄναξ προτάσσου] ὦ Πελασγέ, πρὸ ἡμῶν παράταξαι. γᾶι ἄναξ προτάσσου] ἔστι δὲ παρὰ τὸ κύδεϊ γαίω ν.

Supp 837 〈ὅπως ποδῶν〉 ] ὡς ἔχετε τάχους ποδῶν. οὐκοῦν] ἰδίως τοῦτο ἀντὶ εἰ δὲ μή.

Supp 847 〈αἵμονεσ〉 ] ἡιμαγμένην σε καθίζω. τάπιτα] ἀπιόντα κατὰ συγκοπήν.

Supp 850a ἴχαρ] ἐπιθυμία. 〈ἴχαρ〉 ] τὴν ἐπιθυμίαν ἴχαρ εἶπεν.

Supp 850c 〈φρενί τ' ἄταν〉 ] τὴν ἄτην τῆς φρενός. 〈λείφ' ἵδρανα〉 ] κατάλειπε τοὺς βωμούς.

Supp 853 〈ἀτιετανα〉 ] μήποτε μετέχων τῆς τιμῆς ἐν τῆι πόλει τῶν εὐσεβῶν. ἀλφεσίβοιον ὕδωρ] τὸ ζωοποιοῦν τὰ θρέμματα, ἢ 〈τὸ〉 ἔντιμον μεταφορικῶς.

Supp 855

λέγει δὲ τοῦ Νείλου. ζώφυτον] ἀρρενογόνον γὰρ τὸ ὕδωρ τοῦ Νείλου· ὅθεν Ζεὺς πιὼν ἔτεκεν Ἄρεα.

Supp 859-860 ἄγειος ἐγὼ βαθυχαῖος] ἐγὼ ἡ βαθυχαῖος ἀναξία ταύτης τῆς βαθρείας, ὦ γέρον. βαθυχαῖο ς· ἡ μεγάλως εὐγενής· χαοὶ γὰρ οἱ εὐγενεῖς.

Supp 861-864 σὺ δὲ ναΐ] σὺ δὲ θέλων καὶ μὴ θέλων ναΐ βήσηι τάχα, βίαι πολλῆι κακοπαθῶν. βίαι .

Supp 863 .. πολλᾶι] λείπει πεπειραμέναι. αἰαῖ αἰαῖ] τοῦτο ἰδίαι εὐκτικῶς· ὄλοιο οὖν σὺν ταῖς σαῖς μηχαναῖς.

Supp 868 ⟨ἄλσοσ⟩ ] τὸ πέλαγος. κατὰ Σαρπηδόνιον χῶμα] κατὰ τὴν Σαρπηδονίαν ἄκραν.

Supp 872 ⟨ἴυζε καὶ λάκαζε⟩ ] μάτην λήκει καὶ βόα. οὐχ ὑπερθορῆι] οὐκ ἐκφύγοις.

Supp 875 ⟨πικρότερ’⟩ ] καὶ αὐτῶν τῶν ἀχέων πικρότερα ἴυζε. λυμασις ὑπρογασυλασκοι] εἷς ὑπὲρ τῶν Αἰγυπτίων πρεσβεύει.

Supp 879 ⟨Νεῖλος ... σ’⟩ ] ὁ Νεῖλός σε. ἀντίστροφον] τὴν ἐξ ἀμφοτέρων τῶν μερῶν ἑλισσομένην, ὅ ἐστιν ἀμφιέλισσαν.

Supp 885-886 βροτιοσα ροσαται] ἡ τῶν βρετέων ἐπικουρία βλάπτει με· τοῦτο δέ φασιν, ἐπεὶ θαρσοῦσαι αὐτοῖς ἐν τῶι φανερῶι κατελήφθησαν. ὄναρ μέλαν] τουτέστι μηδέν με οὖσαν.

Supp 890 μᾶ γᾶ] ὦ μῆτερ γῆ. ὦ βᾶ γᾶς παῖ Ζεῦ] ὦ πάτερ Ζεῦ, γῆς παῖ· ἡ αὐτὴ γάρ ⟨ἐστι⟩ Ῥέα καὶ Γῆ.

Supp 894 ⟨ἐγήρασαν⟩ ] εἰς γῆράς με ἤγαγον. ⟨μαιμᾶι⟩ ] ἐνθουσιᾶι.

Supp 900 μᾶ γᾶ] ὦ μῆτερ γῆ. ⟨χιτῶνος ἔργον⟩ ] τὴν ἐργασίαν τοῦ χιτῶνος.

Supp 915 ⟨ὤρθωσα⟩ ] εἰς ὀρθὴν ἦλθες. ⟨οὔτοι .

Supp 934-936 .. ἔλυσεν⟩ ] οὐ δεήσει μαρτύρων ἡμῖν. ὁ γὰρ Ἄρης κρίνει τὸ νεῖκος. οὐδὲ γὰρ ἄργυρον παρ’ ὑμῶν λαμβάνοντες εἰρηνεύσαιμεν ἄν. ⟨ταῦτ’⟩ ] οὐκ ἐγγράφως ταῦτα εἶπον, ἀλλὰ ζώσηι φωνῆι.

Supp 953 ⟨ἐκ κριθῶν μέθυ⟩ ] πρὸ γὰρ τῆς εὑρέσεως τοῦ οἴνου τοῦτο ἐξεῦρον Αἰγύπτιοι. λέγεται δὲ μεθύσκειν. ⟨πολλῶν⟩ ] ὡς πολλῶν ξένων ἐκεῖ οἰκούντων.

Supp 965 ⟨τῶνδε⟩ ] ἐμοῦ καὶ τῶν ἀστῶν. ⟨δῖε⟩ ] ὡς δῖα γυναικῶ ν.

Supp 969 ⟨πρόνοον⟩ ] τὸν πρόνοιαν ἡμῶν ποιούμενον. ⟨πᾶς τις .

Supp 972-973 .. εὔτυκτοσ⟩ ] ἐπεὶ πᾶς ἄνθρωπός ἐστιν ἕτοιμος εἰς τὸ ψέγειν τοὺς ξένους. σωφρονεῖτε ὅπως ὁ τῶν Αἰγυπτιαδῶν ὅμιλος καταγνωσθῆι ὑπὸ τῶν Ἀργείων καὶ μὴ ἡμεῖς.

Supp 995 ⟨εὐπετὲσ⟩ ] τὸ εἰπεῖν μυσαρόν τι κατὰ τῶν ξένων εὐχερές ἐστιν. ⟨ἐπίστρεπτον⟩ ] τὴν ἐπιστροφῆς δεομένην ἢ τὴν ἐπιστρέφουσαν εἰς θέαν.

Supp 998-999 πάντα ἐπιθυμίαι δουλεύουσι. ⟨μὴ πάθωμεν⟩ ] μὴ ὑποπέσητε ἀνδράσιν.

Supp 1028 πολύτεκνοι] πολυτεκνίας πρόξενοι. θεσμὸς ὅδ’] ὁ τοῦ ἡμετέρου ὕμνου νόμος.

Supp 1038 μετάκοινοι] κοινωνοί. ⟨δέδοται .

Supp 1041-1042 .. ψεδυρὰ⟩ ] ἡ ἁρμονία μετέχει τῆς Ἀφροδίτης· ψευδὴς δὲ ὅτι πολλὰ ψεύδονται οἱ ἐρῶντες. ⟨τί ποτ’⟩ ] δέδοικα, ὅτι εὐπλοίας ἔτυχον, μὴ καὶ [τὸ] τοῦ γάμου τύχωσιν.

Supp 1050-1051 ⟨μετὰ ... γυναικῶν⟩ ] μετὰ ἄλλων πολλῶν γάμων γυναικῶν καὶ οὗτος τελεσθήσεται. ἀγάζειν] λίαν ἐξετάζειν.

Supp 1070 ⟨τὸ δίμοιρον αἰνῶ⟩ ] ἡδέως ἔχω τὸ δίμοιρον τῶν κακῶν σὺν ἑνὶ ἀγαθῶι, ὅ ἐστι τῆι ἀπαλλαγῆι τοῦ γάμου. Πίνδαρος· ἓν πα ρ ’ ἐσθλὸν σύνδυο δαίονται πήματα βροτοῖς ἀθάνατο ι. HYPOTHESIS I ἡ μὲν σκηνὴ τοῦ δράματος ἐν Θήβαις ὑπόκειται, ὁ δὲ χορὸς ἐκ Θηβαίων ἐστὶ παρθένων. [1]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th hyp1 (t) ἡ δὲ ὑπόθεσις· στρατεία Ἀργείων πολιορκοῦσα Θηβαίους, τοὺς καὶ νικήσαντας, καὶ θάνατος Ἐτεοκλέους καὶ Πολυνείκους. I 1 M ἐδιδάχθη ἐπὶ Θεαγενίδου ὀλυμπιάδι οη′. ἐνίκα Αἰσχύλος Λαΐῳ Οἰδίποδι Ἑπτὰ ἐπὶ Θήβας Σφιγγὶ σατυρικῇ, δεύτερος Ἀριστίας ταῖς τοῦ πατρὸς αὐτοῦ τραγῳδίαις Περσεῖ Ταντάλῳ 〈...〉 Παλαισταῖς σατύροις, τρίτος Πολυφράσμων Λυκουργείᾳ τετραλογίᾳ. MΠ (P. Oxy. 2256 fr. 2) τὰ τοῦ δράματος πρόσωπα· Ἐτεοκλῆς Ἀντιγόνη ἄγγελος κατάσκοπος Ἰσμήνη χορὸς παρθένων κῆρυξ. M HYPOTHESIS II Λάιος ἐβασίλευσε ἐν Θήβαις· ἔσχε δὲ τὴν Ἰοκάστην γυναῖκα, παῖδα δὲ οὐκ ἐποίει. [1]

Th hyp2 (t) ἀγανακτῶν τοίνυν ἐπὶ τῇ ἀτεκνίᾳ ἀπῆλθεν εἰς Πυθὼ ἐρωτήσων τί ἂν ποιήσας παιδοποιήσῃ. ἐξήνεγκε δὲ τὸ χρηστήριον· ‘μὴ σπεῖρε τέκνων ἄλοκα, Λάιε, βίᾳ δαιμόνων‘. λαβὼν δὲ τὸν χρησμὸν καὶ ἀπελθὼν ἐφύλαττε μὴ συνευνασθῆναι τῇ ἰδίᾳ γυναικί. ἐν μιᾷ δὲ τῶν ἡμερῶν τῷ οἴνῳ βαρυνθεὶς συνῆλθε τῇ γυναικὶ αὐτοῦ, ἀφ’ ἧς ἔσχε τὸν Οἰδίποδα. φοβηθεὶς δὲ τὸν χρησμὸν εἰπόντα ‘εἰ γὰρ τεκνώσεις, ἀποκτενεῖ ς’ ὁ φύσ‘, ἡνίκα ἐγεννήθη ὁ Οἰδίπους, διατορήσας τοὺς πόδας αὐτοῦ ἐξέθηκεν αὐτὸν ἐν ὄρει τινί. εὑρόντες δέ τινες τοῦτον ποιμένες καὶ ἀναλαβόντες ἀνήνεγκαν αὐτὸν τῷ τότε βασιλεῖ Κορίνθου Πολύβῳ, ὃς λαβὼν αὐτὸν ἐπιμελείας ἠξίωσε καὶ εἰς ἀνδρῶν ἡλικίαν ἤγαγεν. ἔπειτα δὲ ὁ Οἰδίπους ὑβρισθεὶς παρά τινος καὶ ὀνειδισθεὶς ὡς νόθος εἴη, ἀπῆλθεν εἰς τὸ χρηστήριον ἐρωτήσων τίς τε εἴη καὶ τίνος υἱός. εἶπε δὲ αὐτῷ ὁ θεός· ‘πρόκειταί σοι φονεῦσαι τὸν πατέρα σοῦ καὶ τῇ μητρὶ σοῦ συνευνασθῆναι‘. ἀκούσας δὲ τοῦ χρησμοῦ κατέλειψεν ἀπελθεῖν εἰς Κόρινθον πρὸς τὸν Πόλυβον διὰ τὰ εἰρημένα, ὡς δοκῶν αὐτὸν τὸν Πόλυβον λέγειν τὸ χρηστήριον πατέρα, καὶ ἀπῆλθεν εἰς τὴν ὁδὸν τὴν ἐς Θήβας. διεπορεύετο δὲ τὴν ὁδὸν ἐκείνην καὶ ὁ Λάιος ὁ πατὴρ τοῦ Οἰδίποδος, ἀπερχόμενος καὶ οὗτος εἰς τὸ χρηστήριον ἐρωτήσων περὶ τοῦ τί γέγονε ὁ Οἰδίπους ὁ παρ’ αὐτοῦ ἐκτεθείς. ἐπεὶ δὲ συνήντησαν ἄμφω, οἱ τοῦ βασιλέως δορυφόροι πρὸς τὸν Οἰδίποδα εἶπον· ‘παραχώρησον ἡμῖν, ὦ ξένε, τῆς ὁδοῦ‘· ὁ δ’ οὐκ ἐπείσθη. πληγεὶς δὲ παρὰ τοῦ Λαΐου ἐμάνη ἐπὶ τούτῳ καὶ ἀπέκτεινεν αὐτὸν καὶ πάντας τοὺς μετ’ αὐτοῦ· ἕνα δὲ μόνον ἀφῆκεν, ὃς στραφεὶς οἴκοι ἀπήγγειλε πάντα. ἐλθὼν δὲ εἰς Θήβας ὁ Οἰδίπους εὗρε κακὸν αὐτοῖς ἐπικείμενον μέγα, τὴν Σφίγγα, καὶ τὸν μὴ ἰσχύοντα λῦσαι τὸ ταύτης αἴνιγμα κατεσθιοῦσαν. προέκειτο δὲ τότε παρὰ τῶν Θηβαίων βραβεῖον τῷ εὑρόντι τὸ αἴνιγμα τῆς Σφιγγὸς καὶ αὐτὴν ἀποκτείναντι ἡ τοῦ Λαΐου γυνὴ δοθῆναι εἰς γάμον. εἰπούσης οὖν τῆς Σφιγγὸς τὸ αἴνιγμα τὸ ‘ἔστι δίπουν ἐπὶ γῆσ‘, ὃ μεμάθηκας σημαίνει τὸν ἄνθρωπον, ἐφεῦρε τοῦτο ὁ Οἰδίπους· ἡ δὲ Σφὶγξ μανεῖσα ἀνεῖλεν ἑαυτήν. συνελθὼν οὖν ὁ Οἰδίπους τῇ μητρὶ ἐποίησε παῖδας δύο τὸν Πολυνείκην καὶ τὸν Ἐτεοκλῆν. ὕστερον δὲ μαθὼν καὶ νοήσας τὸ ἀνόμημα ὃ ἔδρασεν ἐτύφλωσεν ἑαυτόν, τοῖς δὲ εἰρημένοις παισὶν αὐτοῦ τὴν βασιλείαν κατέλειψεν. ὁ γοῦν Πολυνείκης πρῶτος ὢν ἐκράτησεν ἕνα χρόνον τῆς βασιλείας, εἶτα ἐξῆλθεν ὡς ἂν καὶ ὁ ἕτερος αὐτοῦ ἀδελφὸς ὁ Ἐτεοκλῆς κρατήσῃ χρόνον ἕτερον καὶ πάλιν διαλλαγὰς χρονίας τὴν βασιλείαν διέπωσιν, θάτερος θατέρῳ παραχωρῶν αὐτῆς. ἐλθὼν οὖν ὁ Πολυνείκης οὐ προσεδέχθη παρὰ τοῦ ἰδίου ἀδελφοῦ Ἐτεοκλέους, καὶ διὰ τοῦτο ἀπελθὼν εἰς τὸν Ἄδραστον, ὅστις ἐβασίλευε τότε τοῦ Ἄργους, γέγονε γαμβρὸς αὐτοῦ ἐπὶ θυγατρὶ ἐπὶ ὑποσχέσει τοιαύτῃ, ἵνα συνεργήσῃ αὐτῷ ὁ Ἄδραστος ἐπανελθεῖν εἰς τὴν ἰδίαν πόλιν καὶ τῆς βασιλείας δράξασθαι. διὸ καὶ πλείστην ἀξιόχρεων στρατιὰν συλλέξας ἄπεισιν εἰς Θήβας καὶ πόλεμον συγκροτεῖ μετὰ τοῦ ἀδελφοῦ, τὴν τῶν Ἀργείων στρατιὰν ἔχων σύμμαχον ὡς προείρηται, ἔνθα καὶ οὗτος καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἐτεοκλῆς ἀνηρέθησαν. Ἡ μὲν σκηνὴ τοῦ δράματος ἐν Θήβαις ὑπόκειται. ὁ δὲ χορὸς ἐκ Θηβαίων ἐστὶ παρθένων. ἡ δὲ ὑπόθεσις στρατιὰ Ἀργείων πολιορκοῦσα Θηβαίους τοὺς καὶ νικήσαντας αὐτούς, καὶ θάνατος Ἐτεοκλέους καὶ Πολυνείκους. Ἐπιγέγραπται δὲ ὑπόθεσις τῶν ἑπτὰ ἐπὶ Θήβαις διὰ τὸ ἑπτὰ στρατηγοὺς φυλάσσειν ἐν τῷ πολέμῳ τὰς πύλας τῶν Θηβῶν, ἢ διὰ τὸ ἑπτάπυλον· ἑπτάπυλος γὰρ αὕτη ἡ Θήβα· ἔστι δὲ καὶ ἑτέρα Θήβα ἐν Αἰγύπτῳ ἡ λεγομένη ἑκατοντάπυλος. [45]

Th hyp2 (50) AbBHHaNcQVWXXaXcYYaYb HYPOTHESIS III Ὁ Λάιος τοῦ Λαβδάκου υἱὸς ὢν ἐβασίλευσεν ἐν Θήβαις, γυναῖκα κεκτημένος Ἰοκάστην, τὴν θυγατέρα τοῦ Μενοικέως· ᾗ συνελθεῖν καὶ τέκνα ποιῆσαι οὐκ ἐτόλμα, τὰς τοῦ Πέλοπος δεδιὼς ἀράς. [1]

Th hyp3 (t) φασὶ γὰρ ὅτι τὸν τοῦ Πέλοπος υἱὸν Χρύσιππον, ὃς ἦν αὐτῷ ἐξ ἄλλης γυναικὸς καὶ οὐκ ἐκ τῆς θυγατρὸς τοῦ Οἰνομάου Ἱπποδαμείας, ὁ Λάιος ἥρπασεν ἐρασθεὶς αὐτοῦ καὶ αὐτῷ συνεγένετο, καὶ πρῶτος ἐν ἀνθρώποις τὴν ἀρρενοφθορίαν ὑπέδειξε, καθώσπερ δὴ καὶ ὁ Ζεὺς ἐν θεοῖς, τὸν Γανυμήδην ἁρπάσας. ὅπερ ὁ Πέλοψ μαθὼν τὸν Λάιον κατηράσατο ἐξ οἰκείας φονευθῆναι γονῆς. ἐπεὶ γοῦν ὁ Λάιος δι’ ὃν εἴρηται τρόπον ἄπαις ἤδη παρήκμαζεν, εἰς τὸ τοῦ Ἀπόλλωνος μαντεῖον ἐγένετο ἐρωτήσων εἰ δέοι τεκνώσασθαι. ἐξήνεγκεν δὲ αὐτῷ τὸ χρηστήριον· ‘μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.‘ λαβὼν δὲ τὸν χρησμὸν καὶ ἀπελθὼν ἐφύλαττε μὴ συνευνᾶσθαι τῇ ἰδίᾳ γυναικί. ἐν μιᾷ δὲ τῶν ἡμερῶν τῷ οἴνῳ βαρυνθεὶς συνῆλθε τῇ γυναικὶ αὐτοῦ, ἀφ’ ἧς ἔσχε τὸν Οἰδίποδα· φοβηθεὶς δὲ τὸν χρησμὸν εἰπόντα ‘εἰ γὰρ τεκνώσεις, ἀποκτενεῖ ς’ ὁ φύς‘, καθὼς καὶ Πέλοψ κατηράσατο, ἡνίκα ὁ Οἰδίπους ἐγεννήθη, διατορήσας τοὺς πόδας αὐτοῦ καὶ χρυσέους κρίκους διαπερονησάμενος ἐν Κιθαιρῶνι τοῦτον ἐξέθετο. εὑρόντες δέ τινες αὐτὸν ποιμένες καὶ ἀναλαβόντες ἀνήνεγκαν τῷ τότε βασιλεῖ Κορίνθου Πολύβῳ· ὃς λαβὼν αὐτὸν ἐπιμελείας ἠξίωσε καὶ εἰς ἀνδρῶν ἡλικίαν ἤγαγεν. ἔπειτα δὲ ὁ Οἰδίπους παρά τινος ὑβρισθεὶς καὶ ὀνειδισθεὶς ὡς νόθος ἐστὶ καὶ οὐ γνήσιος υἱὸς τοῦ Πολύβου, ἀπῆλθεν ἐρωτήσων εἰς τὴν Πυθίαν, ἤγουν εἰς τὸ τοῦ Ἀπόλλωνος μαντεῖον, τίς τε εἴη καὶ τίνος υἱός. εἶπε δὲ αὐτῷ τὸ μαντεῖον ὅτι ‘πρόκειταί σοι φονεῦσαι τὸν πατέρα σοῦ καὶ τῇ μητρὶ σοῦ συνευνασθῆναι‘. ἀκούσας δὲ τοῦ χρησμοῦ κατέλειψεν ἀπελθεῖν εἰς Κόρινθον πρὸς τὸν Πόλυβον διὰ τὰ εἰρημένα, ὡς δοκῶν αὐτὸν τὸν Πόλυβον λέγειν τὸ χρηστήριον πατέρα καὶ τὴν αὐτοῦ γυναῖκα μητέρα, καὶ ἀπῆλθεν εἰς τὴν ἐς Θήβας ὁδόν. διεπορεύετο δὲ τὴν ὁδὸν ἐκείνην καὶ ὁ Λάιος ὁ τούτου πατήρ, ἀπερχόμενος καὶ οὗτος ἐρωτήσων εἰς τὸ μαντεῖον περὶ τοῦ παρ’ αὐτοῦ ἐκτεθέντος παιδός, ἤγουν τοῦ Οἰδίποδος, τί γέγονεν. ἐπεὶ δὲ συνήντησαν ἄμφω, οἱ τοῦ Λαΐου δορυφόροι πρὸς τὸν Οἰδίποδα ‘παραχώρησον‘ ἔλεγον, ‘ὦ ξένε, τῷ βασιλεῖ τῆς ὁδοῦ‘· ὁ δ’ οὐκ ἐπείσθη. πληγεὶς δὲ παρὰ τοῦ Λαΐου ἐμάνη ἐπὶ τούτῳ καὶ ἀπέκτεινεν αὐτὸν καὶ πάντας τοὺς μετ’ αὐτοῦ, ἕνα δὲ μόνον ἀφῆκεν, ὃς στραφεὶς οἴκοι ἀπήγγειλε πάντα. ἐλθὼν δὲ εἰς Θήβας ὁ Οἰδίπους ὕστερον εὗρε κακὸν αὐτοῖς ἐπικείμενον μέγα, τὴν Σφίγγα, ἥτις αἰνίγματα ἔλεγε καὶ τὸν μὴ ἰσχύοντα λῦσαι αὐτὰ κατήσθιε. προέκειτο δὲ τότε παρὰ τῶν Θηβαίων τῷ εὑρόντι τὸ αἴνιγμα τῆς Σφιγγὸς βραβεῖον ἡ τοῦ Λαΐου γυνὴ Ἰοκάστη δοθησομένη αὐτῷ εἰς γάμον. εἰπούσης οὖν τῆς Σφιγγὸς τὸ αἴνιγμα τὸ ‘τετράπους, δίπους τε καὶ πάλιν τρίπους‘, ὃ σημαίνει τὸν ἄνθρωπον, ἐφεῦρε τοῦτο ὁ Οἰδίπους· ἡ δὲ Σφὶγξ μανεῖσα ἀνεῖλεν ἑαυτήν. συνελθὼν οὖν ὁ Οἰδίπους τῇ ἰδίᾳ μητρὶ παῖδας ἐποίησε τέσσαρας, τὸν Πολυνείκην καὶ τὸν Ἐτεοκλῆν, τὴν Ἀντιγόνην καὶ τὴν Ἰσμήνην. ὕστερον δὲ μαθὼν τὸ ἀνόμημα ὃ ἔδρασεν ἐτύφλωσεν ἑαυτόν, τοῖς δὲ εἰρημένοις υἱοῖς αὐτοῦ τὴν βασιλείαν κατέλειψεν. ἐπεὶ δὲ οὗτοι τοῦτον ὄντα τυφλὸν ἐν οἰκίσκῳ καθεῖρξαν, κατηράσατο αὐτοὺς ὥστε διὰ ξίφους καὶ πολέμου τὴν βασιλείαν μερίσασθαι. οὗ ἕνεκα καὶ φοβούμενοι τὸ ὁμοῦ μὲν εἶναι ἐν ταῖς Θήβαις καὶ βασιλεύειν κατέλειψαν, συμπεφωνήκασι δὲ ἵνα τοῦ ἑνὸς ἐξερχομένου τῆς πόλεως καὶ ἀποδημοῦντος ἐπὶ χρόνον ἕνα ὁ ἕτερος βασιλεύοι, καὶ πάλιν τοῦ ἀποδημοῦντος εἰσερχομένου ὑποχωροίη ὁ ἕτερος, ὡς ἂν ἐκ τούτου φύγωσι τὰς ἀράς. ὁ γοῦν Πολυνείκης πρῶτος ὢν ἐκράτησεν ἐν χρόνῳ ἑνὶ τῆς βασιλείας, εἶτα ἐξῆλθε, τῷ Ἐτεοκλεῖ παραχωρήσας αὐτῆς. [45]

Th hyp3 (50) τοῦ χρόνου δὲ συμπληρωθέντος ἐπὶ τὸ βασιλεύειν ὁ Πολυνείκης καὶ αὖθις εἰς τὰς Θήβας ἐγένετο κατὰ τὸ συμπεφωνημένον· μὴ παραδεχθεὶς δὲ ὑπὸ τοῦ Ἐτεοκλέους εἰς τὸν τοῦ Ἄργους βασιλέα Ἄδραστον ἀπῆλθε, καὶ τούτου γαμβρὸς ἐπὶ θυγατρὶ γέγονεν. λαβὼν τοίνυν ἐκ τοῦ Ἄργους στρατιὰν πλείστην ἄπεισιν εἰς Θήβας κατὰ τοῦ οἰκείου ἀδελφοῦ. ἔνθα καὶ οὗτος καὶ ὁ

ἀδελφὸς αὐτοῦ ὑπ' ἀλλήλων ἐφονεύθησαν. Ἡ μὲν σκηνὴ τοῦ δράματος ἐν Θήβαις ὑπόκειται. ὁ δὲ χορὸς ἐκ Θηβαίων ἐστὶ παρθένων. ἡ δὲ ὑπόθεσις στρατιὰ Ἀργείων πολιορκοῦσα Θηβαίους τοὺς καὶ νικήσαντας καὶ θάνατος Ἐτεοκλέους καὶ Πολυνείκους. Ἐπιγέγραπται δὲ ὑπόθεσις τῶν ἑπτὰ ἐπὶ Θήβαις διὰ τὸ ἑπτὰ στρατηγοὺς φυλάσσειν τὰς πύλας τῶν Θηβῶν. εἰσὶ δὲ αὗται αἱ Θῆβαι ἑπτάπυλοι, αἱ δὲ ἐν τῇ Αἰγύπτῳ οὖσαι ἑκατοντάπυλοι. CP 1 PdSj HYPOTHESIS IV Οἰδίπους μαθὼν ὡς ἀθέσμως συνῆν τῇ μητρὶ ἐτύφλωσεν ἑαυτόν· οἱ δὲ παῖδες αὐτοῦ Ἐτεοκλῆς καὶ Πολυνείκης, θέλοντες λήθῃ παραπέμψαι τὸ τοιοῦτον μίασμα, ἐγκατακλείουσιν οἰκίσκῳ αὐτόν. [1]

Th hyp4 (t)ὁ δὲ τοῦτο μὴ φέρων ἀρᾶται αὐτοῖς διὰ σιδήρου τὴν βασιλείαν λαχεῖν. οἱ δὲ εἰς φόβον πεπτωκότες ἐντεῦθεν, μὴ τὰς ἀρὰς τελέσωσιν οἱ θεοί, ἔγνωσαν δεῖν ἔχεσθαι τῆς βασιλείας παρὰ μέρος, ἑκάτερος ἐνιαυτὸν ἄρχων. πρῶτον οὖν Ἐτεοκλῆς ἦρχεν, ἅτε καὶ πρεσβύτερος ὢν Πολυνείκους, εἰ καὶ Σοφοκλῆς (O. C. 375) νεώτερον λέγει· Πολυνείκης δὲ ὑπεχώρησε. τελεσθέντος δὲ τοῦ συγκειμένου ἐνιαυτοῦ, ἐπειδὴ Πολυνείκης ἐλθὼν ἀπῄτει τὸ σκῆπτρον, οὐ μόνον οὐκ ἔλαβεν, ἀλλὰ καὶ ἀπεπέμφθη κενὸς παρ' Ἐτεοκλέους, οὐ βουλομένου ἐκστῆναι τῆς ἀρχῆς, ἀλλ' ἐγκρατῶς ἐχομένου ταύτης. ὅθεν Πολυνείκης ἐκεῖθεν ἀπάρας εἰς Ἄργος ἔρχεται, καὶ τὴν Ἀδράστου θυγατέρα γήμας πείθει τοῦτον συνάρασθαί οἱ πρὸς τὴν τῆς ἀρχῆς ἀνάληψιν· καὶ λαβὼν παρ' αὐτοῦ συχνὴν στρατιὰν ἀφικνεῖται κατὰ Θηβαίων. ἦρχον δὲ τῆς τοιαύτης στρατιᾶς μετὰ Πολυνείκους ἑπτὰ στρατηγοί—ἕβδομος γὰρ οὗτος ἦν—, ὡς ἂν πρὸς τὰς ἑπτὰ πύλας τῶν Θηβῶν ἕκαστος ἐπαγάγῃ λόχον πολιορκοῦντα. οἱ μὲν οὖν ἄλλοι στρατηγοὶ ὑπὸ Θηβαίων ἀνῃρέθησαν ἐν τῷ πολέμῳ· Πολυνείκης δὲ καὶ Ἐτεοκλῆς μονομαχήσαντες πρὸς ἀλλήλους ἀναιροῦσιν ἀλλήλους. σημείωσαι δὲ ὡς Εὐριπίδης μὲν ἕνα τῶν ἑπτὰ τὸν Ἄδραστον λέγει, Αἰσχύλος δὲ ἕτερον τῶν ἑπτὰ Ἐτέοκλον ἀντὶ Ἀδράστου προσθείς. ἐγράφη δὲ ἡ ἱστορία αὕτη ἐξ ἀρχῆς κατὰ λεπτὸν ἐν Φοινίσσαις Εὐριπίδου. FbLcT HYPOTHESIS V Ἐβασίλευσεν ὁ Λάιος ἐν Θήβαις ἔχων γυναῖκα Ἰοκάστην. [1]

Th hyp5 (t)μὴ ποιῶν δὲ παῖδα ἠρώτησεν Ἀπόλλωνα. ὁ δ' ἀνεῖλε· 'μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ· εἰ γὰρ τεκνώσεις παῖδα, ἀποκτενεῖ ς' ὁ φύς.' ὁ δ' οἴνῳ βαρυνθεὶς καὶ ἄκων ἔσπειρεν Οἰδίπουν, ὃν ἐκθεμένου τοῦ πατρὸς διὰ φόβον ἔθρεψε Πόλυβος εὑρών. Οἰδίπους δὲ ἀκούσας οὐκ εἶναι Πολύβου, ἔρχεται εἰς Πυθώ, ὅθεν ἀκούει φονεύσειν πατέρα. ἐκκλίνει γοῦν τὴν πρὸς τὸν Πόλυβον καὶ τὴν εἰς Θήβας ἔρχεται, οὗ Λάιον συναντήσας κτείνει ἐρχόμενον εἰς Πυθὼ περὶ τοῦ ἐκτεθέντος παιδός, ὅ τι γένοιτο, ἐρωτήσοντα. παραγενόμενος οὖν εἰς Θήβας εὑρίσκει τὴν Σφιγγὸς ἐπίθεσιν· λύει τὸ αἴνιγμα· λαμβάνει τὴν μητέρα ἔπαθλον· τίκτει παῖδας Ἐτεοκλῆν καὶ Πολυνείκην, Ἀντιγόνην καὶ Ἰσμήνην· μανθάνει τὴν μητρὸς μίξιν· τυφλοῦται διὰ τοῦτο· ἀρᾶται τοῖς παισὶν ἀτιμαζόμενος σιδήρῳ τὴν ἀρχὴν διαλαχεῖν, διὸ εἷς ἐντὸς ἄρχων γίνεται Ἐτεοκλῆς, ἄλλος ἐκτὸς Πολυνείκης, μετὰ χρόνον πάλιν ἀλλάττεσθαι τάξαντες· οὐ μεθίσταται Ἐτεοκλῆς Πολυνείκῃ τῆς ἀρχῆς· φεύγει εἰς Ἄργος Πολυνείκης· οὗ λαμβάνει Ἀδράστου θυγατέρα καὶ συναγαγὼν στρατὸν εἰς Θήβας ἔρχεται ζητῶν τῆς ἀρχῆς τὸ μέρος· καὶ μονομαχήσαντες οἱ δύο κτείνονται ἄμφω. ἐπιγέγραπται τῶν ἑπτὰ ἐπὶ Θήβαις ὅτι ἑπτὰ στρατηγοὶ ἑκατέρωθεν τετάχαται. G Ga HYPOTHESIS VI Λάιος τοῦ Λαβδάκου υἱὸς ὢν ἐβασίλευσε ἐν Θήβαις γυναῖκα κεκτημένος Ἰοκάστην τὴν θυγατέρα τοῦ Μενοικέως, ᾗ συνελθεῖν καὶ τέκνα ποιῆσαι οὐκ ἐτόλμα τὰς τοῦ Πέλοπος δεδιὼς ἀράς. [1]

Th hyp6 (t)φασὶ γὰρ ὅτι τοῦ Πέλοπος υἱὸν Χρύσιππον, ὃς ἦν αὐτῷ ἐξ ἄλλης γυναικὸς καὶ οὐκ ἐκ τῆς θυγατρὸς Οἰνομάου Ἱπποδαμείας, ὁ Λάιος ἥρπασεν ἐρασθεὶς αὐτοῦ καὶ αὐτῷ συνεγένετο, καὶ πρῶτος ἐν ἀνθρώποις τὴν ἀρρενοφθορίαν ὑπέδειξε, καθώσπερ δὴ καὶ ὁ Ζεὺς ἐν θεοῖς, τὸν Γανυμήδην ἁρπάσας· ὅπερ ὁ Πέλοψ μαθὼν τὸν Λάιον κατηράσατο ἐξ οἰκείας φονευθῆναι γονῆς. ἐπεὶ οὖν ὁ Λάιος δι' ὃν εἴρηται τρόπον ἄπαις ἤδη παρήκμαζεν, εἰς τὸ τοῦ Ἀπόλλωνος

μαντεῖον ἐγένετο ἐρωτήσων εἰ δέοι τεκνώσασθαι. ἐξήνεγκε δὲ αὐτῷ τὸ χρηστήριον· ‘μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.‘ λαβὼν δὲ τὸν χρησμὸν καὶ ἀπελθὼν ἐφύλασσε μὴ συνευνᾶσθαι τῇ ἰδίᾳ γυναικί. ἐν μιᾷ δὲ τῶν ἡμερῶν τῷ οἴνῳ βαρυνθεὶς συνῆλθε τῇ γυναικὶ αὐτοῦ, ἀφ’ ἧς ἔσχε τὸν Οἰδίποδα. φοβηθεὶς δὲ τὸν χρησμὸν ἐπαγαγόντα ‘εἰ γὰρ τεκνώσεις, ἀποκτενεῖ ς’ ὁ φύσ‘, καθὼς καὶ Πέλοψ κατηράσατο, ἡνίκα ὁ Οἰδίπους ἐγεννήθη, διατορήσας τοὺς πόδας αὐτοῦ καὶ χρυσοῦς κρίκους διαπερονησάμενος ἐν Κιθαιρῶνι τοῦτον ἐξέθετο. εὑρόντες δέ τινες αὐτὸν ποιμένες καὶ ἀναλαβόντες ἀνήνεγκαν τῷ τότε βασιλεῖ Κορίνθου Πολύβῳ· ὃς λαβὼν αὐτὸν ἐπιμελείας ἠξίωσεν καὶ εἰς ἀνδρῶν ἡλικίαν ἤγαγεν. ἔπειτα δὲ Οἰδίπους παρά τινος ὑβρισθεὶς καὶ ὀνειδισθεὶς ὡς νόθος ἐστὶ καὶ οὐ γνήσιος υἱὸς τοῦ Πολύβου, ἀπῆλθεν ἐρωτήσων εἰς τὴν Πυθίαν, ἤγουν εἰς τὸ τοῦ Ἀπόλλωνος μαντεῖον, τίς τε εἴη καὶ τίνος υἱός. εἶπε δὲ αὐτῷ τὸ μαντεῖον τοιόνδε ξένον χρησμόν· ‘μητέρα σπεῖρε τε καὶ πατέρα καίνων σύ.‘ ἀκούσας δὲ τοῦ χρησμοῦ κατέλειψεν ἀπελθεῖν εἰς Κόρινθον πρὸς τὸν Πόλυβον διὰ τὰ κατὰ τὸν χρησμόν, δοκῶν τὸν χρησμὸν αὐτοῦ πατέρα λέγειν τὸν Πόλυβον καὶ τὴν αὐτοῦ γυναῖκα μητέρα, καὶ ἀπῆλθεν εἰς τὴν ἐπὶ Θήβας ὁδόν. διεπορεύετο δὲ τὴν ὁδὸν ἐκείνην καὶ Λάιος ὁ τούτου πατήρ, ἀπερχόμενος καὶ οὗτος ἐρωτήσων εἰς τὸ μαντεῖον περὶ τοῦ ἐκτεθέντος παιδός, ἤγουν τοῦ Οἰδίποδος, τί γέγονεν. ἐπειδὴ δὲ συνήντησαν ἄμφω, οἱ τοῦ Λαΐου δορυφόροι πρὸς τὸν Οἰδίποδα ‘παραχώρησον‘ λέγοντες, ‘ὦ ξένε, τῷ βασιλεῖ τῆς ὁδοῦ‘, μὴ πειθόμενος τοῖς ἡνιόχοις, πληγεὶς τῷ μύωπι παρὰ τοῦ Λαΐου ἐμάνη ἐπὶ τούτῳ καὶ κτείνει τοὺς τροχηλάτας, ἔπειτα δὲ καὶ τὸν δεσπότην, ἕνα μόνον ἀφιεὶς τῶν οἰκετῶν, ὃς οἴκοι στραφεὶς τὰ κατὰ τὸν Λαΐειον φόνον ἤγγειλεν. ἐλθὼν δὲ εἰς Θήβας ὁ Οἰδίπους ὕστερον εὗρε κακὸν αὐτοῖς ἐπικείμενον μέγα, τὴν Σφίγγα, ἥτις αἰνίγματα ἔλεγε καὶ τὸν μὴ ἰσχύοντα λῦσαι αὐτὰ κατήσθιεν. προὔκειτο δὲ τότε παρὰ τῶν Θηβαίων τῷ εὑρόντι {τότε} τὸ αἴνιγμα τῆς Σφιγγὸς βραβεῖον ἡ τοῦ Λαΐου γυνὴ Ἰοκάστη δοθησομένη αὐτῷ εἰς γάμον. εἰπούσης δὲ τῆς Σφιγγὸς τὸ αἴνιγμα τουτί, ἔλυσεν Οἰδίπους· τὸ δὲ αἴνιγμα τοιοῦτον· ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπουν οὗ μία μορφὴ καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσ’ ἐπὶ γαῖαν ἕρπετα γίνονται ἀνά τ’ αἰθέρα καὶ κατὰ πόντον. ἀλλ’ ὁπόταν πλεόνεσσιν ἐρειδόμενον ποσὶ βαίνει, ἔνθα μένος γύοισιν ἀφαυρότερον πέλει αὐτοῦ. τὴν δὲ λύσιν τοῦ αἰνίγματος οὕτω φασὶν εἰρῆσθαι παρὰ τοῦ Οἰδίποδος· κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων, φωνῆς ἡμετέρης, σὸν τέλος ἀμπλακίης. ἄνθρωπον κατέλεξας, ὃς ἡνίκα γαῖαν ἐφέρπει πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων, γηραλέος δὲ πέλων τρίτατον 〈πόδα〉 βάκτρον ἐρείδει αὐχένα φορτίζων γήραϊ καμπτόμενος.

Th hyp6 (50) μανεῖσα τοίνυν ἡ Σφὶγξ ἑαυτὴν ἀνεῖλε. συνελθὼν οὖν Οἰδίπους τῇ ἰδίᾳ μητρὶ παῖδας ἐγέννησε τέσσαρας, τὸν Πολυνείκην, τὸν Ἐτεοκλέα, τὴν Ἀντιγόνην καὶ τὴν Ἰσμήνην. ὕστερον δὲ μαθὼν τὸ ἀνόμημα ὃ ἔδρασεν ἐτύφλωσεν ἑαυτόν, τοῖς δὲ εἰρημένοις υἱοῖς αὐτοῦ τὴν βασιλείαν κατέλειψεν. ἐπεὶ δὲ τοῦτον οὗτοι τυφλὸν ὄντα ἐν οἰκίσκῳ καθεῖρξαν ὡς ἐντεῦθεν δῆθεν τὴν τύχην αὐτῶν λήθῃ παραδοῦναι, κατηράσατο αὐτοὺς ὥστε διὰ ξίφους καὶ πολέμου τὴν βασιλείαν μερίσασθαι τούτους. οὗ ἕνεκα φοβούμενοι τὸ ὁμοῦ μὲν εἶναι ἐν Θήβαις καὶ βασιλεύειν κατέλειψαν, συμπεφωνήκασι δὲ ἵνα βασιλεύῃ ὁ εἷς τοῦ ἑτέρου μετὰ τῆς πόλεως ἀποδημοῦντος στρατῷ καὶ ἐπανερχόμενον ὑποχωροίη οὗτος θατέρῳ, ὡς ἂν ἐκ τούτου φύγωσι τὰς ἀράς. ὁ γοῦν Πολυνείκης πρότερος ὢν ἐκράτησεν ἐν χρόνῳ ἑνὶ τῆς πόλεως, εἶτα τῷ Ἐτεοκλεῖ παραχωρήσας αὐτῆς ἐξῆλθε. τοῦ χρόνου δὲ παραδεδραμεκότος ἐπὶ τὸ βασιλεύειν ὁ Πολυνείκης καὶ αὖθις εἰς τὰς Θήβας ἐγένετο κατὰ τὸ συμπεφωνημένον· οὐχ ὑπεξισταμένου δὲ τοῦ Ἐτεοκλέους εἰς τὸν τοῦ Ἄργους βασιλέα Ἄδραστον πλανώμενος ἀπῆλθε, καὶ τούτῳ γαμβρὸς ἐπὶ θυγατρὶ γέγονε. λαβὼν τοίνυν ἐκ τοῦ Ἄργους στρατὸν πολὺν εἰς Θήβας ἐπάνεισι κατὰ τοῦ οἰκείου ἀδελφοῦ, καὶ ὑπ’ ἀλλήλων φονεύονται. Ξa Versus de Oedipode et eius filiis

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ζητεῖς, θεατά, τίνες οὗτοι οἱ δύο οἱ πατράδελφοι καὶ ταχύμοροι τάχα· Οἰδίποδος, φεῦ, τοῦ πανοικτίστου γόνοι. [1]

Th epigr (t) πληροῖ κατάρας πατρικὰς πεπρωμένη αἵματι κληρώσασα Λαΐου δόμον τοῖς πατραδέλφοις συγγόνοις Λαβδακίδαις, οἷς οἶκος Ἅιδης Ἀχέρων λίμνη Χάρων καὶ τὸ στυγητὸν τῆς Στυγὸς σκηπτὸν νᾶμα κτανθεῖσι καὶ κτείνασιν ἀλλήλους ξίφει. BCNaNcNdPVWXaXc Scholium de Amphione et Zetho Ἀμφίων καὶ Ζῆθος υἱοὶ καθ’ Ὅμηρον τοῦ Διός, κατὰ δὲ Ἀντιοχέα καὶ ἑτέρους χρονικοὺς τοῦ Θεοβόωντος, μητρὸς δὲ Ἀντιόπης, πρῶτοι πυργοῦσι τὰς Θήβας. [1]

Th scholium (t) φασὶ δὲ τὸν Ἀμφίονα διὰ τῆς μελῳδίας τῆς οἰκείας λύρας ἕλκειν τοὺς λίθους πρὸς τὴν οἰκοδομήν. τὸ δὲ ἀληθές, ὅτι ᾄδοντος τοῦ Ἀμφίονος ἔκτιζον οἱ λιθουργοί, ὡς ὕστερον ὁ Ἰσμηνίας κατασκαπτομένων αὐτῶν ὑπὸ Ἀλεξάνδρου θρηνωδῶς ηὔλει, ὡς ἱστορεῖ Καλλισθένης. QW XaXbYaYbΞa Ἑπτάπυλος ἡ Θήβα κατεσκευάσθη ὅτι πρὸς τὴν ἑπτάχορδον λύραν τοῦ Ἀμφίονος, ἣν ᾖδε κτιζομένης αὐτῆς, ἐτειχοδομήθη. P 2 PdΞa Προλογίζει δὲ Ἐτεοκλῆς παρασκευάζων τὸν δῆμον τῶν Θηβαίων εἰς φρουρὰν τῆς πόλεως. BCHNcSjVWXXaXcYYaYb SCHOLIA IN AESCHYLI SEPTEM ADVERSVS THEBAS ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οζ′ ὧν τελευταῖος (77)· πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίε ι. [10]

Th 1-77a F pc ἡμέτερα· + ἡ εἴσθεσις τοῦ δράματος ἐκ συστηματικῶν ἐστι περιόδων.

Th 1-77b οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οζ′ ὧν τελευταῖος (77)· πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίε ι. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνὶς εἰσιόντος τοῦ χοροῦ. T Κάδμου πολῖτα ι· ὁ Ἐτεοκλῆς προλογίζει, καὶ παρασκευάζων τὸν λαὸν ἅπαντα πρὸς φρουρὰν τῆς πόλεως φησί· ὦ Κάδμου πολῖται, ὦ Θηβαῖοι, πρέπει λέγειν τὰ καίρια καὶ τὰ ἀναγκαῖα τὸν ἄνθρωπον ἐκεῖνον ὅστις φυλάσσει καὶ φέρει καὶ ἔχει πρᾶγος καὶ πρᾶγμα καὶ ἐξουσίαν ἐν πρύμνῃ καὶ ἐν τῇ ἀρχῇ, νωμῶν καὶ κινῶν οἴακα πόλεως, τὴν τῆς πόλεως κυβέρνησιν, μὴ κοιμῶν καὶ κοιμίζων καὶ ἀναπαύων τοὺς ὀφθαλμοὺς ἐν ὕπνῳ. [5]

Th 1-3 τροπικῶς δὲ τῷ λόγῳ ἐχρήσατο ὁ ποιητής, πρύμνην μὲν τὴν ἀρχὴν ὀνομάσας τῆς πόλεως, οἴακα δὲ τὴν ταύτης κυβέρνησιν. BCDFb a HNc NdP 1 PdSjTVWXXaXcYYaYb + τὸ προοίμιον συμβουλευτικόν.

Th 1a T πρότασις.

Th 1b BT ἐκ τοῦ Ἀγήνορος ἐγεννήθησαν ὁ Κάδμος καὶ ὁ Κίλιξ καὶ 〈ἡ〉 Εὐρώπη.

Th 1c καὶ τῆς Εὐρώπης ἁρπαγείσης παρὰ τοῦ Διὸς καὶ πεμ[φθέντων τῶν ἀδελφῶν πρὸς] ἀνεύρεσιν τῆς Εὐρώπης 〈..........〉. ἐκεῖνοι δὲ μὴ εὑρόντες ἀπεδήμησαν, καὶ ὁ μὲν ἔκτισε τὰς Θήβας, ὁ δὲ τὴν λεγομένην Κιλικίαν. Y πολῖται] ὦ Θηβαῖοι. [5]

Th 1d BDI 1 NaNcP 2 PdTVXXaXcYYaYb τὰ διὰ τοῦ της μακρὰν ἔχει τὴν παραλήγουσαν πλὴν τῶν ἀπὸ ὀξυτόνων συντεθέντων ὡς ἀπὸ τοῦ κριτὴς δικαιοκρίτης.

Th 1e Ξa λείπει τὸ ἐκεῖνον.

Th 1f καίρια δὲ τὰ ἀναγκαῖα· παρακαίρια γὰρ τὰ ἄδικα. I 1 MXa χρὴ] χρὴ τὰ ἐνδεχόμενα λέγειν, τὰ πρόσφορα τῷ καιρῷ, τὰ ἀναγκαῖα· παρακαίρια δὲ τὰ ἄδικα.

Th 1g YaYb χρὴ] ἤτοι τὰ πρέποντα καὶ τὰ συμφέροντα ἐκεῖνον τὸν ἄνθρωπον δῆλον.

Th 1h AbHa χρὴ] πρέπει.

Th 1i AbBCHaT χρὴ] προσήκει.

Th 1j Ξa λέγειν] τὸν ἄνθρωπον.

Th 1k YXa λέγειν] ὑποτιθέναι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 1l PPd λέγειν] ἐκεῖνον.

Th 1m θTXaYΞa τὰ καίρια] τὰ προσήκοντα.

Th 1n BP τὰ καίρια] τὰ ἀναγκαῖα.

Th 1o BXXaXc τὰ καίρια] τὰ χρήσιμα.

Th 1p CXc τὰ καίρια] τὰ ἀληθῆ, τὰ ἐν τῷ καιρῷ τούτῳ προσήκοντα.

Th 1q BHNc τὰ καίρια] τὰ ἐνδεχόμενα καὶ τὰ πρόσφορα τῷ καιρῷ.

Th 1r PPd τὰ καίρια] τὰ ἐνδεχόμενα καὶ ἁρμόζοντα τῷ καιρῷ.

Th 1s θTXa ὅστις φυλάσσει] ὃς φύλαξ πραγμάτων ἐπιτέτραπται εἶναι ἐν τῇ βασιλικῇ ἐξουσίᾳ.

Th 2a DPPd ὅστις] ἐκεῖνον τὸν ἄνθρωπον.

Th 2b BCHPPdXaXcY ὅστις] ἤγουν ὅστις ἀρχὴν καὶ ἐξουσίαν πόλεως ἔχει.

Th 2c εἴρηται δὲ ἐκ μεταφορᾶς τοῦ ἐν τῇ νηῒ κυβερνήτου ἐν πρύμνῃ καθημένου καὶ τοὺς οἴακας ἔχοντος. θTΞa φυλάσσει] φέρει, ἔχει.

Th 2d BHPXa φυλάσσει] ἔχει.

Th 2e NcR 1 φυλάσσει] ἐπιτέτραπται.

Th 2f XaYaYb φυλάσσει] ἐπιτηρεῖ.

Th 2g BC ἔστι δὲ τὸ πρᾶγος πόλεως περίφρασις· ἀντὶ γὰρ τοῦ εἰπεῖν πόλιν οὕτως ἐπήνεγκεν.

Th 2h Fb a πρᾶγος] πρᾶγμα.

Th 2i AbBCHHaI 1 NaNbP 2 θTXXaXcY πρᾶγος] ἐξουσίαν.

Th 2j NcP 2 R 1 VYYaYb πρᾶγος] τὸ πρᾶγος πρὸς τὸ πόλεως σύναπτε.

Th 2k θ πρύμνῃ πόλεως] ἐν τῇ ἀρχῇ μεταφορικῶς.

Th 2l NaP πρύμνῃ πόλεως] ἤγουν πόλεως περιφραστικῶς.

Th 2m T πρύμνῃ] ἐξουσίᾳ.

Th 2n BCDFdHI 1 LhMXcYaYb πρύμνῃ] ἀρχῇ.

Th 2o AbDFb a HaNbNcR 1 TVXYYaYb πόλεως] συνίζησις.

Th 2p F pc + εἴρηται ἡμῖν καὶ ἐν ἄλλοις ὅτι εὕρηται ἐν τῇ ἕκτῃ τοῦ ἰάμβου χώρᾳ οὐ μόνον ἀνάπαιστος ὡς καὶ ἐνταῦθα τὸ πρύμνῃ πόλεως, ἀλλὰ καὶ χορεῖος.

Th 2q T οἴακα νωμῶ ν· κυβερνήτης ὢν τῶν τῆς πόλεως πραγμάτων.

Th 3a καλῶς ὁ ποιητὴς τὸν ἄρχοντα τῆς πόλεως ἐξισοῖ τῷ τῆς νηὸς κυβερνήτῃ· ὃν γὰρ τρόπον ὁ κυβερνήτης ἐν τῇ νηΐ, τοῦτο καὶ ἀρχηγὸς ἐν τῇ πόλει μὴ κοιμώμενος, ἐκφροντίζειν τῆς πόλεως. καὶ Ὅμηρος (Β 24)· οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρ α. CDFb a NdP 1 PdSjTVWXa YaYb σοφῶς ὁ ποιητὴς καὶ καταλλήλως τὸν ἄρχοντα τῷ κυβερνήτῃ παρεικάζει τῆς νηός· ὃ γὰρ ὁ κυβερνήτης ἐν τῇ νηΐ, τοῦτο καὶ ὁ ἄρχων ἐν τῇ πόλει. [5]

Th 3b πρὸς τὴν τροπὴν δὲ καὶ τὸ μὴ κοιμῶν ὕπνῳ τὰ βλέφαρα· ἄυπνος γάρ ἐστι ὁ κυβερνήτης. δεῖ δὲ καὶ τὸν βασιλέα μὴ παννύχιον εὕδειν κατὰ τὸν ποιητήν (Hom. Β 24). I 1 οἴακα νωμῶν] οἰακοστροφῶν. [5]

Th 3c AbΞa οἴακα] τὸν τῆς πόλεως κυβερνήτην.

Th 3d MY οἴακα] τὴν κυβέρνησιν.

Th 3e BCFb a NcVXc οἴακα] τὴν τῆς πόλεως κυβέρνησιν.

Th 3f DPPdVXaYaYb οἴακα] βασιλείαν.

Th 3g AbHaNa οἴακα] τὴν τῆς πόλεως ἐξουσίαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 3h θT νωμῶν] κινῶν.

Th 3i AbBFdHaNcPQR 1 Xa νωμῶν] ἰθύνων.

Th 3j DPPd νωμῶν] οἰκονομῶν.

Th 3k PV νωμῶν] εὐθύνων, οἰκονομῶν.

Th 3l YaYb νωμῶν] στρέφων.

Th 3m AbHa νωμῶν] κινῶν, διεξάγων.

Th 3n θT νωμῶν] κυβερνῶν.

Th 3o PT βλέφαρα] τοὺς ὀφθαλμούς.

Th 3p CNaPXcYaYb βλέφαρα] ὀφθαλμοὺς τοὺς αὐτοῦ.

Th 3q θT κοιμῶν] ἀναπαύων.

Th 3r DPdR 1 SjVXaYaYb κοιμῶν] κοιμίζων.

Th 3s AbBCFb a HaNaXcYΞa κοιμῶν] κοιμίζων καὶ ἀναπαύων.

Th 3t PT κοιμῶν] ἀναπαύων· ἀλλ' ἀεὶ φροντίζων.

Th 3u θT εἰ μὲν γὰρ εὖ πράξαιμε ν· εἰ μὲν καλῶς πράξαιμεν, τῆς εὐπραγίας ἡ αἰτία τοῦ θεοῦ· ἡ αἰτία τῆς εὐπραγίας ἐπὶ τοὺς θεοὺς ἀναφέρεται, τῆς δὲ δυσπραξίας ἐπὶ τοὺς ἄρχοντας.

Th 4a διὸ καί φησιν, εἰ δ' αὖτε καὶ πάλιν συμφορὰ καὶ δυστυχία τύχοι, ἤγουν ἐὰν δυστυχήσωμεν καὶ κακῶς πάθωμεν, ὅπερ εἴθε μὴ γένοιτο, ὁ Ἐτεοκλῆς ἄν, τουτέστιν ἐγώ, εἷς ὢν πολὺς κατὰ πόλιν ὑμνοῖτο καὶ λοιδοροῖτο καὶ ὑβρίζοιτο ὑπὸ τῶν πολιτῶν διὰ κακῶν καὶ πολυστρόφων ὕβρεων καὶ ψόγων καὶ ὀνειδισμῶν, ὧντινων τούτων ὁ Ζεὺς γένοιτο ἀλεξητήριος, ἐπώνυμος τῇ πόλει Καδμείων, ἀντὶ τοῦ οὕτως ὀνομαζόμενος ἐν Θήβαις. τοῦτο γὰρ ἔχει ἐπώνυμον ἐν Θήβαις ὁ Ζεὺς καὶ ἐκεῖσε Ζεὺς τιμᾶται ἀλεξητήριος. BCDHNcNdP 1 PdSjVW XXaXcYYaYb κατασκευή. [10]

Th 4b BT τῆς εὐπραγίας ἡ αἰτία ἐπὶ τοὺς θεούς, τῆς δὲ δυσπραγίας ἐπὶ τοὺς ἄρχοντας.

Th 4c M ἡ τῆς εὐπραγίας αἰτία ἐπὶ τοὺς θεοὺς ἀνάγεται, τῆς δὲ δυσπραγίας ἐπὶ τοὺς ἄρχοντας.

Th 4d καὶ Ὅμηρος (Δ 415 sqq.) δὲ τῷ βασιλεῖ λέγει καὶ τὸ κῦδος τῆς νίκης καὶ τὸ τῆς ἥττης πένθος ἕπεσθαι. τὸ δὲ ὑμνεῖσθαι μέση λέξις ἐστίν. I 1 ἡ εὐπραγία, ἡ εὐτυχία ἐπὶ τοὺς θεοὺς ἀναφέρεται, ἡ δὲ ἀτυχία ἐπὶ τοὺς ἄνδρας τῆς πόλεως.

Th 4e Xc εὖ πράξαιμεν] εὐτυχήσαιμεν.

Th 4f AbBCDHaPPdθTXXaXcYaYb εὖ] καλῶς.

Th 4g AbCHaV πράξαιμεν] οἱ ἄρχοντες, οἱ Θηβαῖοι.

Th 4h BHNc πράξαιμεν] μετάβασις ἀπὸ ἑνικοῦ εἰς πληθυντικόν.

Th 4i YaYb αἰτία θεοῦ] ἡ αἰτία ἔσται παρὰ τοῖς θεοῖς.

Th 4j DPdXaYaYb αἰτία θεοῦ] τρόπος εὐσέβειας.

Th 4k X αἰτία] ἀφορμή.

Th 4l NaPR 1 αἰτία] τῆς εὐτυχίας.

Th 4m θ T θεοῦ] τοῦ τῆς πόλεως ὑπερμαχοῦντος ἀεὶ δαίμονος ἔσται.

Th 4n θT αὖ] πάλιν.

Th 5a B θ αὖθ'] αὖθι, ἤγουν αὖθις, πάλιν.

Th 5b T ὃ μὴ γένοιτο] + οὕτως ἔθος ἀποτρέπεσθαι τὰ βλάσφημα.

Th 5c T ὃ] τὸ δυστυχῆσαι τὴν πόλιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 5d AbHa συμφορὰ] δυστυχία.

Th 5e BCNaPPdXaXcYaYb τύχοι] συμβῇ.

Th 5f AbDFb a HaI 3 NaPPdYaYb τύχοι] ἐπέλθοι.

Th 5g BH τύχοι] γένοιτο.

Th 5h CXa τύχοι] ἔλθοι.

Th 5i DXaYaYb τύχοι] συμβαίη.

Th 5j T Ξa μόνος, φησίν, ἐγὼ ὁ Ἐτεοκλῆς πολλάκις λοιδορίαις καὶ ὕβρεσι ἀπειρίτοις βληθήσομαι παρὰ τῶν πολιτῶν.

Th 6a XaYaYb Ἐτεοκλέης] ἐγώ.

Th 6b BCHNaPPdR 1 TXaXcY εἷς] ἀντὶ τοῦ μόνος.

Th 6c MNaP πολὺς] μέγας.

Th 6d BNbVY πολὺς] ὡς τὸ πολὺς ἦν ὑβριζόμενος καὶ πολὺς ἦν θαυμαζόμενος.

Th 6e B πολὺς] ἀντὶ καταπολύ.

Th 6f AbHaNaP πολὺς] δέον πολὺ εἰπεῖν, πολὺς εἶπε πρὸς τὸ Ἐτεοκλῆς.

Th 6g θT ὑμνοῖτ ο· εὐφήμως εἶπεν αὐτό, ὡς καὶ τὰς Ἐρινύας, ὀφείλων λέγειν δυσμενίδας, ἐν εὐφήμῳ ὀνόματί φησιν Εὐμενίδας· καὶ σεμνῶν Κορυβάντων (Eur.

Th 7a Hipp. 143), ὡς καὶ τὸ χαίρειν πολλάκις ἀντὶ τοῦ φθείρεσθαι λαμβάνεται, ἀντὶ τοῦ δυσφήμου τὸ εὔφημον. NbP 1 PdSjYaYb βουλόμενοί τινες ἀτιμάσαι αὐτὸν καὶ ὑβρίσαι, τὸ ὑμνοῖτο ἀντὶ τοῦ ἀτιμάζοιτο ἐκλαμβάνουσιν.

Th 7b ὅτι δὲ ἀληθές ἐστι τοῦτο καὶ οὐχ ὥσπερ ἐκεῖνοί φασι, μαρτυρεῖ τὸ οἰμώγμασ ι. πῶς γὰρ ἂν οἷόν τ’ ἦν ἅμα μὲν ὑβρίζειν αὐτόν, ἅμα δὲ θρήνοις τιμᾶν; ἀλλὰ ὑμνοῖτο καὶ θαυμάζοιτο ὑπὸ τῶν ἀστῶν πολλοῖς ἐπαίνοις ὡς ὑπὲρ τῆς πατρίδος κεκινδυνευκὼς καὶ θρήνων ἀξιοῖτο ἀνὰ πᾶσαν τὴν πόλιν, ἐπεὶ καὶ τὸ τοῦ προοιμίου ὄνομα οὐκ ἄλλο οὐδὲν ἢ τὸν ἔπαινον δηλοῖ· πρὸ γὰρ τῶν οἴμων καὶ τῶν ὁδῶν οἱ παλαιοὶ τοὺς ἐπαίνους ᾖδον, ὥσπερ ἐστὶ καὶ τὸ ἐγκώμιον τὸ ἐν κώμαις καὶ στενωποῖς λεγόμενον· κώμας γὰρ ἐκάλουν τοὺς στενωπούς. ἴσως δ’ ἄν τις ἐνταῦθα ἐνσταίη λέγων ὡς οὐ καιρὸν εἶχε τοιαῦθ’ ὑπὲρ αὑτοῦ πρὸς τοὺς πολίτας λέγειν Ἐτεοκλῆς· καί φαμεν ὡς οὐ παρακελευόμενος ταῦτα λέγει, ἀλλ’ εἰκάζων καὶ οἱονεὶ μαντευόμενος, ἐπεὶ καὶ εὐκτικῷ ἀλλ’ οὐ προστακτικῷ ἐχρήσατο ῥήματι. T θ δημηγορεῖ νῦν Ἐτεοκλῆς ὡς δεῖ τὸν τῆς πόλεως προϊστάμενον τοῦ συμφέροντος αὐτῆς προνοεῖσθαι ἐν καιρῷ μάλιστα βίας, καὶ τὴν αἰτίαν ἐπάγει, λέγων ὡς εἰ μὲν τοὺς πολεμίους νικήσομεν, θεὸν αἴτιον δεῖ τοῦ τοιούτου νομίζειν, εἰ δὲ τἀναντία συμβαίη, ἐμὲ πάντες αἰτιάσονται θρηνοῦντες τὴν αὐτῶν δυστυχίαν, ὡς οὐ τὰ προσήκοντα συμβουλεύσαντα.

Th 7c τὸ γὰρ ὑμνοῖ θ ’ ὑ π ’ ἀστῶν φροιμίοις πολυρρόθοις, τοῦτο λέγει ἀντὶ τοῦ λέγοιτο ἂν ὑπὸ πάντων τὸ ἐμὸν ὄνομα ἐν λόγοις ὑβριστικοῖς· τὸ γὰρ ὑμνεῖσθαι ἀεὶ ἐπὶ τοῦ ἐπαινεῖσθαι λαμβάνεται. εἰ δὲ μετὰ προσθήκης λέγοιτο οἷον ὑμνεῖται κακῶς, ἢ ὡς ἐνταῦθα, πρὸς τὴν προσθήκην ἡ φύσις τοῦ ῥήματος τρέπεται. οἱ πολλοὶ δὲ ἁπλῶς τὸν ὕμνον καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ λαμβάνουσιν. ἴσως δ’ ἄν τις καὶ ἀντὶ τοῦ ἐπαινοῖτο τὸ ὑμνοῖτο ἐνταῦθα εἴποι, ὥσπερ λέγοντος τοῦ Ἐτεοκλέους ὡς εἰ καὶ δυστυχία συμβαίη, ἀλλ’ οὖν ἐμὲ μὲν ὡς τὸ ὅσον ἐδόκει συμφέρον συμβουλεύσαντα πάντες ἂν ἐπαινοῖεν, θρηνοῖεν δὲ σφᾶς αὐτοὺς ὡς δυστυχήσαντας, καὶ νομίζοιεν ὡς οὐ παρὰ τὴν ἐμὴν συμβουλὴν τὸ κακὸν συμβεβήκει, ἀλλ’ ἁμαρτίᾳ τῆς πόλεως καὶ γνώμῃ θεοῦ. Fb a LhR 2 SbTUa ὕμνος οὐ μόνον ἐπὶ θείου ἐπαίνου ἀλλὰ καὶ ἄλλως λέγεται· Πίνδαρος οὖν τοὺς ἑαυτοῦ ἐπινικίους ὕμνος καλεῖ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 7d ὁ δὲ Αἰσχύλος ἐνταῦθα κατὰ ἀντίφρασιν τὸ κακολογεῖν ὑμνεῖν φησιν, ὥσπερ καὶ τὸ τῆς πομπῆς σεμνὸν τινὲς κοινότερον ἀντιφράζοντες ψογερῶς ποτε προφέρονται. Ξa ὁ ὕμνος παρὰ τοῖς παλαιοῖς ἐκλαμβάνετο καὶ ἐπὶ ἐπαίνου καὶ ἐπὶ ψόγου.

Th 7e B τὸ ὑμνεῖσθαι μέσον.

Th 7f M ὑμνοῖθ’] λοιδοροῖτο, διαβάλλοιτο.

Th 7g BHaPdXaYaYb ὑμνοῖθ’] λοιδοροῖτο.

Th 7h AbCDI 2 NaPR 1 XcY ὑμνοῖθ’] διαβάλλοιτο.

Th 7i HNc ὑμνοῖθ’] ὑβρίζοιτο.

Th 7j PX ὑμνοῖθ’] ἐπαινοῖτο.

Th 7k Fb a RaT ὑμνοῖθ’] ᾄδοιτο.

Th 7l θT ὑμνοῖθ’] ὑβρισθείη.

Th 7m Ξa ἀστῶν] τῶν πολιτῶν.

Th 7n AbBCHaNaNcPTVXaXcYaYb ὡς ὑπὲρ τῆς πόλεως κεκινδυνευκώς.

Th 7o FbT φροιμίοις] ὕβρεσι.

Th 7p BNc φροιμίοις] λόγοις.

Th 7q NaPPdθTXaYaYbΞa φροιμίοις] προοιμίοις.

Th 7r AbHHaNaPVYXa φροιμίοις] λοιδορίαις.

Th 7s CXcY πολυρρόθοις] λοιδόροις.

Th 7t M πολυρρόθοις] πολυστρόφοις.

Th 7u BDNbNcPPdVXa πολυρρόθοις] πολυταράχοις.

Th 7v AbHaNaPPdΞa πολυρρόθοις] ὀνειδιστικοῖς.

Th 7x NaP πολυρρόθοις] πολυστρόφοις, σκληροῖς, πολυταράχοις.

Th 7y YaYb πολυρρόθοις] ὑβριστικοῖς.

Th 7z DP πολυρρόθοις] πολυήχοις.

Th 7alpha PXaXc πολυρρόθοις] πολὺν ἦχον, ἤγουν ψόγον καὶ ἀγανάκτησιν, ἔχουσιν.

Th 7beta θ πολυρρόθοις] πολὺν ἦχον ἔχουσιν ὡς ὑπὸ πολλῶν λεγομένοις T οἰμώγμασι] ὕβρεσι.

Th 8a BCHNbPPdXcYYaYb οἰμώγμασι] θρήνοις.

Th 8b AbBHaNaRaXa οἰμώγμασι] λοιδορίαις.

Th 8c NcX οἰμώγμασι] ὀνειδίσμασι.

Th 8d DV οἰμώγμασι] θρήνοις διὰ τὰς αὐτῶν δυστυχίας.

Th 8e θT ὧν] τῶν ὕβρεων.

Th 8f AbHaNaPΞa ὧν] οἰμωγμάτων.

Th 8g AbCHaNaθTXaXcΞa ἀλεξιτήριος Ζεὺς ἐν Θήβαις τιμᾶται· φησὶν οὖν συμφώνως ἑαυτῷ τιμῷτο.

Th 8h MNc ἀλεξητήριος] ἀποσοβητής.

Th 8i AbHaNaNbPPdθTΞa ἀλεξιτήριος] οὕτω καλούμενος ἀποσοβητὴς τῶν κακῶν.

Th 8j DXaYYaYb ἀλεξητήριος] διώκτης.

Th 8k AbHaNa ἀλεξιτήριος] βοηθός.

Th 8l HT βάσις εὐκτική.

Th 8m

Eulogikon public reading copy · View original HTML at eulogikon.org

T φερώνυμος ὅ ἐστιν αὐτὸ τοῦτο ἀλεξητήριος γένοιτο ἢ ὢν ἀλεξητήριος γένοιτο Ζεὺς ὁ ἐπώνυμος ταῖς Θήβαις.

Th 9a I 1 ἐπώνυμος] ἀλεξιτήριος καθὼς ἐν Θήβαις ἐτιμᾶτο.

Th 9b BHP ἐπώνυμος] οὕτως ὀνομαζόμενος ἀλεξιτήριος.

Th 9c Fb a PPdXaYaYb ἐπώνυμος] Καδμεῖος γὰρ Ζεὺς ἐν Θήβαις ἐτιμᾶτο.

Th 9d Xc ἐπώνυμος] ὁ θεὸς ὁ Καδμεῖος.

Th 9e CSj ἐπώνυμος] ἐπειδὴ Διὸς προσηγορίαι πολλαί, καλεῖται γὰρ φίλιος ξένιος ἀλεξητήριος καὶ ἕτερα, διὰ τοῦτο εἴρηκεν ἐπώνυμο ς.

Th 9f δέον δὲ ἐπωνύμως εἰπεῖν, ἐπώνυμος εἶπε πρὸς τὸ Ζεύς. θTΞa ἐπώνυμος] + καλεῖται γὰρ σὺν τοῖς ἄλλοις ὀνόμασιν καὶ ἀλεξητήριος.

Th 9g T πόλει] ἤγουν ταῖς Θήβαις.

Th 9h T ὑμᾶς δὲ χρὴ νῦ ν· ὑμὰς δὲ χρή, καὶ τὸν ἐλλείποντα ἔτι ἡλικίας ἀκμαίας καὶ ὀξυτάτης, ἤτοι τὸν νεάζοντα, καὶ τὸν ἔξηβον χρόνῳ, ἤτοι τὸν γέροντα καὶ παρηβηκότα.

Th 10a BDHNcP 1 PdSjVWXXcYYaYb λέγει δὲ οὕτως· ἕκαστος ἡμῶν τὴν φροντίδα τῆς πόλεως ἢ ἕκαστος πρὸς τὴν ἡλικίαν βοηθεῖ τῇ πόλει.

Th 10b Ξa ἕτερον προοίμιον ὁμοίως συμβουλευτικόν.

Th 10c T ὑμᾶς] τοῦτο κατὰ ἄθροισιν καὶ μερισμόν.

Th 10d θ T ὑμᾶς] τοὺς πολίτας ἅπαντας.

Th 10e Xa Ξa χρὴ] πρέπει.

Th 10f Ab B C Ha μερισμός.

Th 10g Q Ξa τὸν ἐλλείποντ’] καὶ τὸν νέον καὶ τὸν αὔξοντα τὴν βλάστησιν τοῦ σώματος.

Th 10h I 1 M τὸν ἐλλείποντ’] τὸν νέον.

Th 10i MNaPPdYYa τὸν ἐλλείποντ’] τὸν μὴ ἐλθόντα εἰς ἄκρον ἥβης ἤτοι τὸν νέον.

Th 10j DXaXc YaYb τὸν ἐλλείποντ’] τὸν μήπω ἀκμάσαντα, ἤγουν εἰς τὸ ἄκρως τῆς ἥβης ἐλθόντα, ἤγουν τὸν νέον.

Th 10k C ἐλλείποντ’] ἐλλειπῆ ὄντα ἤγουν τὸν μήπω φθάνοντα εἰς ἡλικίαν ἀκμήν.

Th 10l AbHa ἐλλείποντ’] τὸν ἀτελῆ.

Th 10m Fb a PPdT ἐλλείποντ’] στερούμενον.

Th 10n θT τὸν ἐλλείποντ’] τὸν νεάζοντα, 〈τὸν〉 μήπω εἰς ἀκμὴν ἐλθόντα.

Th 10o Ξa ἥβης ἀκμαίας] ἡλικίας ἀκμαζούσης καὶ πρὸς μάχην ἐπιτηδείας, ἀλλ’ ἔτι μειράκιον ὄντα.

Th 11a τὸ δὲ ἔξηβον χρόνῳ ἀντὶ τοῦ γέροντα ὄντα. θTΞa ἥβης] τῆς ἡλικίας.

Th 11b AbBHaNcV ἀκμαίας] ὀξυτάτης.

Th 11c BCDNaPPdVXaXcYYaYb ἀκμαίας] τὸν νεάζοντα.

Th 11d BPXc ἀκμαίας] ἐγκαίρου.

Th 11e BFb ἀκμαίας] ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ κμῶ τὸ κόπτω.

Th 11f P 3 τὸν ἔξηβον] τὸν ἔξω ἡλικίας, τὸν γέροντα.

Th 11g M τὸν ἔξηβον] τὸν γηραιόν.

Th 11h BHNaR 1 VX τὸν ἔξηβον] τουτέστι τὸν γηραιόν, τὸν μὴ δυνάμενον κινῆσαι ὅπλα, τὸν παρηβηκότα καὶ ἔξωρον.

Th 11i

Eulogikon public reading copy · View original HTML at eulogikon.org

DPPdYaYb τὸν ἔξηβον] γηραλέον.
Th 11j DI 2 τὸν ἔξηβον] τὸν παρακμάσαντα ἤγουν τὸν γέροντα.
Th 11k CXcY τὸν ἔξηβον] τὸν γηραιόν, ἤγουν τὸν ἔξω τῆς ἡλικίας γεγονότα.
Th 11l AbHa τὸν ἔξηβον] τὸν γηραιὸν τῷ χρόνῳ καὶ ἔξω τῆς ἡλικίας ὄντα.
Th 11m NdXa τὸν ἔξηβον] τὸν γέροντα ὄντα.
Th 11n NbNcθT τὸν ἔξηβον] τὸν γεγηρακότα.
Th 11o PΞa βλάστημον] αὐξάνοντα ἀνδρῶν νῦν.
Th 12a M βλάστιμον] ἀντὶ τοῦ βλάστην ἢ βλάστησιν.
Th 12b NaPPdXaYaYb βλάστιμον] τὸν νέον, τὸν αὐξάνοντα.
Th 12c YYb βλάστημον] τὴν βλάστησιν τρέφοντα, ἤτοι τὸν μέσον τῆς ἡλικίας χρόνον.
Th 12d Xa μετὰ τοῦ καὶ νοητέον, ἵνα λέγῃ τὸν παῖδα, τὸν γέροντα καὶ τὸν ἀκμάζοντα.
Th 12e ζήτει δὲ περὶ τῆς τοῦ βλάστημον γραφῆς εἰδὼς τέως κρεῖττον εἶναι τὴν διὰ τοῦ ι κατὰ παραγωγὴν ἀπὸ τοῦ βλαστῶ. I 1 βλάστιμον] ἤτοι τὸν αὔξησιν καὶ προκοπὴν αὔξοντα καὶ βλαστάνοντα σωματικὴν ὡς ἀκμαῖον καὶ νεανικὸν εἶναι πρὸς μάχας.
Th 12f δέον δὲ εἰπεῖν καὶ τὸν ἀλδαίνοντα, ἀσυνδέτως ἐξήνεγκεν. θT + βλάστην μέ ν· οὕτω χρὴ γράφειν [καὶ τόνδε τὸν στίχον] καὶ τὸν ἑξῆς ὡς διωρθώθησαν παρ’ ἐμοῦ, ἵν’ οἰκείως ἔχωσι πρός τε τὸ μέτρον καὶ τὴν σύνταξιν.
Th 12g [οἱ γὰρ ἄλλως] γράφοντες οὐ καλῶς γράφουσιν, ἀγνοοῦντες τὰ περὶ τῶν μέτρων. T ἀλδαίνοντα] αὐξάνοντα.
Th 12h AbBDHHaNaNbNcXcYΞa ἀλδαίνοντα] αὔξοντα.
Th 12i CPPdVXaYa τοῦτο ἀδύνατον· ἔδει γὰρ εἰπεῖν τὸν ἀλδαίνοντα, νῦν δὲ πρὸς μὲν τοὺς νέους καὶ τοὺς γέροντας συνδέσμῳ ἐχρήσατο, πρὸς δὲ τοὺς νέους καὶ ἱκανοὺς μάχεσθαι οὐχ οὕτω.
Th 12j AbHa ἢ καὶ οὕτως ἡ σύνταξις· ἕκαστον καὶ πάντα ἔχοντα ὥραν καὶ φροντίδα ὑπὲρ τῆς πόλεως, ὡς καὶ καθὰ συμπρεπές τι καὶ ἁρμόδιον ὑπάρχει, καὶ τῇ πόλει ἀρήγειν καὶ βοηθεῖν καὶ τοῖς βωμοῖς τῶν ἐγχωρίων θεῶν, ὥστε μὴ ἐξαλειφθῆναι καὶ ἀφανισθῆναί ποτε τὰς τιμὰς τούτων τῶν ἐγχωρίων θεῶν, τέκνοισι καὶ ὑπὲρ τῶν τέκνων τῆς μητρὸς γῆς τῆς φιλτάτης τροφοῦ. [5]
Th 13-16 ταῦτα δὲ κατ’ ἀντίπτωσιν. P 1a οἷον καθὸ ἕκαστος δύναται βοηθεῖν.
Th 13a M ὥρα ν· φροντίδα, ἡλικίαν, ἵν’ ᾖ ὁ νοῦς οὕτως· ἕκαστον ὑμῶν ἔχοντα φροντίδα τῆς πόλεως ἢ ἕκαστον πρὸς ἡλικίαν ἑαυτοῦ βοηθεῖν τῇ πόλει ὡς πρέπον ἐστίν.
Th 13b DMNcP 1 PdSjVWYaYb ὥρα ν· φροντίδα, ἡλικίαν, ἵν’ ᾖ ὁ νοῦς οὗτος· ἕκαστον ὑμῶν ἔχοντα φροντίδα τῆς πόλεως ἢ ἕκαστον πρὸς τὴν ἑαυτοῦ ἡλικίαν βοηθεῖν τῇ πόλει.
Th 13c διὰ τοῦτο γὰρ προσέθετο τὸ ὥς τι συμπρεπές, οἷον δεόντως, ἀναλόγως, ὡς ἐγχωρεῖ. I 1 ὥραν ἔχονθ’] τὸν ἔχοντα φροντίδα τῆς πόλεως.
Th 13d YaYb ὥραν τ’ ἔχονθ’] ἤγουν τὸ μέσον τῆς ἡλικίας, τὸν νεανίσκον.
Th 13e DXa YaYb ὥραν] φροντίδα.
Th 13f AbBCHHaNaNbPQVWYaYb ὥραν] ἤγουν τὸ μέσον καὶ ἀκμαῖον τῆς ἡλικίας.
Th 13g PPd ὥραν] φροντίδα τῆς πόλεως.
Th 13h PdθTΞa ἔχονθ’] κεκτημένον.
Th 13i PPd ἕκαστον] πάντα.
Th 13j PV ἕκαστον] καθ’ ἕνα.

Th 13k CXc ἕκαστον] μειράκιον, γέροντα, νεανίαν.

Th 13l θT ὥς τι συμπρεπές] ὥσπερ τι ὠφέλιμον, χρή, ὥσπερ ἁρμόδιον.

Th 13m YaYb ὥς τι συμπρεπές] καθά ἐστιν ἁρμόδιον τῇ ἑαυτοῦ ἡλικίᾳ, ὥστε τοὺς μὲν γέροντας σὺν τοῖς μειρακίοις λιτὰς ποιεῖσθαι, τοὺς δὲ νέους μάχεσθαι.

Th 13n θT ὥς] + λίαν.

Th 13o T συμπρεπές] ἁρμόδιον.

Th 13p MPdQR 1 TXc συμπρεπές] ὠφέλιμον.

Th 13q BDHXa συμπρεπές] πρέπον.

Th 13r HaNaNbP συμπρεπές] ἁρμόζον.

Th 13s CXa πόλει] ἐνδέχεται.

Th 14a BCHNcRb ἀρήγειν] βοηθεῖν.

Th 14b CHaNaPdRaXaYaYb ἀρήγειν] + βοηθεῖν.

Th 14c δέον δὲ ἐπιφέρειν εἰπεῖν, ἀρήγειν εἶπεν. T θεῶν] εὔχεσθαι.

Th 14d CSjXcY ἐγχωρίων] τῶν ἐγκατοίκων, τῶν ἐντοπίων.

Th 14e NaYaYb ἐγχωρίων] τῶν ἐντοπίων.

Th 14f NbVΞa ἐγχωρίων] + τῶν ἐντὸς τῆς πόλεως ὄντων.

Th 14g T βωμοῖσι] ναοῖς.

Th 15a TYaYb τιμὰς] τῶν θεῶν.

Th 15b Pd τιμὰς] ἐκείνων.

Th 15c T μὴ ’ξαλειφθῆναι] ἀφανισθῆναι.

Th 15d PVYaYbΞa μὴ ’ξαλειφθῆναι] σπεύδειν.

Th 15e DP μὴ ’ξαλειφθῆναι] πεπαῦσθαι.

Th 15f θTΞa ἢ ὅτι πάντες ἐκ γῆς ἐσμεν, ἢ ὅτι φασὶν ὡς οἱ Θηβαῖοι σπαρτοί εἰσιν, ὡς τοῦ Ἄρεως τοὺς ὀδόντας τοῦ δράκοντος, ὃν ἀπέκτεινεν ὁ Κάδμος, σπείραντος τῇ Θηβαϊκῇ γῇ, καὶ ἐκ τῆς κατασπορᾶς τῶν ὀδόντων ἀναδοθῆναι τοὺς Θηβαίους.

Th 16a DWYaYb τέκνοισι γῇ τε μητρ ί· ἡ γῆ γὰρ μήτηρ τῶν Καδμείων· ἐκ τῆς γῆς γὰρ ἀνεδόθησαν οἱ Καδμεῖοι ἐκ τῆς κατασπορᾶς τῶν ὀδόντων τοῦ δράκοντος ὃν ἀπέκτεινεν ὁ Κάδμος.

Th 16b Xc τέκνοισι] κοινὸν τὸ ἀρήγει ν.

Th 16c BCHHaI 2 MPPdXXaY τέκνοισι] τοῖς τῶν θεῶν.

Th 16d DY τέκνοισι] ἤγουν βοηθεῖν τοῖς τέκνοις καὶ τῇ μητρὶ τῇ θρεψαμένῃ ὑμᾶς.

Th 16e DYaYb τέκνοισι] ἀρήγει ἀπὸ κοινοῦ.

Th 16f θT μητρὶ] οἱ Κρῆτες τὴν πατρίδα μητρίδα λέγουσι.

Th 16g I 2 φιλτάτῃ] τῇ θρεψαμένῃ.

Th 16h NaPPdV τροφῷ] γράφεται βροτῶν, τουτέστι τῇ μητρὶ τῇ φιλτάτῃ τῶν ἐν ἀνθρώποις μητέρων.

Th 16i θ τροφῷ] + τῇ πάντας τρεφούσῃ.

Th 16j T ἡ γὰρ νέους ἕρποντα ς· αὕτη γὰρ ἡ γῆ ἐθρέψατο ὑμᾶς κατοίκους πολεμικοὺς στρατιώτας ἐν εὐμενεῖ καὶ εὐτραφεῖ πέδῳ νέους ὄντας ἕρποντας.

Th 17a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κυρίως δὲ τοῦτο ἐπὶ τῶν παίδων λέγεται. BDHNcP 1 PdSjVWX XcYYaYb τὴν νηπιώδη ἡλικίαν ἀναμιμνήσκει αὐτοῖς ὅτε ἐπὶ γῆς ἐσύροντο, καὶ παραθαρρύνει αὐτοὺς ὑπεραποθνήσκειν τῆς πατρίδος.

Th 17b DP 1 PdSjW XcYaYb κατασκευὴ τῆς βάσεως.

Th 17c T ἣ] αὕτη ἡ γῆ.

Th 17d BPV ἣ] αὕτη ἡ πόλις.

Th 17e HaNaXaYaYb νέους] ὑμᾶς ὄντας.

Th 17f θTXa ἕρποντας] κυρίως ἐπὶ παίδων τὸ ἕρποντα ς.

Th 17g M ἕρποντας] ὑμᾶς.

Th 17h I 2 NaPdV ἕρποντας] βαδίζοντας.

Th 17i CHaNaXaXcY ἕρποντας] νηπιάζοντας.

Th 17j DXaYaYb ἕρποντας] + ἐπ’ αὐτὴν βαδίζοντας ἐθρέψατο εὐμενῶς δεχομένη τὸν ἐκ τῆς παιδείας ὑμῖν γενόμενον μόχθον.

Th 17k T εὐμενεῖ] εὐτραφεῖ.

Th 17l BCHHaNcVXXaXcYaYb εὐμενεῖ] ὁμαλῷ, φίλῳ.

Th 17m NaPPd εὐμενεῖ] εἰρηναίῳ.

Th 17n DFb a XaYaYb πάντα πόνον τῆς παιδικῆς ἡλικίας ὑποδεχομένη.

Th 18a MY πανδοκοῦσα καὶ προσδεχομένη ἅπασαν κακοπάθειαν τῆς παιδείας, ὅπως γένοισθε πρὸς χρέος τόδε, ἤγουν ὅπως γένοισθε πρὸς βοήθειαν αὐτῆς.

Th 18b BDHNcP 1 PdSjVWXXcYYaYb πανδοκοῦσα] ἐπιδεχομένη.

Th 18c M πανδοκοῦσα] ὑποδεχομένη.

Th 18d BDHNcPPd πανδοκοῦσα] προσδεχομένη.

Th 18e CHaNaVXXcYaYb πανδοκοῦσα] ὑπομένουσα.

Th 18f PR 1 Rb πανδοκοῦσα] ὑπομείνασα.

Th 18g CXc πανδοκοῦσα] δεχομένη.

Th 18h I 1 θTΞa παιδείας] παιδικῆς ἡλικίας.

Th 18i DPPdR 1 YaYb παιδείας] ἀνατροφῆς.

Th 18k YaYb παιδείας] παιδεύσεως.

Th 18l CθT ὅτλο ν· κακοπάθειαν.

Th 18m γίνεται δὲ ἐκ τοῦ ο στερητικοῦ μορίου καὶ τοῦ τλῶ· τὴν γὰρ κακοπάθειαν οὐδεὶς δύναται τλῆναι ὅ ἐστι καρτερῆσαι. DNbNcP 1 PdSjVWXaYaYb ὅτλο ν· κακοπάθειαν παρὰ τὸ τλῆναι πλεονασμῷ τοῦ ο ὡς ἐν τῷ ὄνυξ ἵνα μὴ εὑρεθῇ ἓν ο μονοσύλλαβον βραχυκατάληκτον.

Th 18n ἢ ἐκ τοῦ ο στερητικοῦ μορίου καὶ τοῦ τλῶ, ὃν οὐδεὶς δύναται τλῆναι. I 1 ὅτλον] κακοπάθειαν.

Th 18o BCHHaNaNcPPdQXXcYYaYb ὅτλον] πόνον.

Th 18p SjV ὅτλον] κακοπάθειαν, πόνον.

Th 18r θT ἐθρέψατ’] ἡμᾶς δηλονότι.

Th 18s WY ἐθρέψατ’] ἀνεθρέψατο.

Th 19a CHaT οἰκιστῆρας] κατοίκους.

Th 19b BCHNcPPdXcYYaYb οἰκιστῆρας] οἰκήτορας.

Th 19c

θT ἀσπιδηφόρους] πολεμικούς.

Th 19d BCHHaNaNcPXcY ἀσπιδηφόρους] ἀσπίδας φέροντας.

Th 19e YaYb ἀσπιδηφόρους] στρατιώτας.

Th 19f BP ἀσπιδηφόρους] πολεμικοὺς καὶ ἀνδρείους.

Th 19g θT ἀσπιδηφόρους] ὁπλοφόρους ἀπὸ μέρους.

Th 19h T πιστοὺς] πιστοὶ δηλονότι.

Th 20a I 1 M πιστοὺς] βεβαίους.

Th 20b BCQθTYYaYb πιστοὺς] ὥστε ἔχειν ὑμᾶς πιστούς.

Th 20c PPd ὅπως] ἵνα αὐτῇ πρὸς βοήθειαν χρησιμεύσητε.

Th 20d DPPdYaYb 〈πρὸς χρέος τόδε〉] πρὸς κίνδυνον ὑπὲρ αὐτῆς πρόθυμοι.

Th 20e M πρὸς χρέος τόδε] πρὸς τὸ ὑπερμαχεῖν εἰς βοήθειαν αὐτῆς.

Th 20f BHNc πρὸς χρέος τόδε] τὸν πόλεμον.

Th 20g I 1 πρὸς χρέος τόδε] πρὸς τὴν παροῦσαν χρείαν ἣν ἡμῶν ἔχει ἡ πόλις, ὑπὲρ τῆς αὐτῆς σωτηρίας.

Th 20h θT τόδε] ἤτοι τὸ ὑπερμαχεῖν τῆς πόλεως.

Th 20i PXXc τόδε] τὸ τοῦ πολέμου.

Th 20j Ξa + τρίτον προοίμιον ἐκ τοῦ πράγματος.

Th 21a T ἐς τόδ’ ἦμαρ] ἕως τῆς ἡμέρας ταύτης.

Th 21b PdYaYb ἐς τόδ’ ἦμαρ] μέχρι ταύτης τῆς ἡμέρας.

Th 21c CHaNaR 1 ἐς τόδ’ ἦμαρ] μέχρι τῆς σήμερον ἡμέρας.

Th 21d XXc ἐς τόδ’ ἦμαρ] μέχρι τοῦδε τοῦ ἤματος Ἀττικῶς, ὡς τὸ δεῦρο.

Th 21e B ἐς τόδ’ ἦμαρ] ἤγουν μέχρι τῆσδε τῆς ἡμέρας, ἤγουν καλῶς ἡμῖν ἐκ τύχης ἔχει τὰ πράγματα.

Th 21f PθT εὖ] καλῶς.

Th 21g PdVYaYb ῥέπε ι· ἡ μεταφορὰ ἀπὸ τῶν ἐν ζυγῷ.

Th 21h MP 1a Pd ῥέπει] ἡ μεταφορὰ ἀπὸ τοῦ ζυγοῦ.

Th 21i Fb a PT ῥέπει] ἀπὸ τῶν ζυγῶν ἡ μεταφορά.

Th 21j YaYb ῥέπει] δίδωσι.

Th 21k CP ῥέπει] νεύει.

Th 21l Fb a PPd ῥέπει] κινεῖται.

Th 21m HaNa θεὸς] ἡ τύχη.

Th 21n DHaNaPPdYaYb ἤδη] πάλαι.

Th 22a QR 1 πυργηρουμένοις] φυλασσομένοις ὑπὸ τοῦ θεοῦ.

Th 22b MNaPPdY πυργηρουμένοις] περικυκλουμένοις.

Th 22c AbCFb a HaNcP πυργηρουμένοις] ἡμῖν.

Th 22d AbDHaPR 1 XYaYb πυργηρουμένοις] φυλασσομένοις.

Th 22e CDI 2 XcYaYb πυργηρουμένοις] κυκλουμένοις.

Th 22f BH πυργηρουμένοις] ὑπὸ ταύτης, ἢ ὑπὸ θεῶν.

Th 22g DYaYb πυργηρουμένοις] ὅταν πολέμιοι πόλεις περικυκλώσωνται, τότε οἱ ἐντὸς πυργηρούμενοι λέγονται.

Th 22h I 2 πυργηρουμένοις] πολιορκουμένοις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 22i θV πυργηρουμένοις] δίκην πύργου ὑπὸ τῶν πολεμίων περικυκλουμένοις καὶ πολιορκουμένοις.

Th 22j T τὰ πλείω] ὡς ἐπὶ τὸ πλεῖστον.

Th 23a I 2 NaPPdYYaYb τὰ πλείω] εἰς ἡμᾶς δῆλον.

Th 23b AbHa πόλεμος] συμμαχία.

Th 23c HaNa ἐκ θεῶν] ὑπὸ τῶν θεῶν διεξαγόμεθα.

Th 23d XXc ἐκ θεῶν] ἤγουν ἐκ τῆς αὐτῶν βοηθείας.

Th 23e CθT κυρεῖ] τυγχάνει.

Th 23f PV κυρεῖ] ἄχρι τοῦ καιροῦ τούτου.

Th 23g DYaYb κυρεῖ] ἔχει.

Th 23h AbBHaR 1 κυρεῖ] συμβαίνει.

Th 23i Ξa νῦν δ ’ ὡς ὁ μάντις φησ ί· νῦν δὲ ὡς λέγει ὁ Τειρεσίας ὁ μάντις ὁ βοτὴρ καὶ ὁ βοσκὸς τῶν οἰωνῶν καὶ τῶν ὀρνέων—καὶ γὰρ οἰωνοσκόπος ἦν—νωμῶν καὶ κινῶν ἐν ὠσὶ καὶ φρεσὶ τοὺς μαντικοὺς ὄρνιθας, οὗτος ὁ ἐξουσιαστὴς τῶν τοιούτων βουλευμάτων—τοῦτο δέ ἐστιν ἐπανάληψις—λέγει ἐν νυκτὶ βουλεύεσθαι προσβολὴν καὶ ἔφοδον μεγάλην Ἀχαιικήν, καὶ ἐπιβουλεύσειν τῇ ἡμετέρᾳ πόλει.

Th 24-29 τὸ δὲ ἐν ὠσὶ νωμῶν καὶ φρεσὶ τοῦτο δηλοῖ, ὅτι ὁ Τειρεσίας τυφλὸς ὢν οὐκ αὐτὸς δι’ ἑαυτοῦ αὐτόπτης τῆς πτήσεως τῶν ὀρνέων ἐτύγχανεν, εἴτ’ ἐπὶ δεξιᾷ ἐστιν, εἴτ’ ἐπ’ ἀριστερᾷ, καὶ οὕτως τὰς μαντείας ἐξέφερεν, ἀλλ’ ὑπ’ ἄλλων ὑπαγορευόντων τὴν πτῆσιν τῶν ὀρνέων μανθάνων οἵα ἐστὶν ἐσκόπει, ταύτην κατὰ νοῦν διὰ τῆς ἀκοῆς παραδεχόμενος, καὶ οὕτως ἐμαντεύετο, τουτέστιν ἐξ ἀκοῆς τὰς πτήσεις διέκρινεν. BCDHNcNdP 1 PdSjVW XXaXcYYaYb καὶ μὴν ὁ Σοφοκλῆς (Ant.

Th 24a 1005) φησι· ἐγὼ δὲ δείσας ἐμπύρων ἐγευόμη ν· καὶ οὐ καινὸν ἐν τοιούτοις διαφωνεῖν τοὺς ποιητάς. τάχα δὲ τὸ πῦρ τὸ ὁρατικὸν φῶς λέγει οἷον δίχα ὄψεως· ἐξ ἀκοῆς γὰρ τὰς πτήσεις διέκρινεν οὐχ ὁρῶν ὁ Τειρεσίας. ὅτι δὲ καὶ μαντείας ἐμπύρους οἶδεν ὁ ποιητής, ἐν τῷ Προμηθεῖ (496) ἐμάθομεν. I 1 κατασκευή.

Th 24b T ἄλλοι γάρ εἰσιν οἱ διὰ πυρὸς μαντευόμενοι καὶ ἕτεροι οἱ διὰ τῶν οἰωνῶν.

Th 24c HYaYb ὁ μάντις] ὁ Τειρεσίας.

Th 24d BCHNcPPdQθTVWXcYYaYb φησὶν] λέγει.

Th 24e AbBHa οἰωνῶν βοτὴρ] οἰωνοσκόπος.

Th 24f XXcYΞa οἰωνῶν βοτὴρ] διὰ τὸ τὰς πτήσεις αὐτῶν ἀνιχνεύειν ἐν ταῖς μαντείαις.

Th 24g θ T οἰωνῶν] ὀρνέων.

Th 24h AbBCHaNcPYaYb βοτὴρ] σκοπὸς ὁ Τειρεσίας.

Th 24i MPPdR 1 βοτὴρ] ὁ βοσκός.

Th 24j AbCHaNaP βοτὴρ] ἐπιτηρητής.

Th 24k AbHaNaYaYb βοτὴρ] ποιμήν.

Th 24l BHNcPPdθV ὅρα δὲ πῶς εἶπε νωμῶν καὶ διεξάγων ὄρνιθας χρηστηρίους ἐν ὠσὶ καὶ φρεσίν, τουτέστιν ἀκούων τὴν τῶν ὀρνίθων πτῆσιν καὶ λογιζόμενος ἃ δεῖ.

Th 25a τὸ δὲ πυρὸς δίχα πρὸς τὸ σημαινόμενον εἶπε τὸ μαντευόμενος, ἵν’ ᾖ οὕτως· ὁ δι’ ὀρνίθων μαντευόμενος καὶ οὐ διὰ πυρός. AbHa τὸ ἐν ὠσὶ καὶ φρεσὶ λέγει, ἐπειδὴ τυφλὸς ὢν ἠρώτα τὴν ἑαυτοῦ θυγατέρα πῶς οἱ ὄρνιθες ἵπτανται, καὶ παρ’ αὐτῆς ἀκούων ἐλογίζετο κατὰ νοῦν καὶ τὰς μαντείας ἐποίει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 25b τὸ δὲ πυρὸς δίχα εἶπε πρὸς τὸ συναγόμενον ἀπὸ τοῦ ἐν ὠσὶ καὶ φρεσὶ νωμῶν χρηστηρίους ὄρνιθας, ἵν’ ᾖ· ὁ δι’ ὀρνίθων μαντευόμενος καὶ οὐ διὰ πυρός. θTΞa ἐν ὠσὶν] τῇ ἀκοῇ κατασκοπῶν.

Th 25c BHNc ἐν ὠσὶν] ἐν ὠτίοις.

Th 25d VYaYb ἐν ὠσὶν] τὰ ἀκουόμενα.

Th 25e YaYb ἐν ὠσὶν] ἐν ταῖς ἀκοαῖς.

Th 25f DPd νωμῶν] ὁ κινῶν.

Th 25g AbBCHHaPTVXXc νωμῶν] μαντεύων.

Th 25h CXc νωμῶν] κινῶν, συμφέρων, κρίνων.

Th 25i YaYb νωμῶν] στρέφων.

Th 25j Pd νωμῶν] καὶ μαντευόμενος.

Th 25k AbHa νωμῶν] διεξάγων.

Th 25l θTΞa φρεσὶ] διανοίᾳ.

Th 25m BHNc φρεσὶ] ἐν τῇ ψυχῇ.

Th 25n YaYb οὐκ ἐμπύροις χρώμενος.

Th 25o M πυρὸς δίχα] τυφλὸς γὰρ ἦν.

Th 25p HKNaPXc πυρὸς δίχα] λείπει τὸ συμβάλλων.

Th 25q YaYb δίχα] τῆς ὁράσεως.

Th 25r QX ἐξ ἀκοῆς γὰρ τὰς πτήσεις διέκρινε.

Th 25s οὐχ ὁρῶν ὁ Τειρεσίας ἐπέβαλλε τῇ τέχνῃ ἑτέρου ὑπαγορεύοντος, οὐκ αὐτὸς ὢν αὐτόπτης τῶν ὀρνέων. MV χρηστηρίους] μαντικούς.

Th 26a MPR 1 VXc χρηστηρίους] πρὸς χρησμοὺς ἐπιτηδείους.

Th 26b BHNcPPdYaYb χρηστηρίους] μαντευτικάς.

Th 26c AbHHaNa χρηστηρίους] τοὺς τῆς μαντικῆς ἐφόρους καὶ συντελεῖς.

Th 26d θT ἀψευδῆ] ἀσφαλεῖ.

Th 26e CDNaPPdXXc ἀψευδῆ] ἀληθεῖ.

Th 26f AbHaPTΞa ἐπανάληψις.

Th 27-29a BPPdTYYaYb σκόπει τὴν σύνταξιν· εἰπὼν γὰρ ἄνω νῦν δὲ καὶ δέον οὕτω ποιήσασθαι τὴν ἀπόδοσιν, νῦν δὲ ὡς ὁ μάντις φησί, ὑπὸ τῶν πολεμίων ἐπιβουλευόμεθα, οὕτω δέον εἰπεῖν, ὁ δὲ διὰ τὸ εἰπεῖν τινα διὰ μέσου ἐπανάληψιν ἐποίησε καὶ ἄλλως τὴν σύνταξιν ἔτρεψε.

Th 27-29b εὕρηται δὲ πολλὰ τοιαῦτα καὶ παρὰ λογοποιοῖς. θT οὗτος] ὁ Τειρεσίας.

Th 27a MNaPd οὗτος] ὁ μάντις.

Th 27b AbHaYaYb τοιῶνδε] ἀληθεστάτων.

Th 27c θT δεσπότης] ἐξουσιαστής.

Th 27d BR 1 YaYb δεσπότης] ἄρχων.

Th 27e NaP δεσπότης] κύριος ὑπάρχων.

Th 27f T μαντευμάτων] βουλευμάτων.

Th 27g BP προσβολὴν] ἔλευσιν.

Th 28a BHNc προσβολὴν] ἔφοδον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 28b BCHaKNaPPdR 1 VXcΞa προσβολὴν] παράταξιν.

Th 28c DHYaYb προσβολὴν] ἐπέλευσιν.

Th 28d CDPθTYaYb Ἀχαιίδα] Ἑλληνικήν.

Th 28e CI 2 NcPPdXcY Ἀχαιίδα] Ἀχαιικήν.

Th 28f BV Ἀχαιίδα] Ἀργείαν.

Th 28g YaYb Ἀχαιίδα] τοῦ τῶν Ἀχαιῶν στρατοῦ.

Th 28h θT Ἀχαιίδα] τὴν τῶν Ἀχαιῶν στρατιάν.

Th 28i Ξa τὸ σχῆμα ἐπανάληψις.

Th 29a BHXc νυκτηγορεῖσθαι] ἐν νυκτὶ ἀγορεύεσθαι καὶ βουλεύεσθαι.

Th 29b M νυκτηγορεῖσθαι] ἤγουν κρυφίως καὶ λαθραίως σκοπεῖν καὶ βουλεύεσθαι περὶ τοῦ πολέμου.

Th 29c I 1 νυκτηγορεῖσθαι] κατὰ νύκτα συναθροισθῆναι.

Th 29d BCHKNc νυκτηγορεῖσθαι] ἐν νυκτὶ βουλεύεσθαι.

Th 29e DHR 1 VY νυκτηγορεῖσθαι] νυκτὶ βουλεύεσθαι καὶ ἐπιβουλεύειν ἤτοι κρυφίως καὶ λάθρᾳ.

Th 29f YaYb νυκτηγορεῖσθαι] ἀντὶ τοῦ λάθρᾳ καὶ κρυφίως βουλεύεσθαι.

Th 29g PPd νυκτηγορεῖσθαι] ἐν νυκτὶ βουλεύεσθαι κατὰ τῆς πόλεως ἢ ἐν νυκτὶ ἀγείρεσθαι.

Th 29h P 2 Pd νυκτηγορεῖσθαι] καὶ τῇ νυκτὶ ἐπιβουλεύεσθαι.

Th 29i XXc νυκτηγορεῖσθαι] ἐν νυκτὶ ἀγείρεσθαι.

Th 29j θ νυκτηγορεῖσθαι] κατὰ τὴν νύκτα βουλεύεσθαι ἤγουν ἐν νυκτὶ ἀγορεύεσθαι.

Th 29k AbHaNaP 3 Ξa νυκτηγορεῖσθαι] ἐν νυκτὶ ἀγορευθῆναι καὶ βουλευθῆναι.

Th 29l T κἀπιβουλεύσειν πόλει] κατὰ τῆς πόλεως ἐπελθεῖν.

Th 29m HaNa κἀπιβουλεύσειν] + μετ’ ἐπιβουλῆς ἐπιπεσεῖν.

Th 29n T κἀπιβουλεύσειν] ἐπιτίθεσθαι.

Th 29o Ξa πόλει] τῇ ἡμετέρᾳ.

Th 29p BPY ἀλ λ ’ ἔς τ ’ ἐπάλξει ς· ἀλλὰ πάντες σὺν παντευχίᾳ καὶ σὺν πᾶσι τοῖς ὅπλοις, ἤγουν ὡπλισμένοι, ὁρμᾶσθε, σοῦσθε ὁμοίως εἰς τὰς ἐπάλξεις καὶ τοὺς προμαχῶνας τῶν πύργων καὶ ἐπὶ τὰς πύλας, καὶ ἐπὶ τοῖς σέλμασι καὶ ταῖς καθέδραις καὶ ταῖς κατασκευαῖς τῶν πύργων στάθητε, μίμνοντες δὲ καὶ καρτεροῦντες θαρσεῖτε, μηδὲ λίαν φοβεῖσθε τὸν ὅμιλον καὶ τὸ πλῆθος τῶν ἐπηλύδων, ἤγουν τῶν ἀπὸ ξένης ἐλθόντων πολεμίων. [5]

Th 30-35 εὖ καὶ καλῶς ὁ θεὸς παράσχοι ἡμῖν καὶ ἀγαθὰ πράξειεν. BCDHNcNdP 1 PdSjVWXXaXcYYaYb βάσις.

Th 30a T ἐπάλξεις] τοὺς προμαχῶνας.

Th 30b BCHHaPPdVWXcYaYbΞa ἐπάλξεις] τὰ τείχη.

Th 30c θT ἐπάλξεις καλεῖ τοὺς προμαχῶνας δι’ ὧν τις ἀλκὴν ἐμποιεῖ ἑαυτῷ.

Th 30d Ξa πύλας] ἐν γὰρ πύργοις αἱ πύλαι.

Th 30e θT πυργωμάτων] τῶν πύργων.

Th 30f BNaV πυργωμάτων] τοῦ τείχους.

Th 30g Ξa ὁρμᾶσθε] κινεῖσθε.

Th 31a YaYb σοῦσθε σὺν παντευχίᾳ] πορεύεσθε σὺν πάσῃ ὁπλίσει.

Th 31b YaYb σοῦσθε ἐπίρρημα παρακελεύσεως.

Th 31c M σοῦσθε] ὁρμᾶτε.

Th 31d BHNcR 1 σοῦσθε] κινεῖσθε.

Th 31e HaNaPSgT σοῦσθε] ὁρμᾶσθε.

Th 31f CθTVXcY σόεσθε, σοῦσθε ὅ ἐστι ὁρμᾶσθε.

Th 31g καὶ Σοφοκλῆς ἐν Αἴαντι (1414) σούσθ ω. ἐκ τοῦ τοιούτου ῥήματος καὶ ὁ λαοσσόος (N 128) καὶ τὸ παρ' Ὁμήρῳ (τ 300) σόος οἱονεὶ ζῶν καὶ κινούμενος. I 1 σοῦσθε κα(νονίζεται) σεύω τὸ ὁρμῶ καὶ ἀποσοβῶ, καὶ τὸ παθητικὸν σεύομαι, τὸ παρατατικὸν ἐσευόμην, ἐσεύου, καὶ τὸ προστακτικὸν σεύου, τὸ τρίτον σευέσθω, τὰ δεύτερα σεύεσθεν, σευέσθω, τὸ δεύτερον τῶν πληθυντικῶν σεύεσθε, καὶ ἐκβολῇ τοῦ ἑνὸς ε καὶ τροπῇ τοῦ ἑτέρου ε εἰς ο καὶ καταβιβασμῷ τοῦ τόνου σοῦσθε. [5]

Th 31h Xc σοῦσθε] σεύεσθε καὶ κατὰ συγκοπὴν σεῦσθε, καὶ τροπῇ τοῦ ε εἰς ο σοῦσθε.

Th 31i P 2 Pd τὸ σοῦσθε κατὰ τοὺς παλαιοὺς οὕτω κανονίζεται· ἔστι ῥῆμα σόω παρὰ τῷ ποιητῇ διὰ τοῦ ο μικροῦ, ἐξ οὗ καὶ ὄνομα σόος (τ 300) παρὰ τῷ αὐτῷ ποιητῇ διὰ τοῦ ο μικροῦ, οὗ σόω τὸ προστακτικὸν σοέσθω, καὶ κατὰ συναίρεσιν σούσθω, τὸ δεύτερον τῶν πληθυντικῶν σοῦσθε.

Th 31j Ξa 〈σὺν παντευχίᾳ〉 ] ὡπλισμένοι.

Th 31k M παντευχίᾳ] πανοπλίᾳ.

Th 31l NaPPdθTV πληροῦτε] γεμίζετε.

Th 31m CW πληροῦτε] γεμίζετε ἑαυτῶν τὰς ἐπάλξεις.

Th 32a θT θωρακεῖα] τὰς ἐπάλξεις τῶν τειχῶν.

Th 32b I 1 MPd θωρακεῖα] τὰ προπύργια.

Th 32c BCHI 2 XXc θωρακεῖα λέγεται τὰ τείχη διὰ τὸ τὴν πόλιν ὡς θώρακα ἔχειν αὐτά.

Th 32d CDNdP 1 VWXaYaYb θωρακεῖα δὲ τὰ τείχη λέγονται διὰ τὸ τὴν πόλιν δίκην θώρακος αὐτὰ ἐπενδιδύσκεσθαι γύρωθεν.

Th 32e P 1 PdSj θωρακεῖα] τὰ τείχη.

Th 32f HLeNcRbVXcYaYb θωρακεῖα λέγονται τὰ μεταπύργια, ἤτοι τὰ μεταξὺ τῶν πύργων.

Th 32g AbHa θωρακεῖα] τὰ μεταπύργια.

Th 32h AbHaNa θωρακεῖα τὰ τείχη τὰ δίκην θώρακος τὴν πόλιν περιέχοντα κύκλωθεν.

Th 32i T 〈σέλμασι〉 ] τοῖς ἐπιβήμασι· κατεχρήσατο δέ.

Th 32j M ἐπὶ σέλμασ ι· ἐπιβήμασι· παρεχρήσατο δὲ τῇ λέξει.

Th 32k I 1 σέλμασ ι· ταῖς καθέδραις μεταφορικῶς ἀπὸ τῶν νηῶν.

Th 32l CDNcNd P 1 PdVWXaYaYb σέλμασι] ταῖς καθέδραις.

Th 32m AbBCHI 2 NaNcSjVXcYYa σέλμασι] ἀναβάσεσι.

Th 32n HYaYb σέλμασι] στάσεσι, καθέδραις.

Th 32o θT σέλματα δὲ κυρίως ἐπὶ νηῶν.

Th 32p T σέλμα κυρίως τὸ ἑδώλιον τῆς νεώς· ἐνταῦθα δὲ τὸν ἰδιωτικῶς περίπατόν φησιν.

Th 32q Ξa ἐπ' ἐξόδοις] ἤγουν ἐπὶ ταῖς πύλαις.

Th 33a T ἐξόδοις] ταῖς διοδεύσεσι.

Th 33b CXc ἐξόδοις] ἐξελεύσεσι.

Th 33c HaNaSjV μίμνοντες] καρτεροῦντες.

Th 34a BLcNaPRb μίμνοντες] μένοντες.

Th 34b CHHaWYaYb μίμνοντες] ἐπιμένοντες.

Th 34c PV εὖ θαρσεῖτε] καλὸν θάρρος ἔχετε.

Th 34d CHa εὖ θαρσεῖτε] τολμᾶτε.

Th 34e YaYb εὖ θαρσεῖτε] θαρροῦντες καὶ ἀτρέπτως ἵστασθε.

Th 34f θT εὖ θαρσεῖτε] ἢ ἀγαθὰς ἐλπίδας ἔχετε.

Th 34g Ξa ἐπηλύδων] τῶν πολεμίων.

Th 34h M ἐπηλύδων] τῶν ξένων πολεμίων.

Th 34i BCHHaNaNc ἐπηλύδων] ἐκ τῆς ἐπὶ προθέσεως καὶ τοῦ ἐλεύθω ἐλεύσω ἐπηλύδων τῶν ἀπὸ τῶν ἐκτὸς ἐλθόντων πολεμίων.

Th 34j P 2 Pd ἐπηλύδων] τῶν πολεμίων ἐπελθόντων ὑμῖν.

Th 34k YaYb ἐπηλύδων] τῶν ξένων.

Th 34l I 2 PθTXc ταρβεῖτ’] φοβεῖσθε.

Th 35a AbBCHaNaNcPdWYa ταρβεῖτ’] δειλιᾶτε.

Th 35b VYaYb ταρβεῖτ’] ἐκπλήττεσθε καὶ φοβεῖσθε.

Th 35c θT ὅμιλος δὲ ἐτυμολογεῖται ἀπὸ τοῦ ὁμοῦ τὴν ἴλην ἔχειν.

Th 35d DNcP 1 PdSj VWYaYb ὅμιλον] τὴν πληθύν.

Th 35e BCHθYaYb ὅμιλον] τὸ πλῆθος.

Th 35f NcPPdT ὅμιλον] τὸν ὄχλον.

Th 35g HaNaVY εὖ τελεῖ θεός] καλὰ θεὸς παρέχει.

Th 35h I 1 MXXc εὖ τελεῖ θεός] εὖ καὶ καλῶς ὁ θεὸς παράσχοι ἡμῖν καὶ ἀγαθὰ πράξειεν.

Th 35i HP εὖ τελεῖ θεός] ἤγουν καλὰ ὁ θεὸς ἀεὶ ποιεῖ ὥστε καὶ τὸν ἐμὸν ὄλεθρον οὐκ ἐθελήσει.

Th 35j θT εὖ τελεῖ] παράσχοι καὶ ἀγαθὰ πράξειεν ἡμῖν.

Th 35k P εὖ] καλῶς.

Th 35l PVYaYb τελεῖ] πληροῖ.

Th 35m BCNcYaYb τελεῖ] τελέσει.

Th 35n DNaPPdY θεός] ἡ τύχη.

Th 35o YaYb σκοποὺς δὲ κἀγ ώ· καὶ ἐγώ, φησὶν ὁ ᾿Ετεοκλῆς, ἔπεμψα σκοποὺς καὶ κατοπτῆρας τοῦ στρατοῦ τῶν Ἑλλήνων, τοὺς καὶ οὕστινας πέποιθα καὶ θαρρῶ μὴ ματᾶν καὶ ματαιοπονεῖν ἐν τῇ ὁδῷ, τουτέστι μὴ μάτην ἀπελθεῖν, ἀλλὰ μαθεῖν ἅπαντα καὶ κατοπτεῦσαι τὸν στρατὸν τῶν Ἑλλήνων, καὶ ἀπὸ τούτων μαθὼν ἐγὼ οὔτι καὶ οὐδαμῶς ληφθῶ καὶ κρατηθῶ τῷ τῶν Ἑλλήνων δόλῳ. [5]

Th 36-38 τὸ δὲ μὴ παρέλκον. BDHNcP 1 PdSj VWXXcYYaYb σκοποὺς] ἐπιτηρητάς.

Th 36a CHHaTXXcYaYb σκοποὺς] κατασκόπους.

Th 36b NaNcPθTV κατοπτῆρας] ἐπιτηρητάς.

Th 36c BHNcVW κατοπτῆρας] καταπατητάς.

Th 36d CPPdSj κατοπτῆρας] περιβλέπτους τῶν πολεμίων.

Th 36e YaYb κατοπτῆρας] ἐπόπτας.

Th 36f AbHaNa κατοπτῆρας] ἐκ παραλλήλου.

Th 36g T στρατοῦ] τῶν Ἑλλήνων.

Th 36h HP στρατοῦ] τῶν πολεμίων.

Th 36i DHPdθT πέποιθα] θαρρῶ.

Th 37a BCHHaTVYaYb ἤγουν μάτην ὁρμῆσαι καὶ ἀπράκτους ἐπαναστρέψαι κ[.

Th 37b ........ ......]. I 1 μὴ ματᾶν ὁδῷ] μὴ μάτην ὁρμῆσαι.

Th 37c M μὴ ματᾶν ὁδῷ] μὴ ματαίως ἐλθεῖν.

Th 37d PdYaYb μὴ ματᾶν ὁδῷ] μὴ ματαιοπονεῖν.

Th 37e BCHaPVXXcY ματᾶν] ματαιοπραγεῖν.

Th 37f ncYaYb ματᾶν] ματαιάζειν.

Th 37g HaI 2 Na ματᾶν] ματαίως ἀνῦσαι τὴν τῆς κατασκοπείας πορείαν.

Th 37h θT ματᾶν κυρίως τὸ ματαιοπραγεῖν καὶ ἀργοὺς ἵστασθαι ἀφ’ οὗ καὶ τὸ ματάζειν παρὰ Σοφοκλεῖ (O.

Th 37i R. 891) κατὰ παραγωγήν. ποιητικὰ μὲν καὶ ἄμφω, τὸ δὲ κοινὸν ματαιάζειν. Ξa τῶνδ’] τῶν ἐπιτηρητῶν.

Th 38a YaYb τῶνδ’] τῶν κατοπτήρων.

Th 38b CH τῶνδ’] τῶν κατασκόπων.

Th 38c HaNaTY ἀκούσας] μαθών.

Th 38d BPV αἱ δύο ἀποφάσεις ἀντὶ μιᾶς.

Th 38e B sl B mg DH διὰ τῶν δύο ἀρνητικῶν ποιεῖται βεβαίαν τὴν ἀπόφασιν ὡς ἔθος τοῖς ῥήτορσιν.

Th 38f P 2 Pd μὴ] τὸ μὴ παρέλκον.

Th 38g PXcYaYb ληφθῶ] κρατηθῶ.

Th 38h BCHHaNaPθTVYaYb δόλῳ] τῶν Ἑλλήνων.

Th 38i PXc δόλῳ] τῷ τῶν πολεμίων.

Th 38j θT Ἐτεόκλεε ς , φέριστ ε· ἄγγελος ἐλθών φησι πρὸς τὸν Ἐτεοκλέα· ὦ φέριστε βασιλεῦ τῶν Καδμείων, ἥκω καὶ ἔρχομαι φέρων σοι σαφῆ καὶ φανερὰ πάντα τὰ ἐκεῖσε, καὶ αὐτὸς δ’ ἐγώ εἰμι κατάσκοπος τῶν πραγμάτων, οὐχ ὑπ’ ἄλλων ταῦτα μαθών.

Th 39a CDNdP 1 PdSjVWXaYYaYb οἱ ἀρχαῖοι ἐξ ὀνόματος τοὺς δεσπότας ἐκάλουν.

Th 39b HP 2 PdYaYb ἀρχαῖον ἔθος τὸ καλεῖν τοὺς βασιλεῖς ἐξ ὀνομάτων ὡς τὸ καλλιστέφανε.

Th 39c B φέριστε] κράτιστε.

Th 39d BFdP φέριστε] ἔνδοξε.

Th 39e HaPPdΞa φέριστε] λαμπρέ.

Th 39f CXcYaYb φέριστε] ἐνδοξότατε.

Th 39g YaYb φέριστε] ὑπέρτατε.

Th 39h θT Καδμείων] τῶν Θηβαίων.

Th 39i T ἄναξ] βασιλεῦ.

Th 39j AbCHaVYaYb ἥκω] ἦλθον.

Th 40a BCHaRaV ἥκω] ἔρχομαι.

Th 40b WXcYaYb σαφῆ] ἀληθῆ.

Th 40c BHPPdYaYb σαφῆ] φανερῶς.

Th 40d CHaNa σαφῆ] φανερά.

Th 40e PθTVYa τὸ ἐκεῖθεν καὶ τὸ στρατοῦ ἐκ παραλλήλου, μεθερμηνευτικὸν ὂν τὸ στρατοῦ τοῦ ἐκεῖθεν.

Th 40f θTΞa τἀκεῖθεν] τὰ ἀπὸ τοῦ μέρους τῶν πολεμίων.

Th 40g PPdYaYb στρατοῦ] τῶν πολεμίων.

Th 40h θT φέρων] σοί.

Th 40i HaθTYaYb αὐτὸς] ἤγουν ἐγώ.

Th 41a CHaNaPPdVYaYb κατόπτης] ἐπιτηρητής.

Th 41b BCXcYYaYb κατόπτης] θεωρός.

Th 41c HaNaPPd κατόπτης] κατάσκοπος.

Th 41d NcVY κατόπτης] θεατής.

Th 41e HPθT τῶν πραγμάτων] ἃ καθ’ ἡμῶν οἱ πολέμιοι μέλλουσιν ἐργάζεσθαι.

Th 41f θT ἄνδρες γὰρ ἑπτὰ θούριοι καὶ ὁρμητικοὶ πρὸς πόλεμον λοχαγέται καὶ στρατηγοὶ ταυροσφαγοῦντες ἐς σάκος μελάνδετον, ἤτοι τὸ μελανθὲν τῷ αἵματι, ἢ τὸ ἐκ μελαινῶν βυρσῶν κατεσκευασμένον, ἢ τὸ περιφέρειαν σιδηρᾶν ἔχον—μέλας γὰρ ὁ σίδηρος—θύοντες ἐπάνω τῶν ἀσπίδων ἐμαντεύοντο. [5]

Th 42a CDNcNdP 1 PdSjVWXaYYaYb θούριοι] ὁρμητικοί, πολεμικοί.

Th 42b BCPPdQTYaYb θούριοι] ὁρμητικοί.

Th 42c HHaNaVXc θούριοι] πολεμικοί.

Th 42d θ λοχαγέται] ἡγεμόνες.

Th 42e AbBCHHaI 2 NaNcQXcYaYb λοχαγέται] ταξιάρχαι.

Th 42f PPdR 1 λοχαγέται] στρατηγοί.

Th 42g HNaPθVYYaYb λοχαγέται] λόχων ἄρχοντες, ταξίαρχοι.

Th 42h T ταυροσφαγοῦντες] ταύρους σφάζοντες.

Th 43a CQθTVXcYaYbΞa ταυροσφαγοῦντες] θύοντες.

Th 43b NaP ἐς μελάνδε ( το ν)· τὸ μελανισθὲν τῷ αἵματι ἢ τὸ ἐκ μελαινῶν βυρσῶν περιβεβλημένον.

Th 43c οὕτως δὲ θύοντες ἐπάνω τῶν ἀσπίδων ἐμαντεύοντο. τὸ μελάνδετον δὲ καλῶς ἂν ἐπὶ ξίφους ῥηθείη, ἐπὶ δὲ σάκους παρέλκει τὸ δετον ὡς ἐπὶ τοῦ κελαινεφὲς τὸ νεφος. M τὸ μελανισθὲν τῷ αἵματι ἢ τὸ ἐκ μελαινῶν βυρσῶν περιβεβλημένον· οὕτω γὰρ θύοντες ἐπάνω τῶν ἀσπίδων ἐμαντεύοντο.

Th 43d τινὲς δέ φασι ὅτι κυρίως ἐπὶ ξίφους ῥηθείη ἤγουν σιδηρόδετον· μέλας γὰρ ὁ σίδηρος. καὶ αὐτὸς δὲ προϊὼν χαλκόδετον (160) ἐρεῖ. I 1 τὸ δὲ μελάνδετον ἐπὶ μὲν ξίφους καλῶς ῥηθείη, ἐπὶ δὲ σάκους παρέλκει τὸ δετον ὡς ἐπὶ τοῦ κελαινεφὲς τὸ νεφος.

Th 43e CDNcNdP 1 WXa YaYb μελάνδετον] μέλας ὁ σίδηρος παρὰ τὸ μειοῦν τὴν ἕλην.

Th 43f PPd μελάνδετον] μέλαν.

Th 43g HYaYb μελάνδετον] μελανθὲν τῷ αἵματι.

Th 43h NaNc μελάνδετον] τὸ ἀπὸ μέλανος σιδήρου δεδεμένον.

Th 43i CR 1 μελάνδετον] σιδηρόδετον.

Th 43j V μελάνδετον] ἤγουν διὰ σιδήρων δεδεμένην ἀσπίδα.

Th 43k θTΞa σάκος] σκουτάριον.

Th 43l NcXcYaYb σάκος ἀπὸ τοῦ Σάκοι ἔθνους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 43m W θιγγάνοντες] αὐτοχείρως σφάζοντες.

Th 44a BHNc θιγγάνοντες] ἁπτόμενοι.

Th 44b CHaPT θιγγάνοντες] προσψαύοντες.

Th 44c VYYaYb θιγγάνοντες] ψαύοντες.

Th 44d HQθT χερσὶ] ταῖς αὐτῶν.

Th 44e θTΞa φόνου] αἵματος.

Th 44f I 1 NaNcPPdTYaYb φόνου] τοῦ αἵματος ταυρείου.

Th 44g CHa Ἄρην] τὸν θεόν.

Th 45a CPPdYaYb Ἐνυὼ] τὴν πολεμικὴν θεάν.

Th 45b NdPPdYaYb Ἐνυὼ] τὴν πολεμικὴν ἠχώ.

Th 45c CXXc Ἐνυὼ] ἀπὸ τοῦ ὕω τὸ βρέχω.

Th 45d BD Ἐνυὼ ἡ μάχη ἀπὸ τῆς ἐν προθέσεως καὶ τοῦ αὔω τὸ φωνῶ, ἐν ᾗ φωναί.

Th 45e P 2 δέον εἰπεῖν καὶ Ἐνυὼ ἀσυνδέτως ἐξήνεγκεν.

Th 45f θT Ἐνυὼ] μάχην.

Th 45g HNaPQθTV φιλαίματον] φιλόψυχον.

Th 45h DY φιλαίματον] τὸν αἵμασι χαίροντα ἔφορον τοῦ φόνου θεόν.

Th 45i θTΞa Φόβον] Δεῖμος καὶ Φόβος θεράποντες Ἄρεος.

Th 45j CDNdPPdYaYb Φόβον] τὸν τοῦ Ἄρεος ὀπαδόν.

Th 45k I 1 Φόβον] εὕρηται δὲ καὶ φόνο ν.

Th 45l FFdKLhRa ὡρκωμότησαν καὶ ὅρκους ἐποίησαν εἰς τὸν Ἄρην τε καὶ εἰς τὴν Ἐνυὼ καὶ τὸν φιλαίματον Φόβον.

Th 46a Φόβος δὲ καὶ Δεῖμος θεράποντες Ἄρεος. τοῦτο ὤμοσαν, ἢ λαπάξειν καὶ κατασκάψειν τὴν πόλιν τῶν Θηβαίων ἐν βίᾳ θέντες καὶ ποιήσαντες ταύτῃ τῇ πόλει κατασκαφάς, ἢ ἀποθανεῖν ἐν ταύτῃ τῇ γῇ. NcP 1 PdSjVWYYaYb ὡρκωμότησαν] ὅρκους ἐποίησαν. [5]

Th 46b DHaPPdVYaYb ὅρκους ἐποίησαν εἰς τοῦτο ἢ κατασκάψαι τὴν πόλιν ἢ ἀποθανεῖν ἐκεῖσε.

Th 46c CNd ὡρκωμότησαν] ὤμοσαν.

Th 46d NaQPθT ἢ] ἢ πορθῆσαι τὴν ἡμετέραν πόλιν ἢ ἐνταῦθα ἀποθανεῖν.

Th 46e NcPPd YaYb ἐνταῦθα διαζευκτικὸς ὁ ἤ γράφεται· μετὰ τοῦ μὴν ὁρκωμοτικὸν ἐπιβεβαιώσεως καὶ περισπᾶται καὶ ἐπὶ ἑνὸς λέγεται ὡς ἐπὶ τὸ πλεῖστον.

Th 46f Ξa πόλει] ἡμῶν.

Th 46g T κατασκαφὰς] κατασκάψεις.

Th 46h CV κατασκαφὰς] πορθήσεις καὶ ἀφανισμούς.

Th 46i θTΞa θέντες] ποιήσαντες.

Th 47a BCHHaYaYbΞa λαπάξειν] ἐκκενώσειν ἀπὸ τοῦ λαπάθου.

Th 47b M λαπάξειν] πορθήσειν.

Th 47c BHNcV λαπάξειν] πορθήσειν, ἀφανίσειν.

Th 47d CPPd λάπαθος βοτάνη ἐκκενωτική.

Th 47e DWY λαπάξειν] καὶ πορθήσειν ἀπὸ μεταφορᾶς τῆς λαπάθου βοτάνης ἥτις ἐστὶ λίαν κενωτική.

Th 47f

Xc λαπάξειν] πορθήσειν, ἀφανίσειν ἀπὸ τῆς μεταφορᾶς τῆς λαπάθου βοτάνης ἥτις ἐστὶ φονευτική.

Th 47g YaYb λαπάξειν] κενώσειν, πορθήσειν.

Th 47h I 2 λαπάξειν] ἐκπορθήσειν.

Th 47i θT ἄστυ] τὴν πόλιν.

Th 47j PdT ἄστυ] τὸ κάστρον.

Th 47k HV Καδμείων] τῶν Θηβαίων.

Th 47l TV βίᾳ] βιαίως.

Th 47m HaI 2 Na βίᾳ] ἀνάγκῃ.

Th 47n T τήνδε] τὴν τῶν Θηβαίων.

Th 48a θ τήνδε] τὴν ἡμετέραν.

Th 48b T γῆν θανόντες] ἢ ἀποθανόντες μολύνειν τήνδε τὴν γῆν.

Th 48c X φυράσειν] μολύνειν.

Th 48d BCFdHI 2 NaNcPPdQR 1 VXcYYaYb φυράσειν] βάψειν τῷ αἵματι.

Th 48e θT φυράσειν] ἤτοι βάψειν καὶ μολύνειν.

Th 48f HaΞa φόνῳ] αἵματι.

Th 48g NaPPdQVXXcYYaΞa φόνῳ] καὶ τῷ αἵματι ὡς ἀπὸ τοῦ προηγουμένου τὸ ἑπόμενον.

Th 48h Xc μνημεῖ α· περόνας ἢ τρίχας ἤ τι τοιοῦτον.

Th 49-50a ἔθος δὲ ἦν τοὺς ἐν πολέμῳ τοῖς οἰκείοις πέμπειν σημεῖα ἢ περόνας ἢ ταινίας ἢ βοστρύχους ἤ τι τοιοῦτον. τὸ δὲ ἔστεφον ἀντὶ τοῦ ἐπλήρουν. πρὸς ἅρμα δὲ Ἀδράστου, ἐπεὶ Ἀμφιάραος αὐτοῖς ἐμαντεύσατο μόνον Ἄδραστον σωθήσεσθαι. τοῦτο δὲ ὡς ἀπὸ τῆς ἱστορίας ἔλαβεν ὅτι ἐσώθη Ἄδραστος· ἐπεὶ πόθεν ᾔδεσαν ὅτι διαφεύξεται; I 1 M μνημεῖά θ ’ αὑτῶ ν· περόνας ἢ τρίχας ἤ τι τοιοῦτον. [5]

Th 49-50b ἔθος γὰρ ἦν τοὺς ἐν πολέμῳ τοῖς οἰκείοις πέμπειν σημεῖα ἢ περόνας ἢ ταινίας ἢ βοστρύχους ἤ τι τοιοῦτον. τὸ δὲ ἔστεφον ἀντὶ τοῦ ἐπλήρουν. CNcNdP 1 PdSjVWXaYaYb μνημεῖα] εἰκονίσματα μνήμην αὐτῶν σῴζοντα.

Th 49a PPdXYaYb μνημεῖα] μνημόσυνα.

Th 49b BHaP μνημεῖα] σήματα.

Th 49c CXc μνημεῖα] ὑπομνήματα.

Th 49d PPd μνημεῖα] σημεῖα.

Th 49e HaO μνημεῖα] ἐνθυμήσεις.

Th 49f θTΞa τοῖς τεκοῦσιν] ὥστε ἄγειν.

Th 49g BCHHaNaNcPXc τοῖς τεκοῦσιν] τοῖς γονεῦσιν.

Th 49h PPdVYaYb τοῖς τεκοῦσιν] τοῖς γεννήσασιν αὐτούς.

Th 49i T ἐς δόμους] εἰς οἴκους.

Th 49j PdV ἐς δόμους] αὐτῶν.

Th 49k T τοῦτον γὰρ ἔφασκεν ὁ μάντις σωθήσεσθαι μόνον ἐκ τοῦ πολέμου.

Th 50a M πρὸς ἅρμα δὲ Ἀδράστου, ἐπεὶ Ἀμφιάραος αὐτοῖς ἐμαντεύσατο μόνον Ἄδραστον σωθήσεσθαι.

Th 50b τοῦτο δὲ ἀπὸ τῆς ἱστορίας ἔλαβεν ὅτι ἐσώθη ὁ Ἄδραστος· ἐπεὶ πόθεν ᾔδεσαν ὅτι φεύξεται; CNcNdP 1 PdSj VWXaYb μνημεῖα θ ’ αὑτῶ ν· ὁ Ἀμφιάραος, εἷς τῶν Ἀργείων ὤν, οἷα μάντις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προεῖπεν αὐτὸν μόνον τὸν Ἄδραστον καὶ τὸ αὐτοῦ ἅρμα ὑποστρέψαι ἐκ Θηβῶν, τοὺς δὲ ἄλλους ἐκεῖσε ἀπολωλέναι.

Th 50c διὰ τοῦτο γοῦν ἕκαστος τῶν Ἀργείων ἐζωγράφει ἐν τῷ ἅρματι τοῦ Ἀδράστου τὴν οἰκείαν μορφήν, ἵνα ἐὰν συμβῇ ἀπολωλέναι αὐτοὺς ἐκεῖσε, ὑποστρέψῃ δὲ ὁ Ἄδραστος μόνος μετὰ τοῦ οἰκείου ἅρματος, θεῶνται ἐν εἰκονίσμασιν ὑπό τε τῶν γονέων καὶ φίλων καὶ πολιτῶν. BCHNcNdP 1 PdSjVWXXaXcYYaYb ὁ μάντις Ἀμφιάρεως εἷς ὢν τῶν ἑπτὰ στρατηγῶν ἔφη καὶ αὐτὸν καὶ τοὺς ἄλλους πέντε ἐν Θήβαις πεσεῖν, Ἄδραστον δὲ μόνον εἰς Ἄργος ἀναχωρήσειν.

Th 50d διὰ τοῦτο ἕκαστος ἐδίδου αὐτῷ ἢ δακτύλιον ἢ ἄλλο ὅ τι εἶχεν ἀγαγεῖν εἰς Ἄργος, ἵνα οἱ σφῶν πατέρες ταῦτ’ ἔχοντες μεμνῶνται αὐτῶν. θTΞa ὁ μάντις ὁ Ἀμφιάραος 〈ἔφη〉 πάντας τοὺς στρατηγοὺς τῶν Ἀργείων ἐν Θήβαις πεσεῖν, Ἄδραστον δὲ πρὸς Ἄργος μόνον ἀναχωρῆσαι· διὰ τοῦτο ἕκαστος ἐδίδου αὐτῷ σημεῖον ἀγαγεῖν εἰς Ἄργος τοῖς γονεῦσιν αὐτῶν.

Th 50e AbHa ἅρμ’] ἔμελλε γὰρ καὶ ταῦτα σωθήσεσθαι μετ’ αὐτοῦ.

Th 50f T Ἀδράστου] οὗτος βασιλεὺς Ἀργείων οὗ γαμβρὸς ὁ Πολυνείκης.

Th 50g YaYb ἔστεφον] ἐπλήρουν.

Th 50h MP ἔστεφον] ἐζωγράφουν.

Th 50i DHXYYaYb ἔστεφον] ἐτίθουν.

Th 50j BHNc ἔστεφον] ἐζωγράφουν ἢ ἐδίδουν.

Th 50k PPd ἔστεφον] ἐποίουν.

Th 50l BCHa ἔστεφον] ἔγραφον.

Th 50m CXc ἔστεφον] περιετίθουν.

Th 50n θT δακρύοντες μὲν διὰ τὸ δύσελπι καὶ τὴν τῶν οἰκείων φαντασίαν, ἐλεεινολογίαν δέ τινα μὴ προϊέμενοι ἀποθηλύνουσαν τὴν ὁρμήν.

Th 51a I 1 λείβοντες] στάζοντες.

Th 51b BPTYaYb λείβοντες] χέοντες.

Th 51c θTV λείβοντες οἶκτο ς· οὐκ ἦν ἔλεος διὰ τῆς γλώσσης αὐτῶν προϊὼν ἐκθηλύνων τὴν ὁρμήν, ἤγουν οὐκ ἦν παρ’ αὐτοῖς φιλόψυχος λογισμός, οὐδ’ οἶκτον ζωῆς ἐν γλώσσῃ προέφερον, ἀνακόπτοντα αὐτοὺς τοῦ ἐγχειρήματος· σιδηρόφρων γὰρ καὶ ἀκαμπὴς καὶ σκληρὸς θυμὸς αὐτῶν ἔπνει ἀναπτόμενος τῇ ἀνδρείᾳ, δεδορκότων καὶ βλεπόντων αὐτῶν Ἄρην, ἤτοι φονικὸν καὶ πολεμικὸν ὁρώντων ὡς λεόντων.

Th 51-53 BCDHNcNd P 1 PdSjVWXXaXcYYaYb οἶκτος] οὐκ ἦν ἔλεος διὰ τῆς γλώττης αὐτῶν προϊὼν ἀποθηλύνων τὴν ὁρμήν.

Th 51d M οἶκτος] ἤγουν ἐλεεινὰ ῥήματα λέγοντες.

Th 51e CXcYaYb οἶκτος] οὐκ ἦν λόγος ἐλεεινὸς εἰς τὰ στόματα αὐτῶν ἵνα δειλιάσωσιν.

Th 51f I 2 οἶκτος] ἤγουν οὐκ οἶκτον ζωῆς διὰ γλώσσης προέφερον ἀνακόπτοντα αὐτοὺς τοῦ ἐγχειρήματος.

Th 51g PT οἶκτος] συμπάθεια.

Th 51h NaHa οἶκτος] ἔλεος αὐτῶν.

Th 51i θTVYa διὰ στόμα] διὰ γλώσσης αὐτῶν.

Th 51j

Eulogikon public reading copy · View original HTML at eulogikon.org

BTV ἡ διὰ οὐ μόνον ὅταν δηλοῖ αἰτίαν συντάσσεται παρὰ ποιηταῖς αἰτιατικῇ, ἀλλὰ καὶ ὅταν δηλοῖ ἐνέργειαν· οὐ γὰρ μόνον φασὶν ὅτι διὰ τῶν θεῶν πάνθ’ ἡμῖν τὰ χρηστά, ἀλλὰ καὶ διὰ τοὺς θεούς.

Th 51k εὑρήσεις δὲ καὶ προϊὼν διὰ στόμα πυριγενετᾶν χαλινῶν (206—207). οἱ πολλοὶ δὲ ἀγνοοῦντες ἀντὶ τῆς εἰς λαμβάνουσι, διὰ στόμα ἀντὶ τοῦ εἰς τὸ στόμα λέγοντες. θT σιδηρόφρων] ἀκαμπής. [5]

Th 52a BP 2 R 1 VXcY σιδηρόφρων] σκληρός.

Th 52b BCHaNaP 2 QR 1 XcYaYb σιδηρόφρων] ἀμείλικτος.

Th 52c YaYb σιδηρόφρων] στερεός.

Th 52d HXc σιδηρόφρων] ἀπηνής.

Th 52e CNc σιδηρόφρων] ἀνένδοτος.

Th 52f AbYaYb σιδηρόφρων] ἀνδρεῖος.

Th 52g AbHaNa σιδηρόφρων] σκληρὸς καὶ ἄκαμπτος.

Th 52h θT θυμὸς] αὐτῶν.

Th 52i BNaθ θυμὸς] προθυμία.

Th 52j AbHa θυμὸς] ὁρμὴ ψυχῆς αὐτῶν.

Th 52k T ἀνδρείᾳ] γενναιότητι.

Th 52l T φλέγων] ἀναπτόμενος.

Th 52m BCHHaNaNcP 2 PdR 1 YYaYb φλέγων] θερμῶς κινούμενος.

Th 52n θT φλέγων] + ἀναζωπυρούμενος.

Th 52o T ἔπνει λεόντων ὡς] + ἀνεφύσα δίκην λεόντων.

Th 53a T ἔπνει] ἐκινεῖτο.

Th 53b CNaPSj αὐτόχρημα Ἄρην βλέπων ὡς καὶ προϊών φησι (498) φόβον βλέπω ν.

Th 53c ὁ δὲ κωμικὸς πρὸς τὸ γελοιότερον μετήνεγκεν (Vesp. 455) κάρδαμον βλέπων καὶ (Equ. 631) νᾶπυ καὶ (Ran. 603) ὀρίγανον, ἐν δὲ Πλούτῳ (328) Ἄρη βλέπει ν. I 1 Ἄρην] πολεμικὸν ἢ φοβερόν.

Th 53d BHNc Ἄρην] πολεμικόν, φονικόν.

Th 53e R 1 YYaYb Ἄρην] πόλεμον.

Th 53f HaNaV δεδορκότων] βλεπόντων.

Th 53g AbBCHaPdTXcYa καὶ τῶνδε πύστι ς· μετ’ οὐ πολὺ δὲ ταῦτα γνώσῃ τῇ πείρᾳ.

Th 54a ἡ περὶ τούτων ἀκοὴ οὐ βραδέως γέγονεν· ταχὺ γὰρ ἤγγειλα. I 1 M καὶ τῶνδε πύστι ς· εἰς ἐπέκτασιν πολλοῦ καιροῦ· μετ’ οὐ πολὺ δὲ ταῦτα γνώσῃ τῇ πείρᾳ.

Th 54b ἡ περὶ τούτων γὰρ ἀκοὴ οὐ βραδέως ἠγγέλθη ἀλλὰ ταχέως. NcP 2 VYYaYb καὶ τῶνδε πύστις καὶ ἡ περὶ τούτων ἀκοὴ καὶ γνῶσις οὐ βραδύνει εἰς ἐπέκτασιν πολλοῦ χρόνου, ἤγουν οὐ βραδέως ἠγγέλθη ἀλλὰ ταχέως.

Th 54c P 1 PdSj νοητέον δὲ τοῦτο καὶ ἐπὶ τῶν Ἀργείων, ὅτι ἡ πύστις καὶ τὸ μαθεῖν τοὺς λοιποὺς τὰ δεδογμένα οὐ χρονίζει καὶ βραδύνει.

Th 54d I 1 τῶνδε] ὧν λέγω.

Th 54e AbHaPPdYaYb τῶνδε] τῶν λόγων.

Th 54f BP τῶνδε] ὧν φημι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 54g θT πύστις] ἡ γνῶσις οὐκ εἰς μακρὰν πλησιάζεται.

Th 54h M πύστις] μάθησις.

Th 54i BHOPPdXYYaYb πύστις] γνῶσις.

Th 54j CDHaNcR 1 XcYYaYb πύστις] νόησις.

Th 54k HaNa πύστις] ἀκοή.

Th 54l CθTVXc πύστις] ἐκείνων.

Th 54m T πύστις] πληροφορία.

Th 54n Ξa οὐκ ὄκνῳ χρονίζεται] οὐ βραδύνει χάριν ὄκνου.

Th 54o HaPPd οὐκ ὄκνῳ χρονίζεται] οὐχὶ βραδύνει εἰς ἐπέκτασιν πολλοῦ χρόνου.

Th 54p DYaYb οὐκ ὄκνῳ χρονίζεται] ἤγουν οὐκ ἀναβολῇ βραδύνει, ἀλλ’ ἤδη ἃ ἀκούεις γενήσεται.

Th 54q θT ὄκνῳ] ἀναβολῇ.

Th 54r I 2 R 1 V χρονίζεται] βραδύνεται.

Th 54s BCHPV χρονίζεται] ἀργεῖ.

Th 54t NaP κληρουμένους δ ’ ἔλ ( ειπο ν)· κλήρους γὰρ ποιησάμενοι πρὸς μίαν πύλην ἐδέξαντο οἱ ἑπτὰ λοχαγέται.

Th 55a M κληρουμένους δ ’ ἔλειπο ν· κατέλειψα δὲ αὐτοὺς ἐκεῖσε κλῆρον ποιουμένους, ὅπως ἕκαστος αὐτῶν ἄγοι λόχον καὶ ἐνέδραν καὶ τάξιν πολεμικὴν πρὸς πύλας, πάλῳ καὶ κλήρῳ τοῦτο λαχών.

Th 55b κλήρους γὰρ ποιησαμένων τῶν ἑπτὰ λοχαγῶν μία πύλη ἑκάστῳ ἐδόθη πρὸς φυλακήν. BCDH NcNdP 1 PdSjVWXXaXcYYaYb κληρουμένους] κλήρους ποιοῦντας. [5]

Th 55c AbHHaNaPdR 1 YaYb κληρουμένους] κλῆρον ποιουμένους.

Th 55d P 2 V κληρουμένους] κλήρους βάλλοντας.

Th 55e CNbNcθTXc ἔλιπον] κατέλιπον.

Th 55f NcY ἔλειπον] κατέλειψα.

Th 55g HYaYb ἔλειπον] ἔλαβον οἱ ἑπτὰ λοχαγέται πρὸς μίαν πύλην.

Th 55h YaYb ἔλειπον] ἀφῆκον.

Th 55i T πάλῳ] κλήρῳ.

Th 55j AbBCDHHaI 2 NaNcPPdθTVXXcYYaYb λαχὼν] κληρωσάμενος.

Th 55k AbBCHaYa λαχὼν] κληρωθείς.

Th 55l PT λαχὼν] διὰ κλήρου.

Th 55m Ξa αὐτῶν] τῶν πολεμίων.

Th 56a YaYb ἄγῃ] φέρει.

Th 56b AbHaYYa ἄγοι] κομίσοι.

Th 56c T λόχον] τάγμα.

Th 56d AbHaPd λόχον] φυλακήν, ἅρμα.

Th 56e YaYb λόχον] τὸ οἰκεῖον στράτευμα.

Th 56f CXXc λόχον] ἐνέδραν.

Th 56g NaQθ λόχον] σύνταγμα.

Th 56h T πρὸς ταῦτ’] ὁ ἄγγελος συμβουλεύων τὸν Ἐτεοκλῆν.

Th 57a X ταῦτα] ἅπερ λέγω.

Th 57b NaP ἀρίστους] ἀνδρείους.

Th 57c YaYb ἐκκρίτους] ἐκλελεγμένους.

Th 57d CHaNaPdYa ἐκκρίτους] ἐξειλεγμένους.

Th 57e θT πόλεως] συνίζησις.

Th 57f F pc ἐπ’ ἐξόδοις] ἤγουν ἐπὶ ταῖς πύλαις.

Th 58a PT ἐξόδοις] ἐξελεύσεσιν.

Th 58b AbCHaPRb τάγευσαι] τάξον.

Th 58c AbHaMNaNbPPdV τάγευσαι] τάξαι.

Th 58d BDHI 1 NcR 1 Y τάγευσαι] ἡγεμόνευσαι.

Th 58e CXXc τάγευσαι] τάξαι ταγοὺς καὶ ἡγεμόνας.

Th 58f YaYb τάγευσαι] ὡς ταγὸς καὶ ἡγεμὼν τῆς πόλεως τάξαι.

Th 58g θT τάχος] ταχέως.

Th 58h AbBCHaR 1 TXYaYb τάχος] κατὰ σπουδήν.

Th 58i HPPdYaYb ἐγγὺς] πλησίον.

Th 59a AbCHa ἐγγὺς] τῆς πόλεως.

Th 59b θT πάνοπλος] πάντη πεφραγμένος τοῖς ὅπλοις.

Th 59c YaYb πάνοπλος] πάντως πεφραγμένος.

Th 59d PPd πάνοπλος] γρ.

Th 59e πανώλεθρος στρατός, ὃς ὀλοθρευθείη. Yb πάνοπλος] ὡπλισμένος.

Th 59f AbHa χωρεῖ] ἔρχεται.

Th 60a AbCDFdHaNaY χωρεῖ] ὁρμᾷ.

Th 60b PTXcYaYb κονίει] κόνιν ἐγείρει ἀπὸ τῆς σπουδῆς.

Th 60c CXc κονίει] κόνιν ἐγείρει.

Th 60d AbBHHaNbNcθTVΞa κονίει] κόνιν ἐπεγείρει σπουδαίως πορευόμενος.

Th 60e PPdYaYb κονίει] σπεύδει.

Th 60f NcP κονίει] κονιορτὸν ἐγείρει.

Th 60g Ξa πεδία] γῆν.

Th 60h HT ἀργηστὴς] λευκός.

Th 60i AbBCDHHaI 2 MNaNbNcPPdθTVXYaYb θερμαίνεται τῶν ζῴων τὰ ἔγκατα καὶ οὕτως ἀφρὸς ἐκπτύεται.

Th 61a CNd PPdYaYb ἐκ τοῦ ἀφροῦ τοῦ φλέγματος μανωθέντος τὸν πνεύμονα γίνεσθαί φασιν· διὰ τοῦτο γὰρ καὶ τὸν ἀφρώδη ἀποπτύοντα σίελον πνευμονικὸν εἶναι τεκμαίρονται.

Th 61b Ab χραίνει] μολύνει.

Th 61c AbBCHaNa χραίνει] βάπτει.

Th 61d R 1 Yb χραίνει] καταβρέχει.

Th 61e AbHa χραίνει] βρέχει.

Th 61f θT σταλαγμοῖς] ῥανίσι.

Th 61g θT ἐκ πνευμόνων] + ἐκ τούτων γὰρ ὁ ἀφρὸς ἐξέρχεται.

Th 61h T σὺ δ ’ ὥστ ε· σὺ δ’ ὥσπερ ἀγαθὸς κυβερνήτης νεὼς φράξαι καὶ φρούρησον τὴν πόλιν, πρὶν σφοδρῶς πνεῦσαι τὰς πνοὰς τοῦ πολέμου.

Th 62-64a BCDHNcNdP 1 PdSjVWXXaXcYYaYb τροπικὸς δὲ ὁ λόγος· ὤφειλε γὰρ εἰπεῖν πνοὰς ἀνέμου, ἀλλὰ περὶ πολέμου λέγων διὰ τοῦτο καὶ τὴν τροπὴν φυλάττει, νῆα μὲν τὴν πόλιν ὀνομάζων, πνοὰς δὲ Ἄρεως τὴν σφοδρότητα τοῦ πολέμου, κῦμα δὲ χερσαῖον τὴν σύρροιαν τοῦ πλήθους τοῦ στρατοῦ τῶν ἐναντίων.

Th 62-64b CNcNdP 1 PdSjVWXaYYaYb σὺ δ ’ ὥστε ναὸς κεδνό ς· ἀσφαλής, βέβαιος, πολλὴν φρα[. [5]

Th 62a ...... κεκτη]μένος. I 1 νηὸς] πλοίου.

Th 62b YaYb κεδνὸς] ἀσφαλής, βέβαιος.

Th 62c MXXc κεδνὸς] δεξιός, ἀγαθός.

Th 62d HPPdR 1 YaYb κεδνὸς] φρόνιμος.

Th 62e PQY κεδνὸς] ἀσφαλής.

Th 62f CT κεδνὸς] συνετός.

Th 62g AbBCHHaI 1 NaNbOPθTYaYb 〈οἰακοστρόφοσ〉 ] ἀπὸ μεταφορᾶς τῶν πλοίων.

Th 62h M οἰακοστρόφος] κυβερνήτης.

Th 62i AbBCHaNaTVYa φράξαι] πρὸ τοῦ καταπνεῦσαι τὴν πόλιν σφοδρότερον.

Th 63a ἢ οὕτως· πρὶν σφοδρῶς πνεῦσαι τὰς πνοὰς τοῦ πολέμου. Nd φράξαι] φρούρησον.

Th 63b BHPXcY φράξαι] πρὶν ἔλθῃ ἡ βουλὴ τοῦ Ἄρεως.

Th 63c Xc φράξαι] φύλαξαι, ἀσφάλισαι.

Th 63d PPdYaYb φράξαι] φύλαξον, ὅπλισον.

Th 63e AbHa φράξαι] φύλαξον καὶ ἀσφάλισαι.

Th 63f θT πόλισμα] τὴν πόλιν.

Th 63g BCNaPYa 〈καταιγίσαι〉 ] καταπνεῦσαι σφοδρῶς.

Th 63h M καταιγίσαι] σφοδρῶς πνεῦσαι.

Th 63i BHHaOPQR 1 VXXcY καταιγίσαι] λέγει τὴν σφοδρότητα τοῦ πολέμου.

Th 63j YaYb καταιγίσαι] βαρέως ἐπελθεῖν.

Th 63k CI 3 P καταιγίσαι] κλυδωνίσαι.

Th 63l Pd καταιγίσαι] καταβαλεῖν καὶ ἀνατρέψαι· χρῆται δὲ δι’ ὅλου τῇ μεταφορᾷ.

Th 63m θ καταιγίσαι] + δίκην καταιγίδος κατασκῆψαι.

Th 63n T Ἄρεος] τοῦ πολέμου.

Th 64a BCTVYYa βοᾷ] ἠχεῖ.

Th 64b AbCHaPPdTVYaYb πρὸς τὸ πνεῦμα ἐπήγαγε τὸ κῦμ α· παρακεκινδυνευμένως δὲ εἶπε κῦμα χερσαῖο ν.

Th 64c MNcNdWXaYaYb εἰπὼν δὲ πνοὰς Ἄρεως ἐπιδεξίως ἐπήγαγε καὶ τὸ κῦμ α· χωρὶς γὰρ πνευμάτων κύματα οὐκ ἐγείρονται.

Th 64d NcP 1 PdSjWXaYaYb παρακεκινδυνευμένως εἶπε κῦμα χερσαῖο ν.

Th 64e εἰπὼν δὲ πνοὰς Ἄρεος ἐπήγαγε ἐπιδεξίως καὶ τὸ κῦμ α. καὶ ἀνέμῳ μὲν παρείκασε τὸν πόλεμον, κύματι δὲ τὸν ἐν τῷ πολέμῳ θροῦν. I 1 κῦμα χερσαῖον παρακεκινδυνευμένως εἶπεν.

Th 64f P 1 PdSj κῦμα] ἐπειδὴ τὸ κῦμα θαλάσσης ἐστί, διὰ τοῦτο χερσαῖον εἶπε· δηλοῖ δὲ ἐνταῦθα τὴν σφοδρὰν τοῦ στρατοῦ ῥύμην.

Th 64g θ οἰκείως ταύτας τὰς λέξεις τέθεικε πρὸς τὸ νηός, τὸ καταιγίσαι λέγω καὶ τὸ πνοὰς καὶ τὰς λοιπάς· διόλου γὰρ τῇ μεταφορᾷ ταύτῃ χρῆται.

Th 64h πνοὰς γὰρ Ἄρεος νοήσεις τὴν τοῦ πολέμου ὁρμὴν καὶ σφοδρότητα, κῦμα δὲ χερσαῖον τὴν ταραχὴν τοῦ στρατοῦ. ἐπειδὴ δὲ τὸ κῦμα θαλάσσης ἐστί, διὰ τοῦτο χερσαῖον εἶπε· δηλοῖ δὲ ἐντεῦθεν τὴν σφοδρὰν τοῦ στρατοῦ ῥύμην. T κῦμα] ὁ κλύδων. [5]

Th 64i CSj κῦμα] ἡ σύρροια τοῦ πλήθους.

Th 64j YaYb κῦμα] τὸ πλῆθος.

Th 64k HaNa κῦμα] ταραχή.

Th 64l T τουτέστι μὴ ἐκπέσῃς τοῦ δέοντος καιροῦ.

Th 65a CMNdXa καὶ τόνδε καιρὸν λαβ έ· τουτέστι μὴ ἀφήσῃς τὸν προσήκοντα καιρὸν παρελθεῖν μηδὲ τοῦ προσήκοντος ἐκπέσῃς χρόνου.

Th 65b BDHNcP 1 PdVWXXcYYaYb τόνδε] τὸν τῆς προσβολῆς ἐκείνων.

Th 65c θT ὤκιστος] ὀξύτατος ἐκ μεταφορᾶς τῶν ξιφῶν τῶν ἱσταμένων εἰς ὀξύτητα.

Th 65d BDH ὤκιστος] ταχύτατος.

Th 65e AbCHaPPdXYaYb ὤκιστος] ταχέως.

Th 65f I 2 Y ὤκιστος] ταχύς.

Th 65g R 1 Xc ὤκιστος] ταχύπτερος.

Th 65h V ὤκιστος] ταχύτατος, ἤγουν πρόλαβε ταχέως τὴν ἐκείνων ἔφοδον.

Th 65i θT λάβε] πρόλαβε.

Th 65j NaP καὶ ἐγὼ ἕξω τὰ ἐπίλοιπα ὀφθαλμὸν ἡμεροσκόπον πιστόν, τουτέστιν ἀπελθὼν αὖθις ἐκεῖσε καὶ ἕκαστα τῶν πραττομένων σκοπῶν ἀγγελῶ σοι.

Th 66-67 καλεῖ δὲ τὸν ὀφθαλμὸν ἡμεροσκόπον, ἐπειδή, ὥσπερ τοὺς κατασκόπους ἔχομεν, οὕτω καὶ τοὺς οἰκείους ὀφθαλμούς. τὸ δὲ πιστὸν λέγει, διότι ὁ ἰδών τι μᾶλλον τοῦ ἀκούσαντος ἐπίσταται, καὶ μαρτυρεῖ ἡ παροιμία (CPG II 744, 2) ὀφθαλμοὶ ὠτίων πιστότερο ι. θT κἀγὼ ἕξω ὀφθαλμὸν πιστὸν ἡμεροσκόπον καὶ ἐν σαφηνείᾳ λόγου εἰδὼς ἔσῃ ἀβλαβής. [5]

Th 66a X εἰς τὰ λοιπὰ] εἰς τὰ ἄλλα.

Th 66b BDHYa εἰς τὰ λοιπὰ] εἰς τὸ ἑξῆς.

Th 66c AbHaI 2 εἰς τὰ λοιπὰ] εἰς τὰ ἐπίλοιπα, τὰ μετὰ ταῦτα.

Th 66d PPdV ἤγουν ὅ ἐστιν ἐπίλοιπον τούτων· ἔστι δὲ ἐπίλοιπον τὸ κατασκοπῆσαι τί πράξουσιν.

Th 66e θT πιστὸν] βέβαιον.

Th 66f CθTV ἡμεροσκόπον] φύλακα ἁπλῶς.

Th 66g M ἡμεροσκόπο ν· φύλακα ἁπλῶς φησι, διότι ἀσφαλῶς φυλάξω.

Th 66h I 1 ἡμεροσκόπον] φύλακα ἡμερινόν, δι’ ὅλης τῆς ἡμέρας σκοπόν, ἐπιτηρητήν.

Th 66i YYaYb ἡμεροσκόπον] φύλακα ἡμερινόν, ἐπιτηρητὴν ἁπλῶς.

Th 66j PPd ἡμεροσκόπον] σκοποῦντα κατὰ τὴν ἡμέραν.

Th 66k AbCHa ὀφθαλμὸν ἕξω] ἀσφαλῶς φυλάξω.

Th 67a M ἕξω] λάβω.

Th 67b AbCHHaPXcYaYb ἕξω] δώσω.

Th 67c BX ἕξω] λήψομαι.

Th 67d AbCHaNaYa σαφηνείᾳ λόγου] ἤγουν ἀκριβεστάτῃ ἀγγελίᾳ τοῦ ἐμοῦ λόγου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 67e θT σαφηνείᾳ] ἀναδιδάξει, μαθήσει.

Th 67f BH σαφηνείᾳ] τῇ διδάξει.

Th 67g PPd σαφηνείᾳ· καὶ τῇ δηλώσει.

Th 67h A 2 λόγου] ἐμοῦ.

Th 67i HP εἰδὼς] γινώσκων.

Th 68a AbHaPdYaYb εἰδὼς] ἐπιστάμενος καὶ μαθών.

Th 68b A 2 τὰ τῶν θύραθεν] τὰ τῶν πολεμίων.

Th 68c AbCHaNdθTXc θύραθεν] ἔξωθεν.

Th 68d HVTYYaYb ἀβλαβὴς] ἀπήμων.

Th 68e YaYb ἀβλαβὴς] ἀζήμιος.

Th 68f AbHa ὦ Ζεῦ τε καὶ γ ῆ· ὦ Ζεῦ καὶ γῆ καὶ θεοὶ οἱ τὴν πόλιν συνέχοντες καὶ ἑδραιοῦντες, ἡ ἀρά τε τοῦ πατρὸς Οἰδίποδος, ἡ μεγάλα δυναμένη, μή μοι τὴν πόλιν πρυμνόθεν, ἤτοι ἐκ τῶν βάθρων αὐτῶν, παντελῶς ὀλεθρευθεῖσαν ἐκκόψητε δῃάλωτον καὶ ὑπὸ πολέμου κρατηθεῖσαν, Ἑλληνίδα καὶ ταύτην οὖσαν, μηδὲ τοὺς οἴκους ἡμῶν· τὴν ἐλευθέραν τε πόλιν μήποτε σχῆτε καὶ κρατήσητε ἐν ζυγοῖς δουλείας, γένεσθε δὲ ἀλκὴ καὶ βοήθεια ἡμῖν καὶ ἀποσόβημα τῶν κακῶν.

Th 69-77 κοινωφελῆ δὲ ἡμῖν τοῖς ἀνθρώποις τοῖς κατοίκοις τῆς πόλεως καὶ ὑμῖν τοῖς θεοῖς νομίζω λέγειν· ἡ γὰρ πόλις ὅταν εὐτυχῇ, τιμᾷ τοὺς θεούς. καὶ ἡμεῖς οὖν ἐὰν εὐτυχῶμεν καὶ ἐσμὲν ἀβλαβεῖς, τιμῶντες ὑμᾶς ἐσόμεθα· εἰ δὲ κακῶς πάσχομεν, βλασφημήσομεν καθ’ ὑμῶν. BCDHNcNdP 1 PdSjVWXXaXcYYaYb πολισσοῦχοι] οἱ τὴν πόλιν τὴν ἡμετέραν κατέχοντες.

Th 69a BDHYaYb πολισσοῦχοι] πολιοῦχοι ἢ οἱ τὴν ἡμετέραν πόλιν κατοικοῦντες.

Th 69b PPd πολισσοῦχοι] οἱ τὴν πόλιν φυλάσσοντες καὶ ἑδραιοῦντες.

Th 69c CY πολισσοῦχοι] οἱ τὴν πόλιν συνέχοντες.

Th 69d XV πολισσοῦχοι] οἱ ἔχοντες καὶ φυλάττοντες τὴν γῆν ταύτην.

Th 69e A 2 Ξa πολισσοῦχοι] οἱ τὴν πόλιν συνέχοντες καὶ φυλάσσοντες.

Th 69f θT ἀρά τ ε· καὶ κατάρα ἣν κατηράσατο αὐτοὺς ὁ Οἰδίπους ὁ πατὴρ αὐτῶν.

Th 70a Nd ἀρά] κατάρα.

Th 70b AbYaYb ἐρινὺς ἐρρήθη ἢ διὰ τὸ τὰς ἀρὰς ἀνύειν ἢ διὰ τὸ ἐν τῇ ἔρᾳ ναίειν ἤγουν πορεύεσθαι—φασὶν δὲ ταύτην δαιμόνιόν τι ὑπὸ γῆν ὄν—ἢ διὰ τὸ ἀπροόπτως καὶ ἀφανῶς ἐρχομένην τιμωρεῖν τοὺς ἁμαρτάνοντας.

Th 70c I 1 ἐριννὺς] φθοροποιέ.

Th 70d θT πατρὸς] ἤγουν τοῦ Οἰδίποδος.

Th 70e BHPY πατρὸς] τοῦ ἡμετέρου.

Th 70f θT 〈μεγασθενήσ〉 ] ὅτι τὰ νῦν δι’ αὐτῆς τελειοῦται.

Th 70g M μεγασθενής] ἡ μεγάλα δυναμένη.

Th 70h A 2 BHaPPdYaYb μεγασθενής] ἡ μέγα σθένουσα δι’ ἧς καὶ τὰ νῦν γίνεται.

Th 70i T πρυμνόθεν] ῥιζόθεν.

Th 71a A 2 BCHI 2 PPdR 1 θXcY πρυμνόθεν] ἐκ βάθους τῶν ἐσχάτων ῥιζῶν.

Th 71b YaYb πρυμνόθεν] ἐκ θεμελίων.

Th 71c HaNaV πρεμνόθεν] ἤγουν μετὰ τοῦ πρέμνου ὃν καλοῦσι στέλεχον.

Th 71d T πανώλεθρον] παντελῶς ἠφανισμένη.

Th 71e BDHPPdYaYb πανώλεθρον] παντελῶς ὀλεθρευθεῖσαν.

Th 71f VY ἐκθαμνίσητ ε· δίκην θάμνου ἐκριζώσητε.

Th 72a θάμνος γάρ ἐστιν εἶδος χαμαιζήλου φυτοῦ καὶ πολυκλάδου παρὰ τὸ θαμὰ ἐτυμολογούμενος. οὐ γὰρ μονοστέλεχος κατὰ τὸ δένδρον ἄνεισιν, ἀλλὰ πυκνὸς ὁ θάμνος καὶ πολυστέλεχος εὐθύς ἐστιν ἐκ ῥιζῶν. θάμνοι δὲ οὕτω ῥᾷον πυρὶ πίπτουσιν· οὐ γὰρ δήπου μεγάλα δένδρα. ἡ δὲ πτῶσις διὰ τὸν ἄνεμον καὶ διὰ τὸ πολὺ πῦρ ἐξικμάζον τὴν συνεκτικὴν τῶν λεπτῶν θάμνων ὑγρότητα. CDNcNd P 1 PdSjVWXXaYaYb ἐκθαμνίσητε] ἐκριζώσητε. [5]

Th 72b A 2 CHaMNaXcYaYbΞa ἐκθαμνίσητε] ἐκσπάσητε.

Th 72c BHI 1 OθT ἐκθαμνίσητε] ἐκκόψητε.

Th 72d DPPdR 1 VYYaYb θάμνος κυρίως τὸ φρύγανον.

Th 72e καταχρηστικῶς δὲ πᾶν χθαμαλὸν δένδρον. Nd ἐκθαμνίσητ ε· δίκην θάμνου ἐκριζώσητε.

Th 72f θάμνος δέ ἐστιν εἶδος χαμαιζήλου φυτοῦ καὶ πολυκλάδου παρὰ τὸ θαμινοὺς ἔχειν κλάδους, ἤτοι συχνούς, ἐτυμολογούμενος· οὐ γὰρ μονοστέλεχος κατὰ τὰ ἄλλα [δένδρα ἄνεισιν, ἀλλὰ] πυκνὸς τοὺς κλάδους καὶ πολυστέλεχος εὐθύς ἐστιν ἐκ ῥιζῶν. T δῃάλωτον] ὑπὸ τοῦ πολέμου κρατηθεῖσαν. [5]

Th 72g BCHVYYa δῃάλωτον] καὶ ὑπὸ τοῦ πολέμου ἁλωθεῖσαν.

Th 72h PPd δῃάλωτον] ὑπὸ πολέμου ἠφανισμένην.

Th 72i θT δῃάλωτον] ἁλωθεῖσαν ὑπὸ τῶν πολεμίων.

Th 72j A 2 Ἑλλάδος φθόγγον χέουσα ν· ἀντὶ τοῦ οὐ βάρβαρον οὖσαν, ἀλλ᾽ Ἑλληνίδα καὶ αὐτήν.

Th 72-73a I 1 MP 1 P gl PdSjVYb Ἑλλάδος φθόγγον χέουσαν] οἱ γὰρ Θηβαῖοι τὴν τῶν Ἀθηνῶν διάλεκτον ἀπεφθέγγοντο.

Th 72-73b BDH Ἑλλάδος φθόγγον χέουσαν] Ἑλληνίδα τυγχάνουσαν.

Th 72-73c YaYb Ἑλλάδος φθόγγον χέουσαν] ἤτοι Ἑλληνίδα οὖσαν.

Th 72-73d A 2 T Ἑλλάδος φθόγγον] διάλεκτον Ἑλληνικήν.

Th 72k PPd Ἑλλάδος φθόγγον] διάλεκτον ἤτοι Ἑλληνίδα οὖσαν.

Th 72l θ Ἑλλάδος] τῶν Ἑλλήνων.

Th 72m BRb φθόγγον] φωνήν, λαλιάν.

Th 73a HYaYb φθόγγον] διάλεκτον.

Th 73b NaTVX χέουσαν] ἔχουσαν.

Th 73c BCHXc χέουσαν] σκορπίζουσαν.

Th 73d HaNa χέουσαν] ἤγουν λέγουσαν.

Th 73e R 1 T δόμους] πάλιν τὸ ἐκθαμνίσητε.

Th 73f DI 2 PPdXcYaYb δόμους] τοὺς οἴκους ἡμῶν.

Th 73g TV δόμους] τῶν πολιτῶν ἢ ἡμῶν.

Th 73h θ ἐφεστίου ς· ἐχούσας ἑστίας ἤγουν ἐσχάρας εἰς θυσίαν.

Th 73i I 1 ἐφεστίους] ἐγκατοίκους.

Th 73j CP ἐφεστίους] κατοικουμένους.

Th 73k θT δὲ] τὸν δὲ πρὸς τὸ μήποτε σύναπτε.

Th 74-75 T πόλιν] λείπει τὸ ποιήσατε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 74 DHOYYaYb ζεύγλῃσι] ζυγοῖς.

Th 75a DHaNcVYaYb ζυγοῖσι] ἤτοι δουλείᾳ.

Th 75b θT δουλείοισι] δουλικοῖς.

Th 75c AbV δουλείῃσι] τῇ δουλείᾳ περιφραστικῶς.

Th 75d A 2 Ξa μήποτε σχέθει ν· τὸ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ, ἀντὶ τοῦ μήποτε σχῆτε ἐν ζυγοῖς τοῖς δουλείοις τὴν ἐλευθέραν πόλιν.

Th 75e NcP 1 Pd SjVYaYb 〈μήποτε σχέθειν〉] μὴ ὑπεξελθεῖν ζυγὸν δουλείας.

Th 75f M μήποτε σχέθειν] κρατήσητε.

Th 75g BXc μήποτε σχέθειν] κρατηθῆναι θελήσητε.

Th 75h PPdR 1 μήποτε σχέθειν] ἐθελήσητε.

Th 75i θT σχέθειν] κρατηθῆναι.

Th 75j CDHHaI 2 NaNbθTVYaYb σχέθειν] ὑπεῖξαι.

Th 75k A 2 Ξa ἀλκὴ] βοήθεια.

Th 76a BCI 2 PdVXc ἀλκὴ] ἀποσόβησις τῶν ἐναντίων.

Th 76b A 2 YaYb ἀλκὴ] δύναμις καὶ βοήθεια.

Th 76c θT ξυνὰ] κοινωφελῆ καὶ ὑμῖν καὶ ἡμῖν νομίζω λέγειν.

Th 76d I 1 M ξυνὰ] κοινωφελῆ.

Th 76e BCDPPdXcYaYb ξυνὰ] ὑπολαμβάνω ξυνὰ λέγειν ἤτοι ἡμῶν καὶ ὑμῶν τῶν θεῶν.

Th 76f X ξυνὰ] κοινά.

Th 76g FdHHaNaR 1 TV ξυνὰ] ἡμῖν καὶ ὑμῖν.

Th 76h θT ἐλπίζω] νομίζω.

Th 76i A 2 εἰ γὰρ εὐτυχῶς ἔχει ἡ πόλις, καὶ ὑμεῖς ἀπολαύοιτε ἂν τῶν θυσιῶν, εἰ δὲ κακῶς πράσσει, τοὐναντίον· οὐδεὶς γὰρ ὑμᾶς τιμήσει διὰ τῶν θυσιῶν.

Th 77a I 1 εὖ πράσσουσα] εὐτυχοῦσα.

Th 77b BCHaPPdSjYaYb εὖ πράσσουσα] εὐπραγοῦσα.

Th 77c A 2 P εὖ πράσσουσα] καλῶς ἔχουσα.

Th 77d TV δαίμονας] τοὺς θεούς.

Th 77e CNaTVYaYb τίει] τιμᾷ.

Th 77f A 2 BCHHaI 2 NaPPdθTVXXcYaYb θρεῦμαι φοβερ ά· ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ριδ′ ὧν τὰ μέν ἐστι χοριαμβικά, τὰ δὲ εἰ βούλει καὶ ἀντισπαστικὰ πενθημιμερῆ καὶ ἑφθημιμερῆ καὶ ἡμιόλια καὶ δίμετρα ἀκατάληκτα καὶ τρίμετρα βραχυκατάληκτα ὧν τελευταῖον (180)· μνήστορες ἐστέ μο ι.

Th 78-180 οὕτω δὲ χρὴ μετρηθῆναι μᾶλλον ἵν’ εἴη κατ’ ἄλληλα τὰ κῶλα, ὡς καὶ τὰ τῶν ἄλλων χορῶν. F pc στροφὴ κώλων ξζ′. [5]

Th 78-150a T ἡμέτερον· + θρεῦμαι φοβερ ά· τὰ παρόντα εἴδη ἑτέρως εἰσὶν ἐσχηματισμένα.

Th 78-150b τὰ μὲν γάρ εἰσι μονοστροφικὰ καὶ μετρικὰ ἄτακτα καὶ συστηματικὰ ἐξ ἀνομοίων κατὰ περιορισμοὺς ἀνίσους, τὰ δὲ κατὰ σχέσιν. εἰσὶ δὲ κατὰ σχέσιν δύο στροφῶν. τοῦ τοιούτου ἐστὶ σχήματος καὶ ἐν Ἀγαμέμνονι (40—42) ὀνομαζομένῳ δράματι τοῦ παρόντος ποιητοῦ τὸ δέκατον μὲν ἔτος τό δ ’ ἐπεὶ Πριάμου μέγας ἀντίδικος Μενέλαος ἄναξ καὶ τὸ Τελαμώνιε παῖ τῆς ἀμφιρύτου Σαλαμῖνος ἐν Αἴαντι (134—135) Σοφοκλέους καὶ ἐν Φοινίσσαις (202) Εὐριπίδου τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τύριον οἶδμα λιποῦσ α. χρῶνται δὲ τῷ τοιούτῳ σχηματισμῷ οἱ ποιηταὶ ὅτε διηγηματικὸν ποιοῦσι τὸν λόγον. εἰσὶ γοῦν τῆς μονοστρόφου ταύτης στροφῆς τὰ κῶλα ξζʹ. τὸ μὲν [αʹ] τροχαϊκὸν ἑφθημιμερὲς τοῦ δευτέρου καὶ τρίτου ποδὸς χορείου ἐχρήσατο δὲ τοιούτῳ κώλῳ ἐν ἀρχῇ ἀνειμένῳ μὲν διὰ τὸ ἀνεθῆναι αὐτὰς καὶ ἐκλυθῆναι τῷ φόβῳ, τροχαίοις δὲ [διὰ] τὸ μετὰ σπουδῆς ἀνελ[θεῖν] εἰς τὸν ἐν ἀκροπόλει βωμόν. εἴη δὲ τοῦτο καὶ ἰωνικὸν [δί]μετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καθαροῦ καὶ ἀπ᾽ ἐλάττονος πεντασυλλάβου. τὸ βʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ [ἀντισπάστων] δύο καὶ κρητικοῦ ἤτοι ἀμφιμάκρου. τὸ γʹ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ ἀναπαίστου. τὸ δʹ ὅμοι[ον, ἤτοι ἐκ χοριάμβου] καὶ ἰάμβου. τὸ εʹ ὅμοιον τρίμετρον καταληκτικὸν ἐκ χοριάμβου, διιάμβου καὶ κρητικοῦ. τὸ ςʹ ὅμοιον κατὰ πάντα τ[ῷ βʹ. τὸ ζʹ ἰωνικὸν] ἀπ᾽ ἐλάττονος τρίμετρον βραχυκατάληκτον ἐκ δύο ἰωνικῶν καὶ ἡμίσεος. τὸ ηʹ ἰαμβικὸν δίμετρον ὑπερ[κατάληκτον καθαρόν. τὸ] θʹ ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος καὶ διιάμβου. τὸ ιʹ παιωνικὸν δίμετρον ἐκ παίωνος [δευτέρου καὶ κρητικοῦ]. τὸ ιαʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ιβʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, παίωνος δευτέρου καὶ διιάμβου διὰ τὴν ἀδιάφορον. τὸ ιγʹ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν Φερεκράτειον ἐκ διιάμβου καὶ κρητικοῦ. τὸ ιδʹ ὅμοιον δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου, ἐπιτρίτου δευτέρου καὶ συλλαβῆς. τὸ ιεʹ τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον καθαρόν. τὸ ιςʹ ἴαμβος καθαρὸς τρίμετρος. τὸ ιζʹ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ συλλαβῆς. τὸ ιηʹ ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰωνικοῦ, παίωνος δευτέρου καὶ ἰάμβου. τὸ ιθʹ ὅμοιον τῷ ιζʹ. τὸ κʹ ἰωνικοῦ ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ καὶ διιάμβου. τὸ καʹ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου ἢ ἐπιτρίτου τετάρτου, διιάμβου καὶ συλλαβῆς. τὸ κβʹ ὅμοιον τῷ κʹ. τὸ κγʹ ἴαμβος τρίμετρος καθαρός. τὸ κδʹ ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἀντισπάστου καὶ ἰάμβου. τὸ κεʹ χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου πρώτου καὶ χοριάμβου. τὸ κςʹ ἰαμβικὸν πενθημιμερές. τὸ κζʹ ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου ἀντὶ ἰωνικοῦ, καὶ διιάμβου διὰ τὴν ἀδιάφορον. τὸ κηʹ ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἀντισπάστου καὶ σπονδείου. τὸ κθʹ ὅμοιον δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου τρίτου. τὸ λʹ ἰαμβικὸν ἑφθημιμερές. τὸ λαʹ ὅμοιον πενθημιμερὲς ἐκ χορείου. τὸ λβʹ τροχαϊκὸν δίμετρον ἀκατάληκτον· ἔστι δὲ Στησιχόρειον, ἔχον τὸ Πινδαρικὸν ἔθος, ἤτοι ἴαμβον τὸν τελευταῖον πόδα. εἰ δέ τις εἴποι ὡς τὸ Στησιχόρειον τρίμετρόν ἐστι, ἀλλ᾽ ἴστω ὡς εὕρηται ἐν πολλοῖς καὶ δίμετρον ὡς καὶ ἐνταῦθα. τὸ λγʹ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον ἐκ παίωνος πρώτου κατὰ συνίζησιν καὶ διιάμβου διὰ τὴν ἀδιάφορον. τὸ λδʹ παιωνικὸν μονόμετρον ὑπερκατάληκτον ἐκ παίωνος τετάρτου καὶ συλλαβῆς. [45]

Th 78-150b (50) τὸ λεʹ ὅμοιον ἡμιόλιον ἐξ ὁμοίου ποδὸς καὶ ἰάμβου. τὸ λςʹ ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου, ἀντισπάστου καὶ διιάμβου διὰ τὴν ἀδιάφορον. τὸ λζʹ τροχαϊκὸν καθαρὸν ἑφθημιμερές. τὸ ληʹ χοριαμβικὸν καθαρὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ σπονδείου. τὸ λθʹ τροχαϊκὸν πενθημιμερές. τὸ μʹ δακτυλικὸν πενθημιμερές· εἰ δὲ βούλει, χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. τὸ μαʹ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου, τρίτου καὶ σπονδείου. τὸ μβʹ ὅμοιον δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου πρώτου, διιάμβου καὶ συλλαβῆς. τὸ μγʹ ὅμοιον ἐκ δισπονδείου, διιάμβου καὶ συλλαβῆς. τὸ μδʹ ὅμοιον τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, διτροχαίου καὶ κρητικοῦ. τὸ μεʹ παιωνικὸν τρίμετρον καταληκτικὸν ἐκ παιώνων τετάρτων δύο καὶ μολοττοῦ. τὸ μςʹ ὅμοιον τῷ μγʹ κατὰ πάντα. τὸ μζʹ χοριαμβικὸν τρίμετρον καταληκτικὸν ἐκ χοριάμβου, διιάμβου καὶ κρητικοῦ. τὸ μηʹ ὅμοιον ἐκ διιάμβων δύο καὶ κρητικοῦ· εἰ δὲ πύλαισι γράψεις, ἴαμβός ἐστι τέλειος. τὸ μθʹ ὅμοιον κατὰ πάντα τῷ μβʹ. τὸ νʹ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἰωνικὸν τρίμετρον ἀκατάληκτον ἐκ παιώνων δευτέρων δύο ἀντὶ ἰωνικῶν ἀπὸ μείζονος καὶ διιάμβου· εἰ δὲ βούλει, ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον τοῦ δευτέρου ποδὸς χορείου, τοῦ δὲ τρίτου δακτύλου. τὸ να′ ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τρίτου, ἀντισπάστου καὶ διιάμβου διὰ τὴν ἀδιάφορον. τὸ νβ′ χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ ἰάμβου. τὸ νγ′ ὅμοιον τρίμετρον βραχυκατάληκτον ἐκ χοριάμβου, διτροχαίου καὶ σπονδείου. τὸ νδ′ ἰωνικὸν τρίμετρον ἀκατάληκτον ἐκ παιώνων δύο τετάρτου καὶ δευτέρου ἀντὶ ἰωνικοῦ καὶ διιάμβου. τὸ νε′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον. τὸ νϛ′ ἰαμβικὸν πενθημιμερές. τὸ νζ′ τροχαϊκὸν ἰθυφαλλικόν, ἤτοι δίμετρον βραχυκατάληκτον. τὸ νη′ χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐκ χοριάμβου, διτροχαίου καὶ σπονδείου. τὸ νθ′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστων δύο καὶ συλλαβῆς. τὸ ξ′ παιωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος τετάρτου καὶ ἀμφιβραχέος. τὸ ξα′ ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐκ διιάμβου καὶ ἰωνικοῦ ἀπ’ ἐλάττονος. τὸ ξβ′ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον τοῦ τετάρτου ποδὸς χορείου. τὸ ξγ′ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἀντισπάστου, ἐπιτρίτου δευτέρου καὶ ἰάμβου. τὸ ξδ′ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ, καὶ κρητικοῦ. τὸ ξε′ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ παλιμβακχείου. τὸ ξϛ′ τροχαϊκὸν ἰθυφαλλικὸν ὅμοιον τῷ νζ′. τὸ ξζ′ τροχαϊκὸν πενθημιμερές. ἐπὶ ταῖς ἀποθέσεσι καὶ τῷ τέλει παράγραφος. ταῦτά ἐστι τὰ τῆς μονοστρόφου στροφῆς κῶλα. T θρέομαι φοβερὰ μεγάλα τ ’ ἄχ η· ἐμφαίνεται ὁ τῶν παρθένων χορὸς ὁρῶν οἱονεὶ νοεροῖς ὀφθαλμοῖς πῶς ὁ τῶν Ἀργείων ὄχλος κεκίνηται κατὰ τῆς χώρας αὐτῶν καί φησιν· θρηνῶ, βοῶ μεγάλους θρήνους· ὁ ἱππικὸς στρατὸς συγκεχώρηται καὶ ἀφίεται πρὸς τὴν πόλιν ὁρμᾶν πρόδρομος, ἤτοι προπορευόμενος τῶν ἑτέρων· τὸ τοῦ στρατοῦ ὅλον, τουτέστιν ἅπαν τὸ τοῦ στρατοῦ πλῆθος, ἐάσας ῥεῖ ὁρμᾷ χέεται κινεῖται· ἀσυνδέτως ταῦτα.

Th 78-82a πείθει δέ με ταῦτα σκοπεῖν ὁ ἐν τῷ ἀέρι ἀναφερόμενος κονιορτός, ὁ ἄναυδος καὶ ἄφωνος ὤν, σαφὴς δὲ καὶ φανερὸς ἀληθὴς μηνυτὴς τούτων· ἡ γὰρ τοῦ κονιορτοῦ κίνησις ἱππέων πλῆθος σημαίνει ἐπέρχεσθαι. BCDHNcNdVXXaXcYYaYb ἄλλως.

Th 78-82b θρεῦμα ι· ἐμφαίνεται ὁ τῶν παρθένων χορὸς ὁρῶν οἱονεὶ νοεροῖς ὀφθαλμοῖς πῶς ὁ τῶν Ἀργείων ὄχλος κεκίνηται κατὰ τῆς χώρας αὐτῶν καί φησιν· θροοῦμαι, θρηνῶ, βοῶ μεγάλους θρήνους· ὁ στρατὸς συγκεχώρηται καὶ ἀφίεται πρὸς τὴν πόλιν καταλείψας τὸν τόπον ἔνθα ἔκειτο, ὧδε πολὺς λαὸς ἱππότης πρόδρομος, ἤτοι δρομαῖος ἢ προτρέχων τῶν ἄλλων οἱονεὶ τῶν πεζῶν. πείθει δέ με ταῦτα σκοπεῖν καὶ λέγειν ἡ αἰθερία κόνις, ἤγουν ὁ ἐν τῷ ἀέρι ἐγειρόμενος κονιορτός—αἰθέρα γὰρ ἐνταῦθα τὸν ἀέρα φησί—ἄφωνος ἄγγελος φανεῖσα, σαφὴς δὲ ἀληθής. P 1 PdSj θρέομαι φοβερ ά· θρηνῶ, βοῶ.

Th 78a εὐπτόητον δὲ ἡ τῶν παρθένων ἡλικία πρὸς φόβον, μάλιστα δὲ πρὸς πολιορκίαν. M θρέομα ι· θρηνῶ, βοῶ διὰ τὰ φοβερὰ καὶ ἐκπληκτικά, ἢ φοβερὰ ἀντὶ τοῦ ἐπίφοβος ὑπάρχουσα ἐπὶ θηλυκῶν.

Th 78b εὐπτόητος δὲ ἡ τῶν παρθένων ἡλικία πρὸς φόβον, μάλιστα δὲ πρὸς πολιορκίαν. I 1 θρέομαι φοβερὰ μεγά λ ’ ἄχ η· ἤτοι θρηνῶ, βοῶ φοβερὰς μεγάλας θρηνῳδίας.

Th 78c εὐπτόητος δὲ ἡ τῶν παρθένων ἡλικία πρὸς φόβον, μάλιστα δὲ πρὸς πολιορκίαν. τὸ δὲ φοβερὰ ἢ διὰ τὸ φοβερὰ ἄχη ἢ φοβερὰ γενομένη ὅ ἐστιν ἐπίτρομος. CNcNdP 1 PdSjVWXaYb ὅτι ἡ τῶν παρθένων ἡλικία εὐπτόητος οὖσα, καταλιποῦσα τοὺς οἴκους ἐπὶ τὴν ἀκρόπολιν ἀφίκετο· καὶ εἰσελθοῦσα ἐν τῷ ἐκεῖ ναῷ ταῦτά φησι φανταζομένη.

Th 78d T ἀναγκαίως ὁ χορὸς ἀπὸ γυναικῶν συνέστηκε διὰ τὸ πᾶσαν ἄλλην ἡλικίαν ἀνδρικὴν περὶ τὰ τείχη εἶναι.

Th 78e I 1 Φοίνισσαι γυναῖκες ἢ ὡς μὴ ἀκοῦσαί ποτε πόλεμον κλαίουσι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 78f I 2 ὁ χορὸς συνέστηκεν ἐκ γυναικῶν παρθένων· ὃς εἰσελθὼν εἰς τὸν ναὸν καὶ θρηνῶν ταῦτά φησιν.

Th 78g CNdYb ὁ χορὸς εἰσελθὼν ἐν τῷ ναῷ καὶ θρηνῶν ταῦτά φησιν.

Th 78h DPPd θρέομαι] ταράττομαι, φοβοῦμαι διὰ τὰς μεγάλας θλίψεις.

Th 78i DPPd YaYb θρέομαι] θρηνῶ.

Th 78j CPXXc θρέομαι] θροοῦμαι, θρηνῶ, βοῶ.

Th 78k BH θρέομαι] ταράττομαι.

Th 78l A 2 CR 1 VXc θρέομαι] θορυβοῦμαι, μετὰ φόβου προβλέπω.

Th 78m HaNaNc θρέομαι] φοβοῦμαι.

Th 78n A 2 θTY ἔστι ῥῆμα θρέω τὸ σὺν θορύβῳ λαλῶ ἢ βοῶ, οὗ τὸ παθητικὸν θρέομαι ἀντὶ τοῦ θροοῦμαι καὶ ἐκπλήττομαι καὶ φοβοῦμαι.

Th 78o τὸ γὰρ παρὰ τοῖς κοινοῖς θροοῦμαι, τοῦτο παρὰ τοῖς ποιηταῖς θρεῦμαι καὶ θρέομαι. A 2 Ξa ἄχη] λύπας.

Th 78p CHa ἄχη] τὰ ἐπερχόμενα δηλονότι.

Th 78q θT μεθεῖται στρατό ς· οἷον ἀφεῖται ὁ ὄχλος ἀπὸ τοῦ στρατοπέδου, οἷον ἤδη τὴν ὁρμὴν ποιοῦνται ἐπὶ τὴν πόλιν ἡμῶν οἱ πολέμιοι.

Th 79a ταῦτα δὲ φανταζόμεναι λέγουσιν ὡς ἀληθῆ. τὸ δὲ χ πρὸς τὴν διαφορὰν τοῦ στρατοῦ καὶ τοῦ στρατοπέδου· στρατόπεδον γὰρ καλεῖται τὸ ἐνδιαίτημα τοῦ στρατοῦ. MNcP 3 YaYb ἢ στικτέον εἰς τὸ στρατὸς ὁμοίως καὶ εἰς τὸ ῥε ῖ. [5]

Th 79b τὸ δὲ ἑξῆς οὕτως· ὁ στρατὸς μεθεῖται καὶ συγκεχώρηται καὶ ἀφίεται πρὸς τὴν πόλιν, λιπὼν καὶ καταλείψας οὗτος ὁ στρατὸς τὸ στρατόπεδον καὶ τὸν τόπον ἐν ᾧ ἔκειτο, ῥεῖ καὶ δίκην ῥεύματος ἔρχεται. P 1a μεθεῖται] ἀφίεται.

Th 79c BHNcXXc μεθεῖται] ὑπὸ τῶν στρατηγῶν.

Th 79d I 1 μεθεῖται] ἀφεῖται.

Th 79e NcPSjYaYb μεθεῖται] πέμπεται.

Th 79f DXYYaYb μεθεῖται] ἔρχεται.

Th 79g I 2 OXXc μεθεῖται] κινεῖται.

Th 79h PPd μεθεῖται] ἤδη ὁρμὴν ποιεῖται ἐπὶ τὴν πόλιν.

Th 79i BH μεθεῖται] ἀπολέλυται.

Th 79j A 2 NaHa μεθεῖται] συγχωρεῖται.

Th 79k R 1 V μεθεῖται] ἐκ τοῦ οἰκείου τόπου ἐφ’ ἡμᾶς ὁρμᾶται.

Th 79l θT μεθεῖται] ὁρμᾶται.

Th 79m A 2 στρατὸς] ὁ Ἀργεῖος.

Th 79n I 1 στρατόπεδον] ἐν ᾧ ἀναπαύεται ὁ στρατός.

Th 79o YYaYb στρατόπεδον] τὴν γῆν ἔνθα ἦν ὁ στρατός.

Th 79p I 2 στρατόπεδον] τὸν τόπον ἐν ᾧ ἔκειτο.

Th 79q NaPPdθT παλαιόν· πρὸς τὴν διαφορὰν τοῦ στρατοῦ καὶ τοῦ στρατοπέδου τὸ χ τέθειται.

Th 79r ἴσως δὲ στρατόπεδον καλοῖτ’ ἂν τὸ τοῦ στρατοῦ ἐνδιαίτημα. T στρατόπεδον] τὸ κοινῶς λεγόμενον κατουνοτόπιον.

Th 79s A 2 Ξa λιπὼν] καταλείψας.

Th 79t AbC λιπὼν] ἐάσας.

Th 79u YaYb ῥεῖ] ὁρμᾷ.

Th 80a BVXYaYb ῥεῖ] ἐπέρχεται.

Th 80b BH ῥεῖ] ἔρχεται.

Th 80c CHaNa ῥεῖ] δίκην ῥεύματος ἔρχεται.

Th 80d PPdR 1 ῥεῖ] δίκην ῥεύματος ἔπεισι.

Th 80e A 2 θT ῥεῖ] δίκην ῥεύματος· λέγει δὲ αὐτὸ οὕτως διὰ τὸ ἀνεμπόδιστον.

Th 80f Ξa πόλυς δ ’ ὧδ ε· πολὺς δὲ ἔμπροσθεν λαὸς ἱππότης· φαντάζονται δὲ ταῦτα.

Th 80g αἰθερία δὲ κόνις ἡ αὐγὴ ἡ αἰρομένη ἀπὸ τοῦ αἰθέρος, καίτοι ἄφωνος οὖσα, ἀλλὰ καὶ ἐναργής ἐστιν ὥσπερ ἄγγελος ἀληθής. NcVYa Yb ὧδε] ἐνταῦθα.

Th 80h CTXc λεὼς] τῶν πολεμικῶν.

Th 80i T πρόδρομος ἱππότα ς· πολὺς ἔμπροσθεν λαὸς ἱππότης.

Th 80j φαντάζονται δὲ ταῦτα πάντα. αἰθερία δὲ κόνις ἡ αὐγὴ ἡ αἰρομένη εἰς τὸν αἰθέρα, καίτοι ἄφωνος οὖσα, ἐναργής ἐστιν ὥσπερ ἄγγελος καὶ ἀληθής. M πρόδρομος] πρὸ τῶν ἄλλων πορευόμενος.

Th 80k BHNc πρόδρομος] προπορευόμενος τῶν ἑτέρων.

Th 80l VXc πρόδρομος] προτρέχων τῶν ἄλλων.

Th 80m A 2 DYaYbΞa πρόδρομος] προτρέχων.

Th 80n θT πρόδρομος] + ταχύς.

Th 80o T πρόδρομος ὡς ἄλλων ἐφεπομένων· ὁ γὰρ πρόδρομός τινων ἀκολοθούντων ἐστὶ πρόδρομος καὶ οὐδὲ πάνυ πολὺ τὸ μέσον τοῦ προδρόμου καὶ τῶν ἑπομένων.

Th 80p A 2 Ξa ἱππότας] ἱππικός.

Th 80q HaNaPPdT ἱππότας] καβαλλάριος.

Th 80r BH αἰθερία] ἡ μέχρι τοῦ αἰθέρος ἤκουσα.

Th 81a A 2 M αἰθερία] ἀνερχομένη ἀπὸ τῆς γῆς εἰς τὸν ἀέρα.

Th 81b BHNc αἰθερία] εἰς ὕψος αἰρομένη.

Th 81c PdYaYb αἰθερία] ἀερία.

Th 81d XcV αἰθερία] μέχρις ἀέρος φθάνουσα ταῖς τῶν ἵππων ὁπλαῖς.

Th 81e θT πείθει] εἰς ταῦτα.

Th 81f PPd πείθει] λέγει ὅτι ἐπέρχεται τὸ στρατόπεδον.

Th 81g D πείθει] ὡς ἐκ τῆς ἐγειρομένης κόνεως ἔχω τοῦτο τεκμαίρεσθαι.

Th 81h Nc ἐπειδὴ τὸ πείθειν διὰ λόγων γίνεται, διὰ τοῦτο εἶπε τὸ ἄναυδο ς.

Th 81i σύναπτε δὲ τὸ φανεῖσα πρὸς τὸ αἰθερί α. A 2 θTΞa πείθει] ὅτι ἔρχεται ὁ στρατός.

Th 81j T φανεῖς’] δειχθεῖσα.

Th 81k CVYaYb ἄφωνος μὲν οὖσα, σαφῶς δὲ ἀγγέλλουσα.

Th 82a M ἄναυδος] ἄφωνος.

Th 82b BCHHaNaPTVXc ἄναυδος] ἄφωνος μὲν οὖσα, ἀληθὴς δὲ χρηματίσασα.

Th 82c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

YaYb σαφὴς δ έ· στικτέον εἰς τὸ δ έ, ὡς ἂν ἡ σύνταξις εἴη τοιαύτη· ἡ κόνις φανεῖσα αἰθερία, ἤγουν ἐν τῷ ἀέρι, πείθει με τὴν ἔφοδον ὑπονοεῖν τοῦ στρατοῦ, ἄναυδος καὶ ἄφωνος οὖσα, σαφὴς δέ, ἤγουν σαφῶς ἀπὸ τοῦ ὁρᾶσθαι, τὸ τῶν ἱππέων πλῆθος σημαίνουσα ἐπερχόμενον.

Th 82d τὸ δὲ ἔτυμος ἄγγελος οὕτως νοητέον καὶ συντακτέον· ὁ ἄγγελος ὁ ἐλεδέμνας, ἤγουν ὁ ἐλάσας ἡμᾶς τῶν δεμνίων—στικτέον γὰρ καὶ ἐν τούτῳ—ὁ πρὸ μικροῦ ἀπαγγείλας τῷ Ἐτεοκλεῖ τὴν τοῦ στρατοῦ πρὸς τὴν πόλιν ἐπίθεσιν ἀληθὴς ἦν· ἅπερ γὰρ ἐκεῖνος ἀπήγγειλε πρίν, καὶ νῦν ἡ κόνις μηνύει. P 1 PdSj σαφὴς] φανερός.

Th 82e BNaPθTV σαφὴς] φανερά, τὸ πᾶν σαφηνίζουσα.

Th 82f PPd σαφὴς] φανερά.

Th 82g YaYb σαφὴς] ἀληθής.

Th 82h AbHa σαφὴς] ἀκριβής.

Th 82i T σαφὴς] ἢ ἐκ παραλλήλου ἢ ἀντὶ τοῦ φανερός.

Th 82j A 2 Ξa ἔτυμος] ἀληθής.

Th 82k AbBCHaPθTVXc οὗτος ὁ ἄγγελός ἐστιν ὁ πρὸ μικροῦ ἀπαγγείλας τῷ Ἐτεοκλεῖ τὴν ἔφοδον τῶν Ἀργείων.

Th 82l P 1 τὸ ἑξῆς· ἄγγελος ἑλεδάμνας οἷον φόνιος, παρὰ τὸ ἑλεῖν καὶ δαμνᾶν.

Th 82m γρ. δὲ καὶ ἑλεδέμας καὶ ἑλεδέμνας, τὸ μὲν παρὰ τὸ ἑλεῖν καὶ τὸ δέμας, τὸ δὲ παρὰ τὸ ἑλεῖν ἐν δεμνίοις. I 1 ἄγγελος] μηνυτὴς ὡς κατ' ἐμοῦ γίνεται.

Th 82n θT ἐλεδεμνὰς χρίμπτεται βο ή· χρίμπτεται δὲ καὶ πλησιάζει ἡμῖν τι, ἤτοι μικρόν τι ἢ κατά τι ἡμῖν προσπελάζει, βοὴ πεδιοπλόκτυπος, ἤγουν ἐκ τῶν ἁρμάτων κτύπον ἐμποιοῦσα τῇ γῇ.

Th 83-84a ἐλεδεμνὰς ἀντὶ τοῦ τὸ δέμας καὶ τὸ σῶμα ἡμῶν τῷ φόβῳ λαμβάνουσα καὶ συσφίγγουσα καὶ κατέχουσα καὶ ταράττουσα καὶ περιθλίβουσα. τινὲς δὲ ὠτὶ χρίμπτεται γράφουσιν, ἤγουν τῇ ἀκοῇ ἡμῶν προσπελάζει βοή. ἠχεῖ δὲ αὕτη ἡ βοὴ τρόπον ὕδατος ἀπειρίτου καὶ ἀπολεμήτου διὰ τὸ ἰσχυρὸν τοῦ ἀπὸ τῶν ὀρῶν κατερχομένου καὶ κτυποῦντος. BCDHNcNdXXaXcYYaYb ἐλεδεμνάς τ ε· καὶ ὁ ἐλαύνων καὶ διεγείρων ἀπὸ τῶν δεμνίων πεδιοπλόκτυπος, ἤγουν ὁ κτύπος ὁ ἐκ συγκρουσμοῦ τῶν ὁπλῶν πρὸς ἄλληλα καὶ ἐκ τῆς ἐν τῇ γῇ τῶν ἵππων ποδοκροτήσεως γινόμενος, χρίμπτεται καὶ προσπελάζει ἡμῶν τοῖς ὠσίν.

Th 83-84b ἄλλως· βοὴ ἐλεδέμνας πεδιοπλόκτυπος χρίμπτεται καὶ προσπελάζει ἡμῖν τι, ἤτοι μικρόν τι. ἄλλως· ἑλεδέμνας ἀντὶ τοῦ τὸ δέμας καὶ τὸ σῶμα ἡμῶν τῷ φόβῳ λαμβάνουσα καὶ σφίγγουσα καὶ κατέχουσα καὶ ταράττουσα καὶ περιθλίβουσα βοή. τινὲς δὲ ὠτὶ χρίμπτεται γράφουσιν, ἤτοι τῇ ἀκοῇ ἡμῶν προσπελάζει. βρέμει δὲ καὶ ἠχεῖ τρόπον ὕδατος ἀμαχέτου καὶ ἀπολεμήτου καὶ ἰσχυροῦ διὰ τὸ ἀπείριτον ὀροκτύπου καὶ ἀπὸ τῶν ὀρῶν κατερχομένου μετὰ κτύπου. P 1 PdSj ἐλεδεμνὰς] ἐλαύνων καὶ διώκων ἀπὸ τῶν δεμνίων τοὺς λαούς.

Th 83a BHNc ἑλεδεμνὰς] ὁ ἐλαύνων καὶ διεγείρων με ἀπὸ τῶν δεμνίων ἢ ὁ ἑλών με ἀπὸ τῶν δεμνίων καὶ μὴ ἐῶν με κοιμηθῆναι ὑπὸ τοῦ κτύπου τῶν ποδῶν τῶν ἵππων καὶ τῶν ἁρμάτων ἐν τοῖς πεδίοις γενομένων.

Th 83b DYaYb ἐλεδεμνά ς· ἤγουν ὁ ἐλαύνας τῶν δεμνίων.

Th 83c στικτέον γὰρ καὶ ἐν τούτοις. Pd ἐλεδεμνὰ ς· ὁ ἐλαύνων καὶ διεγείρων ἀπὸ τῶν δεμνίων.

Th 83d CNcNd P 2 VR 1 Xa ἐλεδεμνὰς] ἀπὸ τοῦ ἑλῶ τὸ κρατῶ καὶ τοῦ δέμνιο ν.

Th 83e CXc ἐλεδεμνὰς βοὴ ἡ ἐλαύνουσα καὶ ἐγείρουσα ἀπὸ τῶν δεμνίων τὸν λαόν.

Th 83f Pd ἐλεδεμνὰς] ἐλαύνει καὶ διώκει ἐμὲ ἐκ τῶν δεμνίων, ἤγουν ἑλοῦσα καὶ κρατοῦσα τὸ δέμας.

Th 83g HaNa ἐλεδεμνὰς] ἐλαύνων ἐμὲ ἐκ τῶν δεμνίων καὶ οὐκ ἐῶν καθεύδειν φόβον ἐμβάλλων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 83h θT m T gl ἑλεδεμνὰς ἤτοι ἑλοῦσα καὶ λαβοῦσα τὸ δέμας ἡμῶν.

Th 83i Ξa ἐλεδεμνὰς] ἐκβάλλουσα ἡμᾶς τῶν δεμνίων.

Th 83j A 2 καὶ τὰ τῆς γῆς δέ μου πεδία κατακτυπούμενα τοῖς ποσὶ τῶν ἵππων καὶ τῶν ὅπλων ποιεῖ μου προσπελάζειν τὸν ἦχον τοῖς ὠσί.

Th 84a MNcP 1 VYb καὶ ἡ γῆ δὲ κρουομένη ταῖς τῶν ἵππων ὁπλαῖς ποιεῖ προσπελάζειν τὸν ἦχον τοῖς ὠσίν.

Th 84b I 1 πεδιοπλόκτυπος] ἡ ἐμποιοῦσα κτύπον τῇ γῇ διὰ τῶν ἁρμάτων.

Th 84c BHNc πεδιοπλόκτυπος] ἀπὸ τοῦ πέδον ἡ γῆ καὶ τοῦ ὁπλὴ ὁ ὄνυξ καὶ τοῦ κτύπο ς.

Th 84d Xc πεδιοπλόκτυπος] κτύπον ποιῶν μετὰ τῶν ὅπλων ἐν τῷ πεδίῳ.

Th 84e HaNa πεδιοπλόκτυπος] κτύπον ἐν τῷ πεδίῳ τοῖς ὅπλοις ἐγείρουσα.

Th 84f θ πεδιοπλόκτυπος] κτύπον ἐν τῷ πεδίῳ ἐκ τῶν ὅπλων ἢ τῶν ὁπλῶν τῶν ἵππων ἐγείρουσα.

Th 84g T πεδιοπλόκτυπος ἤγουν ἐν τῷ πεδίῳ κτύπον ποιοῦσα διὰ τῶν ὅπλων.

Th 84h A 2 AbΞa χρίμπτεται] πλησιάζει.

Th 84i A 2 BCHHaNaQXc χρίμπτεται] ἐπέρχεται.

Th 84j PPdYaYb χρίμπτεται] ἔπεισι καὶ πλησιάζει.

Th 84k θT ἢ στικτέον εἰς τὸ βο ά.

Th 84l τὸ δὲ ἑξῆς οὕτως· ἢ χρίμπτεται βοὰ πεδιοπλόκτυπος ἐν τοῖς ὠσὶν ἐμοῦ. ποτᾶται καὶ πέτεται. P 1a βοᾷ] ἠχεῖ.

Th 84m Pd βοᾷ] ἢ βοᾷ καὶ ἠχεῖ ἢ βοὰ καὶ βοὴ καὶ φωνή.

Th 84n P βοὰ] ἠχή, φωνή.

Th 84o YaYb βοὰ] ἦχος.

Th 84p θT ποτᾶται] πέτεται.

Th 85a CBPQXYa ποτᾶται] ἵπταται.

Th 85b AbNa ποτᾶται] ἐναέριος φέρεται.

Th 85c θT βρέμει] ἠχεῖ δέ, φησί, τρόπον ποταμῶν τὰ πεδία τῆς γῆς μου.

Th 85d M βρέμει] ἠχεῖ.

Th 85e AbBCHHaNaPdQVYaYb βρέμει] ἠχεῖ ἡ βοὴ τῶν ὅπλων.

Th 85f θT ἀμαχέτου] πολλοῦ.

Th 85g BHNcPPd ἀμαχέτου] ἀκαταπονήτου.

Th 85h CHaNaPQSj ἀμαχέτου] ἀπολεμήτου.

Th 85i DR 1 YaYb ἀμαχέτου] ἀκρατήτου VY ἀμαχέτου] πρὸς ὃ μὴ δύναταί τις μαχέσασθαι ἤτοι κατασχεῖν φερόμενον.

Th 85k θT ἀμαχέτου] ἀνυποστάτου καὶ ἰσχυροῦ.

Th 85l A 2 ὀροτύπου] τοῦ καὶ ὄρη ῥηγνύντος.

Th 86a M εἴωθε γὰρ τὸ ὕδωρ ἀπὸ ὄρους ὑψηλοῦς κατερχόμενον κτυπεῖν διὰ τὸ ταῖς πέτραις προσκρούειν.

Th 86b γρ. δὲ καὶ ὀροτύπου, ἵν’ ᾖ τοῦ τὰ ὄρη ῥηγνύντος τῇ σφοδρότητι {φασιν}. I 1 ὀροκτύπου] τοῦ ἀπὸ τῶν ὀρῶν κατερχομένου καὶ κτυποῦντος ἐν τῷ ὄρει.

Th 86c AbBCHHaNcSjXc ὀροκτύπου] τοῦ ἐν ὄρει ἠχοῦντος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 86d PTYaYb ὀροκτύπου] πολυήχου.

Th 86e DYaYb ὀροκτύπου] ὀρεινοῦ.

Th 86f NaP ὀροκτύπου] τοῦ κτύπον ἐν τῷ ὄρει ἐγείροντος τῇ φορᾷ ἢ τοῦ ἠχοῦντος ἐν τῷ ὀρούειν καὶ ὁρμᾶν.

Th 86g θTΞa ὀροκτύπου] ἐξ ὀρέων φερομένου.

Th 86h Ξa ὦ θεοὶ καὶ θεαί, ἀλεύσατε καὶ φυγὴν ποιήσατε καὶ ἀποστήσατε τὸ κακὸν τὸ καθ’ ἡμῶν διεγειρόμενόν τε καὶ ἐπαιρόμενον.

Th 87-92 ἐν βοᾷ, ἤγουν σὺν θορύβῳ καὶ ὄχλῳ, ὁ Ἀργεῖος λαὸς ὁ λευκὰς ἀσπίδας ἔχων ὄρνυται καὶ διεγείρεται καὶ ὁρμᾷ ὑπεράνω τῶν τειχέων εὐπρεπής, ἤτοι τοῖς ὅπλοις κεκοσμημένος, ἐπὶ τὴν πόλιν τρέχων, ἐλαύνων, ὁρμῶν· προορᾷ δὲ οἷον ὁ χορὸς τὴν τοῦ Καπανέως, ὅστις ἐκ τοῦ στρατοῦ τῶν Ἀργείων ἦν, ἐπὶ τὰ τείχη ἄνοδον, ἥνπερ Εὐριπίδης φησίν (Ph. 180—181). P 1 PdSj ὦ θεοὶ θεαί τε, ἀλεύσατε καὶ ἀποστήσατε καὶ φυγὴν ποιήσατε τὸ κακὸν τὸ καθ’ ἡμῶν διεγειρόμενον καὶ ἐπαιρόμενον πολλά. [5]

Th 87-88 YaYb ὀρρόμενον] ταρασσόμενον.

Th 87a BYYaYb ὀρρόμενον] διεγειρόμενον.

Th 87b AbCHHaI 2 NbPPdSjXXcYaYb ὀρρόμενον] κινούμενον.

Th 87c A 2 AbHaQV ὀρρόμενον] ταρασσόμενον, διεγειρόμενον, φερόμενον.

Th 87d θ ὀρρόμενον] ἐπερχόμενον, φερόμενον.

Th 87e T ἀλεύσατε] ἀποστήσατε.

Th 88a MPQTXYYa ἀλεύσατε] ἐκφυγεῖν [ποιήσατε].

Th 88b I 1 ἀλεύσατε] φυγεῖν ποιήσατε.

Th 88c PR 1 ἀλεύσατε] ἀποδιώξατε.

Th 88d A 2 AbCP ἀλεύσατε] ἀποσοβήσατε.

Th 88e AbBHHaNaNbNcOPPdθTXcYa Yb βοᾷ ὑπὲρ τειχέω ν· ἐν βοῇ δὲ καὶ σὺν θορύβῳ καὶ ὄχλῳ ὁ Ἀργεῖος λεὼς ὁ λευκὰς ἀσπίδας ἔχων ὄρνυται καὶ ὁρμᾷ ὑπεράνω τῶν τειχέων εὐπρεπής, ἤτοι τοῖς ὅπλοις κεκοσμημένος, ἐπὶ τὴν πόλιν τρέχων· προορᾷ γὰρ ὡσανεὶ ὁ τῶν παρθένων χορός, πῶς ὁ τῶν Ἀργείων ὄχλος ἄνοδον ἐπὶ τῶν Θηβαϊκῶν τειχῶν μέλλει ποιήσασθαι. [5]

Th 89-92 BCHNcNdP 2 VX XaYYaYb σημείωσαι δὲ ὅτι ἡ ὑπὲρ πρόθεσις, ὅταν τὴν ἀνωτάτω σχέσιν δηλοῖ, μετὰ αἰτιατικῆς συντάσσεται, οἷον ὑπὲρ τὴν γῆν ὁ ἥλιος· ἐν τῷ οὐρανῷ γάρ.

Th 89-90a ὅτε δὲ τὸ πλησίον καὶ ἐγγύς, μετὰ γενικῆς, ὡς τὸ ὑπὲρ τῆς γῆς ὁ ἄνθρωπος, ἤτοι πλησίον τῆς γῆς· ἄνωθεν γὰρ αὐτῆς πορεύεται. καὶ ὁ Λυκόφρων (25) ὑπὲρ Καλυδνῶν λευκὰ φαίνουσαι πτίλ α, ἤγουν τὰ ἱστία ὑπεράνω τῶν Καλυδνῶν φαίνουσαι νήσων, μικρόν τι ταῦτα τῶν νήσων ἐξέχοντα. τοιοῦτον οὖν ἐστι καὶ τὸ ὑπὲρ τειχέω ν. CDNcNd P 1 XXaXcYa σημείωσαι ὅτι ἡ ὑπὲρ μετ’ αἰτιατικῆς συντασσομένη 〈τὴν〉 ἀνωτάτω σχέσιν δηλοῖ, μετὰ γενικῆς τὴν ἄνω καὶ πλησίον ὡς ἐνταῦθα. [5]

Th 89-90b Pd βοᾷ] μετὰ βοῆς.

Th 89a DMPPdYYb βοᾷ] θορύβῳ.

Th 89b BPNa βοὰ] ἐστίν.

Th 89c θ ὑπὲρ] πλησίον.

Th 90a CDHPPdXc τειχέων] συνίζησις.

Th 90b F pc τειχέων] + ἤγουν μετὰ βοῆς ἔρχεται κατὰ τῆς πόλεως.

Th 90c T λεύκασπις λαό ς· ὁ Ἀργεῖος· λευκὰς γὰρ ἀσπίδας αὐτοῦ τὸ παράσημον.

Th 90d I1 λεύκασπις] ὁ λευκὰς ἀσπίδας ἔχων.

Th 90e A 2 AbBCPVΞa λεύκασπις] ὁ λευκὴν ἀσπίδα φέρων.

Th 90f YaYb λεύκασπις] + ἀπέστιλβον γὰρ αἱ ἀσπίδες αὐτῷ τῷ χαλκῷ.

Th 90g T ὄρνυται] διεγείρεται.

Th 91a CI 2 PPdYa ὄρνυται] ὁρμᾷ.

Th 91b BFFcHKLh ac PR 1 TYXc ὄρνυται] ὁρμᾶται.

Th 91c LcLh pc NaQRaRbYaYb ὄρνυται] κινεῖται.

Th 91d AbTV λαὸς] τῶν Ἀργείων.

Th 91e NaT εὐπρεπὴς] εὐτρεπισμένος.

Th 92a BY εὐπρεπὴς] τοῖς ὅπλοις.

Th 92b BH εὐπρεπὴς] τοῖς ὅπλοις κεκοσμημένος.

Th 92c CNcPSjXc εὐπρεπὴς] ἀκίνητος.

Th 92d PPd εὐπρεπὴς] εὐάρμοστος, ὡπλισμένος.

Th 92e DYa εὐπρεπὴς] ὡπλισμένος.

Th 92f AbHaNaT εὐτρεπὴς ἐπὶ ἀψύχου, εὐπρεπὴς δὲ ἐπὶ ἐμψύχου.

Th 92g B εὐτρεπὴς ὁ ἕτοιμος, εὐπρεπὴς ὁ ἁρματωμένος, κεκοσμημένος.

Th 92h O εὐτρεπὴς] ἕτοιμος.

Th 92i A 2 θT διώκων] ζητῶν, καταλαμβάνων.

Th 92j BHI 2 NcXc διώκων] ἐρχόμενος.

Th 92k DHPPdR 1 TVYa διώκων] ἐλαύνων.

Th 92l CDHaPPdYaYb διώκων] τρέχων.

Th 92m BXc διώκων] ὁρμῶν.

Th 92n YaYb διώκων] κινούμενος.

Th 92o QFd διώκων] ἐλαύνων, σπεύδων.

Th 92p θT ἆρα] + διὰ τὸ μέτρον.

Th 93a T ἡμέτερον + εἴρηται ἡμῖν ἀλλαχοῦ (sch.

Th 93b T Eur. Or. 190) ὅτι ἀμφοτέρω τὼ ἄρα, τό τ' ἐρωτηματικὸν καὶ τὸ συλλογιστικόν, πρὸς τὴν τοῦ μέτρου χρείαν καὶ ὀξύνεται παρὰ τοῖς ποιηταῖς καὶ περισπᾶται. χρὴ τοίνυν περισπᾶν τοῦτο ἐνταῦθα ἵν' εἴη τέλειος ἴαμβος. T ῥύσεται] ἐλευθερώσει.

Th 93c AbCHaPPdV ῥύσεται] φυλάξει.

Th 93d YaYb ῥύσεται] ἡμᾶς τῶν τοιούτων.

Th 93e θT ἐπαρκέσει] βοηθήσει.

Th 93f AbBCHHaPθTVXcYaYb πότερα δῆ τ ' ἐγ ώ· πότερον πρόσφυγες τῶν πατρῴων ξοάνων γενόμεθα ἢ ἄλλο τι πράξομεν; I 1 M ἐρωτηματικῶς ὁ χορὸς προσαναφθέγγεται καθ' ἑαυτὸν δειλαινόμενος ἢ εἰς ὁποῖα ἢ εἰς ἄλλα ἄλλοσε· πότερα ἐγὼ πέσω πρὸς τὰ εἴδωλα τῶν θεῶν παρακαλῶν καὶ δυσωπῶν αὐτοὺς ἢ ἄλλο τι πράξομεν; VYaYb πότερα ἐγὼ πέσω πρὸς τὰ εἴδωλα τῶν θεῶν παρακαλοῦσα καὶ δυσωποῦσα αὐτοὺς ἢ ἄλλο τι πράξω; PPd ἐπειδὴ τὸ πότερα δύο τινῶν ἔμφασιν ἔχει—φαμὲν γὰρ πότερα ποιήσω τόδε ἢ τόδε—ἐνταῦθα τὸ μὲν ἓν σκέλος εἶπεν ἐπειδὴ συνετέλει, τὸ δ' ἕτερον παρῆκεν—οὐ γὰρ ἦν δέον εἰπεῖν ἢ οὐ προσπέσω—, ὥστε πρὸς τὸ

δαιμόνων πρῶτον ὑπόστιζε, εἶτα στίζε, ἵνα ἡ μὲν ὑποστιγμὴ εἴη διότι ὁ λόγος κρέμαται, ἡ δὲ στιγμὴ διότι, εἰ τὸν λόγον ἀπέδωκας, ἔστιξας ἂν ἐν τῷ τέλει τῆς ἀποδόσεως. [5]

Th 95d τῶν δὲ μὴ τοῦτο δεχομένων βραχὺς λόγος· ἱκανὴν γὰρ τὴν ἐκ τῆς ἀγνοίας διδόασι δίκην. A 2 θTΞa πότερον] + διὰ τὸ μέτρον.

Th 95e T βρέτη] τὰ ἀγάλματα· κυρίως ἐπὶ τοῦ ἀνθρώπου.

Th 96a BDHYb βρέτας κυρίως τὸ τοῦ ἀνθρώπου εἴδωλον τὸ βροτῷ ὅμοιον, ὡς καὶ δείκελον τὸ ἴκελον τῷ Διί.

Th 96b P 2 Pd βρέτας τὸ εἴδωλον τοῦ βροτοῦ.

Th 96c O βρέτη] εἴδωλα.

Th 96d AbCHHaI 2 NaPPdVXXcYaYb βρέτη] εἰκόνας.

Th 96e NcθT δαιμόνων] θεῶν.

Th 96f AbTYYaYb ἰὼ μάκαρες] διὰ μέσου τοῦτο.

Th 97a T μάκαρες] θεοί.

Th 97b AbTV εὔεδρο ι· ἐπ' ἀγαθῶν ἱδρυμένοι ἢ ἐπὶ τῶν ἰδίων καθεδρῶν καθεζόμενοι.

Th 97c I 1 MNcP 1 PdSjYa εὔεδροι] ἀρραγεῖς.

Th 97d DH εὔεδροι] ἐγκάτοικοι.

Th 97e BH εὔεδροι] ἀκίνητοι.

Th 97f HHaNaYaYb εὔεδροι] ἀπαρασάλευτοι, οἱ ἀεὶ ὄντες, γίνεσθε βοήθεια ἡμῖν.

Th 97g YaYb εὔεδροι] μόνιμοι, ἀεὶ ὄντες.

Th 97h PPd εὔεδροι] εὐκάθεδροι.

Th 97i VX εὔεδροι] ἔνοικοι τοῖς ναοῖς.

Th 97j θ εὔεδροι] οἱ ἐνιδρυμένοι καλῶς.

Th 97k T εὔεδροι] στάθητε δῆλον.

Th 97l A 2 Ξa ἀκμάζει βρετέων ἔχεσθα ι· τοῦτό φησι· καιρός ἐστι νῦν ἔχεσθαι βρετέων, ἤτοι προσπίπτειν τοῖς εἰδώλοις τῶν θεῶν καὶ παρακαλεῖν αὐτούς· τί βραδύνομεν καὶ οὐχ ἱκετεύομεν, ὦ ἀγάστονοι, ἤτοι αἱ ὑπὸ τοῦ στόνου ἀγόμεναι καὶ κατεχόμεναι.

Th 98-99 ταῦτα δέ τινες τῶν τοῦ χοροῦ γυναικῶν πρὸς τὰς ἑτέρας φασίν. BCDHNcNdP 1 PdSjVXXaXc YYaYb ἀκμάζε ι· καιρὸς ἥκει, οἷον ἀκμῆς καὶ ὀξυλαβίας χρήζει τὰ πράγματα. [5]

Th 98a πρὸς ἀλλήλας δὲ ταῦτά φασιν. I 1 MYb ἀκμάζει] ὁ καιρὸς ἥκει τοῦ πολέμου, τῶν εἰδώλων ὥστε ἅπτεσθαι.

Th 98b BHNc ἀκμάζει] ὁ καιρός.

Th 98c OQV ἀκμάζει] ἤγουν καιρὸς ὑπάρχει ἔχεσθαι.

Th 98d CXXc ἀκμάζει] ὁ πόλεμος ἢ ὁ καιρός.

Th 98e AbI 2 PPd ἀκμάζει] κινεῖται.

Th 98f HaNa ἀκμάζει] ἀκμὴ καὶ καιρός ἐστι.

Th 98g θT ἀκμάζει] τὸ δεινὸν δῆλον.

Th 98h A 2 Ξa βρετέων] τῶν εἰδώλων τῶν θεῶν.

Th 98i PY βρετέων] ξοάνων.

Th 98j YaYb βρετέων] τῶν ἀγαλμάτων.

Th 98k

A 2 PTΞa βρετέων] εἰδώλων.

Th 98l AbNaOθTVXYa βρετέων] συνίζησις.

Th 98m F pc ἔχεσθαι] ἅπτεσθαι.

Th 98n A 2 AbCDHaNaPPdR 1 VXYaΞa ἔχεσθαι] ἅπτεσθαι ἐπὶ δεήσει.

Th 98o θT 〈τί μέλλομεν〉 ] τί ἑστῶτες στενάζομεν καὶ οὐχ ἱκετεύομεν; M μέλλομεν] βραδύνομεν καὶ οὐχ ἱκετεύομεν.

Th 99b BP μέλλομεν] βραδύνομεν.

Th 99c A 2 AbCHNaR 1 TVX 2 YYaΞa μέλλομεν] ἀργοῦμεν.

Th 99d θ ἀγάστονοι] ἤτοι αἱ ὑπὸ τοῦ στόνου ἀγόμεναι καὶ κατεχόμεναι.

Th 99e BH VYaYb ἀγάστονοι] πολύστονοι.

Th 99f CNaNcPSjXc ἀγάστονοι] ἄγαν λυπηραί.

Th 99g PPd ἀγάστονοι] ἄγαν στενάζουσαι.

Th 99h AbOR 1 TY ἀγάστονοι] ἄγαν στενάζουσαι μόνον καὶ οὐχ ἱκετεύουσαι.

Th 99i θ ἀγάστονοι] πολλῶν στεναγμῶν ἄξιοι.

Th 99j A 2 Ξa ἀκούε τ ’ ἢ οὐκ ἀκούε τ’· ἐπεὶ ἀγνῶτές εἰσι τοῦτό φασιν· ἆρα φανταζόμεθα ἢ ἀληθῶς ἀκούομεν; I 1 MP 1 PdSjYaYb ἀκούετ’] + οὕτω γράφε διὰ τὸ μέτρον.

Th 100b T ἡμέτερον + ἀκούετ ε· δέον εἰπεῖν οὐκ ἀκούετ’ οὐκ ἀκούετ’, ὁ δὲ οὕτως εἶπε καί ἐστιν ὅμοιον τῷ παρ’ Εὐριπίδῃ λέγουσα μηδὲ δὲ δρῶσα (Hec.

Th 100c 373). οὐ χρὴ οὖν τιθέναι τὸ ἢ εἰς τὸ ἀκούετε καὶ λέγειν ἢ οὐκ ἀκούετε, ἵν’ εἴη ὁ στίχος ἴαμβος τρίμετρος. καὶ τούτου γὰρ χωρὶς ὑγιὴς ὁ λόγος τυγχάνει· διὸ καὶ ἐξεβλήθη παρ’ ἐμοῦ. καὶ τὸ ἕξομεν δὲ εἰς τὸ ἀμφὶ λιτάν οὐκ ἦν ἔν τινι τῶν ἄγαν παλαιῶν ἀντιγράφων· διὸ ἐξεβλήθη καὶ τοῦτο. χρὴ δὲ λαμβάνειν τοῦτο κατὰ κοινὸν ἀπὸ βρετέων ἔχεσθα ι. T κτύπον] ἦχον. [5]

Th 100d AbHa πέπλων καὶ στε ( φέω ν)· πότε στέφη ῥίψομεν καὶ πέπλους ἐπὶ γῆς ἢ νῦν, τραπεῖσαι ἐπὶ λιτανείαν τὴν περὶ ἡμῶν αὐτῶν καὶ τῆς πόλεως· παρετίθεσαν γὰρ καὶ πέπλους· ἐνέδυον γὰρ καὶ πέπλους τὰ ἀγάλματα.

Th 101a Ὅμηρος· πέπλον ὅστις τοι χαριέστατος (Z 271). M πέπλων καὶ στεφέω ν· πότε ἕξομεν καὶ ἀψόμεθα τῶν πέπλων καὶ τῶν στεφάνων τῶν θεῶν, εἰ μὴ νῦν αὐτῶν ἐπιλαβώμεθα περὶ τὴν λιτὴν τὴν περὶ ἡμῶν τῆς πόλεως.

Th 101b BCDHI 2 NcNdP 1 PdSjXXaXcY YaYb τινὲς δέ· πότε τῶν πέπλων καὶ τῶν στεφάνων τῶν ἡμετέρων καὶ κεφαλοδεσμίων ἁψόμεθα, καὶ ταῦτα ῥήξασαι καὶ πρὸς τὴν γῆν κάτωθεν ῥίψασαι ὀλοφυρμὸν αὐταῖς περιθήσομεν, εἰ μὴ νῦν περὶ τὴν λιτήν.

Th 101c CI 2 Nc NdP 1 PdSjXXaYYaYb ἄλλως· τραπεῖσαι ἐπὶ λιτανείαν τὴν περὶ ἡμῶν αὐτῶν καὶ τῆς πόλεως· παρετίθεσαν γὰρ πέπλους.

Th 101d καὶ Ὅμηρος· πέπλος δ ’ ὅστις τοι χαριέστατος ἠδὲ μέγιστος (Z 271). NcP 1 PdSjYaYb ὁ μέντοι ὀκτάσημος ῥυθμὸς οὗτος πολύς ἐστιν ἐν τραγῳδίᾳ καὶ ἐπιτήδειος πρὸς θρήνους καὶ στεναγμούς· ἔστι δὲ δοχμιακά.

Th 101e ὅμοιον τὸ πόλεμος αἴρεται πρὸς ἐμὲ καὶ θεοὺς παρὰ Ἀριστοφάνει ἐν Ὄρνισιν (1189), ἀλλὰ καὶ παρ’ Εὐριπίδῃ· ἐγὼ δὲ οὔτε σοι πυρὸς ἀνῆψα φῶς νόμιμον ἐν γάμοις (Ph. 344). I 1 MNcVYaYb πέπλων] πέπλοις γὰρ ἐνέδυον τὰ ἀγάλματα καὶ στεφάνοις ἐστεφάνουν. [5]

Th 101f PPdR 1 YaYb πέπλων] τῶν ἱματίων.

Th 101g AbHa πέπλων] τῶν ἐν τοῖς ἀγάλμασιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 101h θT στεφάνων] ἢ τῶν θεῶν ἢ τῶν ἡμετέρων κεφαλοδεσμίων.

Th 101i HaYaYb στεφέων] τῶν στεφάνων τῶν θεῶν.

Th 101j BPV στεφέων] τῶν περὶ αὐτὰ στεφάνων.

Th 101k θT πότ'] ἁψόμεθα.

Th 101l BCTXc πότ'] ἕξομεν.

Th 101m θ ἀμφὶ λιτὰν] τὴν περὶ ἡμῶν λιτανείαν ἢ πολυπαράκλητον.

Th 102a M ἀμφὶ λιτὰν] λάβομεν λιτὴν ἀμφὶ τῶν πέπλων καὶ τῶν στεφέων.

Th 102b X ἀμφὶ λιτὰν] περὶ παράκλησιν.

Th 102c HaNaPθTV ἕξομεν] ἁψόμεθα.

Th 102d A 2 AbBDHHaNaPPdQR 1 YYaΞa ἕξομεν] κρατήσομεν.

Th 102e CXc ἕξομεν] οἱονεὶ διατεθῶμεν.

Th 102f ὁ γὰρ περί τι διατεθεὶς ἄντικρυς τοῦτο κατέχει. θ τὸ ἕξομεν οὕτω νόει ὡς ἐντὸς ἔφημεν (sch.

Th 102g 102f) συνάπτων πρὸς τὸ ἀμφὶ λιτάν, τὸ δὲ ἀμφὶ λιτὰν πρὸς τὸ πέπλων καὶ στεφέω ν· χρῶνται δὲ τούτῳ καὶ εἰς τοιαύτην σημασίαν καὶ οἱ ῥήτορες καὶ μαρτυρεῖ Λουκιανὸς λέγων· ἐπεὶ ἀμφὶ πλοῦν εἴχομεν (Menipp. 7). ἀγνοοῦντες δέ τινες τὸ ἕξομεν ἀντὶ τοῦ ἑξόμεθα λέγουσι συνάπτοντες πρὸς τὸ πέπλω ν. ἔθος δὲ ἦν τοῖς παλαιοῖς ὁπότε ἱκέτευον τοὺς αὐτῶν θεοὺς ἐν χερσὶν ἔχειν τοὺς αὐτῶν πέπλους καὶ στεφάνους καὶ διὰ τούτων αὐτοὺς ἐξιλεοῦσθαι. θT μετήγαγε τὰς αἰσθήσεις πρὸς τὸ ἐνεργέστερον. [5]

Th 103a καὶ Ὅμηρος νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει (Epicharm. fr. 249 K.), καὶ ὡς τὸ ἤκουσας ὁ κόραξ οἷον ἦλ θ ' ἐξ Ὠρεοῦ (Ar. Pax 1125). NcP 1 PdSjVYaYb κτύπον δέδορκ α· μετήγαγε τὰς αἰσθήσεις πρὸς τὸ ἐναργέστερον ὡς τὸ ἤκουσας ὁ κόραξ οἷος ἦλ θ ' ἐξ Ὠρεοῦ (Ar.

Th 103b Pax 1125). I 1 M αἴσθησις ἀντὶ αἰσθήσεως.

Th 103c A 2 AbHaOXcYaΞa ἤγουν τὴν ἀκοὴν ἀντὶ τῆς ὁράσεως.

Th 103d A 2 Ξa δέδορκα] ἀκούω.

Th 103e AbBCHNaOPSjVXc δέδορκα] αἰσθάνομαι.

Th 103f HaPPdYaYb δέδορκα] εἰς νοῦν λαμβάνω.

Th 103g YaYb δέδορκα] κατανοῶ τοῖς τοῦ νοῦ ὀφθαλμοῖς.

Th 103h DYb δέδορκα] βλέπω.

Th 103i XYb δέδορκα] κατανοῶ· ὁ γάρ τι κατανοῶν ὁρᾷ τοῦτο τοῖς τοῦ νοῦ ὀφθαλμοῖς.

Th 103j θT πάταγος] ἀπὸ τοῦ πατῶ καὶ τοῦ ἄγω τὸ συντρίβω.

Th 103k BDH πάταγος] ἦχον.

Th 103l AbV πάταγος] θόρυβος.

Th 103m YaYb πάταγος] κτύπος.

Th 103n CHNaNcθT οὐχ ἑνὸς δορός] ἀλλὰ πολλῶν.

Th 103o AbCHHaOPPdTXc ἑνὸς δορός] μιᾶς αἰχμῆς.

Th 103p LcNaRaSjTX 2 τί ῥέξει ς· τί ποιήσεις, παλαίχθον Ἄρης; προδώσεις ἡμᾶς εἰς χεῖρας ἐχθρῶν; τὸ δὲ παλαίχθον; ὦ ἐκ παλαιοῦ κληρωσάμενος τήνδε τὴν γῆν.

Th 104a τιμᾶται γὰρ παρὰ Θηβαίοις ὁ Ἄρης· διὸ καὶ Ἄρειον τεῖχος καὶ Ἀρειτρὰς κρήνη παρ' αὐτοῖς. BDHI 2 NcP 1 PdSjVXXcYYaYb τί ῥέξεις] τί ποιήσεις; BPPdRbVYb ῥέξεις] ποιήσεις.

Th 104c AbCHHaNaθTYYa ῥέξεις] πράξεις.

Th 104d A 2 PR 1 Ξa προδώσεις] τοῖς ἐχθροῖς.

Th 104e T παλαίχθων Ἄρη ς· ἐκ πολλοῦ κληρωσάμενος τήνδε τὴν γῆν.

Th 104f τιμᾶται γὰρ παρὰ Θηβαίοις ὁ Ἄρης καὶ Ἄρειον τεῖχος καὶ Ἀρητιὰς κρήνη παρὰ αὐτοῖς. Ἀττικῶς δὲ τῇ κλητικῇ ὦ Ἄρης. M οἱ δὲ γρ.

Th 104g ὦ Ἄρ η. ἱερὰ δὲ ἡ Θήβη τοῦ Ἄρεως ἄνωθεν. ἔστιν οὖν παλαίχθων ὁ πάλαι τὴν γῆν κατέχων. M παρὰ Θηβαίοις ὁ Ἄρης τιμᾶται.

Th 104h Ἁρμονία γὰρ ἡ τούτων προμήτωρ Ἀφροδίτης καὶ Ἄρεος ἦν παῖς. καλεῖται δὲ ἐνταῦθα καὶ Ἄρειον τεῖχος καὶ Ἀρειτρὰς κρήνη ἣν ὁ Ἄρης τηρεῖ καὶ ἐπισκοπεῖ. A 2 θTΞa παλαίχθων] ἔκπαλαι τῇ χθονὶ ἡμῶν τιμώμενος καὶ συνέχων αὐτήν.

Th 104i CDHPPd παλαῖχθον] ὦ ἐκ παλαιοῦ κληρωσάμενε τήνδε τὴν γῆν.

Th 104j BH παλαίχθων] ὁ πάλαι καὶ ἐξ ἀρχῆς τὴν τῶν Θηβαίων χθόνα λαχὼν εἰς οἴκησιν.

Th 104k θT παλαίχθων] ὁ πάλαι οἰκήσας ἐνταῦθα.

Th 104l A 2 Ἄρης] Ἀττικὸν τὸ κλητικὸν ὦ Ἄρης.

Th 105a οἱ δὲ γράφουσιν ὦ Ἄρ η. ἱερὰ δὲ ἐν τῇ Θήβῃ τοῦ Ἄρεος. VYaYb Ἄρης] τὸ Ἄρης Ἀττικόν.

Th 105b οἱ δὲ γράφουσιν Ἄρ η. διότι τοῦ Ἄρεως καὶ τῆς Ἀφροδίτης ἡ Ἁρμονία θυγάτηρ ἐγένετο, ἧς ἀνὴρ ὁ Κάδμος. DYaYb Ἄρης] Ἀττικὸν τὸ κλητικὸν ὦ Ἄρης.

Th 105c P 1 PdSj τεὰν γᾶν] τὴν σὴν γῆν.

Th 105d SjTXc τεὰν γᾶν] τὴν ἰδίαν πόλιν δηλονότι.

Th 105e θ τεὰν] συνίζησις.

Th 105f F pc χρυσοπήληξ] ὁ ἔχων χρυσῆν περικεφαλαίαν.

Th 106a BCHPPdY χρυσοπήληξ] χρυσῆν πήληκα ἔχων.

Th 106b A 2 AbHaV χρυσοπήληξ] χρυσῆν περικεφαλαίαν ἔχων.

Th 106c θTYa τὰν τεά ν· τὴν σὴν πόλιν, ἤτοι τὰς Θήβας, ἔπιδε ἤτοι ἐπιτήρησον καὶ φύλαξον, ὦ θεέ, ἤτοι ὦ Ἄρης χρυσοπήληξ καὶ χρυσῆν περικεφαλαίαν ἔχων, ἥντινα, δηλονότι τὴν ἡμετέραν πόλιν, ποτὲ ἔθου πεφιλημένην.

Th 106-107 BCDHNcNdP 1 PdSjXXaXcYYb ἠθικὸν τὸ δὶς ἀναφωνῆσαι· δειλίαν γὰρ ἐμφαίνουσι διὰ τούτου.

Th 106d CI 1 MNcNdP 1 VXaYb ἔπιδ’] ἐπίβλεψον.

Th 106e AbHaV ἔπιδ’] ἤτοι εὐμενῶς βλέψον.

Th 106f θT ἣν] ἥν ποτε ἔθου εὖ πεφιλημένην.

Th 107a MPPdYa εὐφιλήταν] πεφιλημένην.

Th 107b AbBI 1 NaX εὐφιλήταν] προσφιλῆ.

Th 107c BCHNcXc εὐφιλήταν] εὖ φιλουμένην.

Th 107d DYb εὐφιλήταν] ἀγαπητήν.

Th 107e OθV εὐφιλήταν] καλῶς φιλουμένην, ἀγαπητήν.

Th 107f T εὐφιλήταν] φίλην.

Th 107g A 2 Ξa ἔθου] ἐποίησας.

Th 107h A 2 CDHHaNaNcTΞa θεοὶ] συνίζησις.

Th 109a T πολισσοῦχοι] οἱ συνέχοντες τὴν πόλιν.

Th 109b AbHHaXYaYb πολισσοῦχοι] φύλακες.

Th 109c

A 2 OPPdQ πολισσοῦχοι] οἱ φυλάσσοντες τὴν πόλιν.

Th 109d CP πολισσοῦχοι] οἱ τὴν πόλιν καὶ τὴν περὶ αὐτὴν γῆν συνέχοντες.

Th 109e θT ἴ θ ’ ἴτ ε· τινὲς δὲ ἴτε ἴτε φασίν· διὰ τὸ κακόφωνον εἶναι τὸ τ προσετέθη τὸ θ· ἄλλοι δὲ τὸ ἴ θ ’ ἑνικῶς πρὸς τὸν Ἄρην ἀποτείνουσι, τὸ δὲ ἴτε πρὸς τοὺς θεούς.

Th 109f ὁ δὲ νοῦς τῶν ἐπῶν ἐστι τοιοῦτος· ἔλθετε, ὦ θεοὶ σύμπαντες, ἴδετε καὶ θεάσασθε τὸν ἱκέσιον λόχον τῶν παρθένων, ἤγουν τὸ πλῆθος καὶ τὴν συνάθροισιν τὴν ἱκετεύουσαν ὑμᾶς ὑπὲρ τοῦ μὴ γενέσθαι δούλας αὐτὰς τοῖς ἐχθροῖς. BCDHNcNdP 1 PdSjVXXaXc YYaYb τὸ μὲν ἴθι πρὸς τὸν Ἄρην, τὸ δὲ ἴτε πρὸς τοὺς λοιποὺς θεούς. [5]

Th 109g A 2 P 2 PdTΞa ἴθ’] ἔλθετε.

Th 109h BH ἴτε] ἔλθετε.

Th 109i HaNaPYa σαφὲς ἐνταῦθα ὅτι ἐκ παρθένων ἐστὶν ὁ χορός.

Th 110a ἐπίδετε, φησίν, ἡμᾶς ἱκετευούσας τρόπον δούλων. ἱκετεύομεν γὰρ ὑπὲρ τοῦ μὴ εἰς δουλείαν ἀχθῆναι. I 1 MNc ἴδετε] θεάσασθε.

Th 110b BCHaPYa ἴδετε] + ἴδετε τὸν λόχον καὶ τὸ σύστημα τῶν παρθένων.

Th 110c T παρθένων] ἡμῶν.

Th 110d PθT ἱκέσιον] ἱκετικόν.

Th 111a HaNaX ἱκέσιον] τὸν ἱκετεύοντα.

Th 111b CXc ἱκέσιον] παρακλητικόν.

Th 111c CPθTYaYb σύναπτε τὸ ἱκέσιον πρὸς τὸ δουλοσύνας ὕπε ρ.

Th 111d A 2 θTΞa φόβῳ δουλείας ἱκετευούσας.

Th 111e M + τὸν ἱκετεύοντα ὑπὲρ τοῦ μὴ δουλεῦσαι.

Th 111f T λόχον] τὸ πλῆθος.

Th 111g A 2 AbBCDHHaMNaNcPPdR 1 YYaYb λόχον] συνέδριον, ἀγοράν.

Th 111h θ λόχον] ἤγουν τὸ σύστημα.

Th 111i T δουλοσύνας ὕπερ] ὑπὲρ τοῦ μὴ εἰς δουλείαν ἀχθῆναι.

Th 111j DYaYb δουλοσύνας ὕπερ] ἤγουν ὑπὲρ τοῦ μὴ δουλεῦσαι.

Th 111k θ δουλοσύνας] δουλείας.

Th 111l PdθV κῦμα γὰρ δοχμολόφων ἀνδρῶν περὶ τὴν πόλιν καχλάζει ταῖς πνοαῖς ταῖς πεμπομέναις τοῦ στόματος αὐτῶν καὶ τῶν ῥινῶν ἔξωθεν.

Th 114-115a δοχμολόφων δὲ τῶν ἐπινευόντων τοὺς λόφους, ἤτοι τὰ κράνη αὐτά· ἐν γὰρ τῇ κινήσει συμβαίνει πλαγιάζεσθαι τοὺς λόφους. BCDHNcNdVX XaXcYYaYb κῦμα γὰρ δοχμολόφων ἀνδρῶν περὶ πτόλιν καχλάζει· ταῦτα τροπικῶς εἶπεν, ἤτοι ὀργὴ καὶ θυμὸς τῶν δοχμολόφων ἀνδρῶν καχλάζει ταῖς πνοαῖς καὶ ταῖς καταιγίσι τοῦ Ἄρεος διεγειρόμενον. [5]

Th 114-115b δοχμολόφων δὲ τῶν ἐπινευόντων τοὺς λόφους ἤτοι τὰ κράνη αὐτῶν· ἐν γὰρ τῇ κινήσει συμβαίνει πλαγιάζεσθαι τοὺς λόφους. ἄλλοι δὲ δοχμολόφων φασὶ διότι οἱ πολεμοῦντες κόρυθας ἐν τῇ κεφαλῇ ἐπεφέροντο τρεῖς λόφους ἐχούσας νεύοντας τῇδε κἀκεῖσε. αἱ δὲ κόρυθες ἐλέγοντο καὶ τρυφάλειαι. P 1 PdSj ἄλλως· κῦμα γά ρ· σάλος καὶ θόρυβος δοχμολόφων καὶ πολεμικῶν ἀνδρῶν ταρασσομένων καὶ διεγειρομένων ταῖς πνοαῖς τοῦ πολέμου καχλάζει καὶ ἀναβράζει καὶ ἀνάπτεται περὶ τὴν πόλιν. [5]

Th 114-115c NcP 1 YYa κῦμα] πλῆθος, σύρροια.

Th 114a AbCDFdHaPPdSjVYaYb κῦμα] ὄχλησις.

Th 114b NaP δοχμολόφω ν· τῶν ἐπινευόντων τοὺς λόφους· ἐν γὰρ τῇ κινήσει συμβαίνει πλαγιάζεσθαι τοὺς λόφους.

Th 114c ἢ τῶν κορυθαιόλων· Ὅμηρος· κορυθαίολος Ἕκτωρ (B 816 et al.). τὸ γὰρ κινούμενον κράνος δόχμιον τῇδε κἀκεῖσε γίνεται. ἡ δὲ κίνησις κατηγορεῖ τοῦ ἐμπράκτου. δοχμολόφων οὖν τῶν ἐπινευόντων τοῖς λόφοις. M πλαγιαζόντων καὶ ἐπινευόντων τοὺς λόφους ἐν τῇ κινήσει.

Th 114d καὶ Ὅμηρος· κορυθαίολος Ἕκτωρ (B 816 et al.). καὶ κορυθάικι πολεμιστῇ (X 132). τὸ δὲ κινούμενον ἐν πολέμῳ κράνος δόχμιον τῇδε κἀκεῖσε φέρεται. ἡ δὲ κίνησις κατηγορεῖ τὸ ἔμπρακτον. I 1 ἢ δοχμολόφων τῶν κορυθαιόλων.

Th 114e καὶ Ὅμηρος· κορυθαίολος Ἕκτωρ (B 816 et al.)· τὸ γὰρ κινούμενον κράνος τῇδε κἀκεῖσε δόχμιον γίνεταί τε καὶ λέγεται, ἡ δὲ κίνησις κατηγορεῖται τοῦ ἐμπράκτου. ἄλλοι δὲ δοχμολόφων φασὶν διότι οἱ πολεμοῦντες κόρυθας ἐν τῇ κεφαλῇ ἐπεφέροντο τρεῖς λόφους ἐχούσας νευούσας τῇδε κἀκεῖσε, αἳ κόρυθες λέγονται καὶ τρυφάλειαι. CNcNdVXaYYaYb δοχμολόφων] ὁπλιτῶν τῶν πλαγιαζόντων τὴν πήληκα.

Th 114f PPdYaYb δοχμολόφων] τῶν πλησιαζόντων τῆς πόλεως.

Th 114g DY δοχμολόφων ἤτοι τῶν ἐχόντων τοὺς λόφους δοχμίους ἐν τῷ κινεῖσθαι.

Th 114h λόφος δέ ἐστιν ἡ λεγομένη ἵππουρις ἣν ἄνω τοῦ κράνους πηγνύουσιν. A 2 θΞa δοχμολόφων] τῶν ἐχόντων πλαγίως ἐπινεύοντας τοὺς λόφους.

Th 114i T δοχμολόφων] τῶν ἐχόντων λόφους δοχμίους ἤτοι πλαγίους.

Th 114j τοῦτο δὲ εἴρηται διὰ τὰς ἱππείας τρίχας ἅστινας ἔβαλλον εἰς τοὺς λόφους. A 2 Ξa καχλάζε ι· ταῖς πνοαῖς τῶν ἀνδρῶν καχλάζει ὥσπερ κῦμα.

Th 115a I 1 M καχλάζει δὲ οὐ βορέου ἢ νότου πνοῇ, ἀλλὰ τῇ τοῦ Ἄρεως.

Th 115b I 1 M καχλάζει] ἀναβράζει.

Th 115c PPdR 1 XcYYaYb καχλάζει] βοᾷ.

Th 115d CFdNaPQ καχλάζει] ἀνάπτεται.

Th 115e AbHa καχλάζει] ἠχεῖ.

Th 115f BHPθTV πνοαῖς] ὁρμαῖς, κινήσεσιν.

Th 115g T ὀρρόμενον] κινούμενον.

Th 115h BHOVXcYYaYb ὀρρόμενον] ταρασσόμενον.

Th 115i AbPYaYb ὀρρόμενον] διεγειρόμενον, κινούμενον.

Th 115j A 2 CHaPPdTYb ὀρρόμενον] διεγειρόμενον.

Th 115k AbNaNbNcP γρ QR 1 θX ἀλ λ ' ὦ Ζεῦ πάτε ρ· ἀλλ' ὦ Ζεῦ πάτερ, ὁ πάντα ποιῶν καὶ ἐξάγων εἰς τέλος—τοῦτο γάρ ἐστι τὸ παντελές—ἄρηξον καὶ βοήθησον εἰς τὴν ἀπὸ τῶν πολεμίων ἅλωσιν τῆς ἡμῶν δηλονότι πόλεως, μή πως ἁλῷ· οἱ γὰρ Ἀργεῖοι τὴν πόλιν ἤτοι τὰς Θήβας περικυκλοῦσιν.

Th 116-121 φόβος δὲ ἡμῖν ἀπὸ τῶν πολεμικῶν ὅπλων ἐγγίνεται. BCDHNdP 1 PdSjVXXa XcYYb παντελές] πάντων ἔχων τέλος.

Th 116a M παντελές] ὁ τὰ πάντα πληρῶν.

Th 116b HaNaPPdYaYb πάντων ἔχων τέλος ἤγουν ὁ πάντως ἡμῖν βοηθὸς ὥστε μὴ ἁλῶναι ὑπὸ τῶν πολεμίων.

Th 116c I 1 παντελές] ὁ πάντα ποιῶν καὶ ἐξάγων εἰς τέλος.

Th 116d BCFdHXc παντελές] ὁ πάντα τελῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 116e NbR 1 SjY παντελές] παντέλειε.

Th 116f TXY τὸ παντελὲς ἢ πρὸς τὸ Ζεὺς νοητέον οὕτως· ὦ Ζεῦ παντελές, ἤτοι ὁ πάντα τελῶν ἢ ὁ κατὰ πάντα τέλειος, ἢ πρὸς τὸ ἄρηξον οὕτως· ἄρηξον παντελές, ἤτοι διόλου.

Th 116g θT παντελές] πάντως.

Th 116h FFcKLh παντελές] τέλειε, ἀπροσδεές.

Th 116i A 2 πάντως {καὶ} ἡμῖν βοήθησον, ὥστε μὴ ὑπὸ τῶν πολεμίων ἅλωσιν γενέσθαι.

Th 118a M πάντως] ἀληθῶς.

Th 118b θT ἄρηξον] βοήθησον ἡμῖν.

Th 118c BCHaNaPPdSjVXYYa ἄρηξον] ἀποσόβησον.

Th 118d A 2 DR 1 ἄρηξον] βοήθησον ἡμῖν εἰς τὸ μὴ ἁλωθῆναι ὑπὸ τῶν πολεμίων.

Th 118e DXc ἄρηξον] βοήθησον ἡμῖν, ἀποσόβησον τὴν τῶν πολεμίων καταστροφήν.

Th 118f θT δαΐων] πολεμίων.

Th 118g BCHNaNcOSjV δαΐων] πολεμικῶν.

Th 118h YaYb ἅλωσιν] τὴν πόρθησιν.

Th 118i A 2 CPSjVYa ἅλωσιν] τῆς ἡμῶν δηλονότι πόλεως.

Th 118j PYa πόλισμα] ἤγουν τὰς Θήβας.

Th 120a BNaPYa πόλισμα] κτίσμα.

Th 120b YaYb πόλισμα] τὴν πόλιν.

Th 120c A 2 BCHaPTΞa κυκλοῦνται] περικυκλοῦσι.

Th 121a AbBPTYa τοῦτο ἀεὶ παθητικῶς γράφεται, ὡς καὶ Εὐριπίδης· πόνοι γὰρ καὶ πόνων ἀνάγκαι κρείσσονες κυκλοῦνται (Hec.

Th 121b 639), καὶ Σοφοκλῆς· πολλαὶ κυκλοῦνται νύκτες ἡμέραι τ ’ ἴσαι (El. 1365). AbHa κυκλοῦνται] κυκλοῦσι.

Th 121c CHNcθVXcY κυκλοῦνται] πολιορκοῦσι.

Th 121d A 2 φόβος δ ’ ἀρηίω ν· λείπει ἡ ὑπό· ὁ ὑπὸ τῶν ἀρηίων ὅπλων φόβος ταράσσει.

Th 121e I 1 M φόβος] ἐγγίνεται.

Th 121f BXYa φόβος] ἡμῖν.

Th 121g A 2 BDOPPdθTYYa ἀρηίων] πολεμικῶν.

Th 121h BCHaNaNcQR 1 θTVXcYYaYb διαδέτοι γενύω ν· θρηνοῦσιν ἡμῶν τὴν ἀναίρεσιν οἷον προφωνοῦσιν οἱ ἐν ταῖς γένυσι τῶν ἵππων χαλινοί.

Th 122a I 1 M διάδετοι γενύων ἱππείω ν· οἱ χαλινοὶ οἱ διάδετοι καὶ κρεμάμενοι τῶν ἱππικῶν γενύων καὶ στομάτων κιννύρονται φόνον, ἤτοι ἦχόν τινα φονικὸν καὶ φονεργάτην πέμπουσιν.

Th 122b γράφεται καὶ διὰ δέ τοι καὶ συντάσσεται οὕτως· οἱ διὰ τῶν ἱππείων δέ τοι γενύων χαλινοί. BCHNc NdP 1 PdSjVXXaYYaYb διάδετοι] διὰ τῶν γενύων τῶν ἱππικῶν οἱ χαλινοὶ κινύρονται. [5]

Th 122c X διάδετοι] κρεμάμενοι.

Th 122d BCHPdVYb διάδετοι] πανταχόθεν δεδεμένοι ἱμάσιν.

Th 122e θT διάδετοι] οἱ συνδεδεμένοι· ταὐτὸν δὲ εἰπεῖν οἱ ἐμβεβλημένοι τοῖς στόμασι τῶν ἵππων.

Th 122f A 2 γενύων] στομάτων.

Th 122g

Eulogikon public reading copy · View original HTML at eulogikon.org

BCHNaPθTVXcYaYb ἱππείων] ἱππικῶν.

Th 123a BPPdθTV κιννύρονται] βοῶσι, μηνύουσιν, ἠχοῦσιν.

Th 123b DNcPdYaYb κινύρονται] πέμπουσι, σημαίνουσι.

Th 123c BH κιννύρονται] ἀπηχοῦσι.

Th 123d HaNaP κιννύρονται] ἠχοῦσιν.

Th 123e OθTXc κιννύρονται] ἠχοῦσιν ἤγουν διὰ τοῦ ἤχου ποιοῦσι φόβον.

Th 123f A 2 R 1 Ξa ἑπτὰ δ ’ ἀγήνορε ς· ἑπτὰ πύλας εἶχεν ἡ πόλις αὕτη αἱ Θῆβαι, ὅθεν καὶ ἑπτάπυλος ὀνομάζεται πρὸς ἀντιδιαστολὴν τῶν Αἰγυπτίων Θηβῶν· ἐκεῖναι γὰρ ἑκατοντάπυλοί εἰσιν.

Th 123g φησὶν οὖν ὅτι ἑπτὰ πρέποντες τοῦ στρατοῦ, ἤτοι ὑπερέχοντες τῶν Ἀργείων στρατηγοί, ὑπερήφανοι καὶ αὐθάδεις, προσίστανται ταῖς ἑπτὰ τῆς πόλεως πύλαις, ἤτοι ἀνὰ ἑκάστην πύλην εἷς στρατηγός, ἀπὸ κλήρου λαχόντες, ἣν ἕκαστος ἔμελλε πύλην λαβεῖν. BHNcNdP 1 PdSjVXYYaYb ἀγήνορες] αὐθάδεις. [5]

Th 123h BHNcP ἀγήνορες] στρατηγοί.

Th 123i BFdNcQ ἀγήνορες] ἡγεμόνες.

Th 123j CDYaYb ἀγήνορες] ἄνδρες.

Th 123k A 2 CP ἀγήνορες] ἄγαν ἀνδρεῖοι.

Th 123l A 2 DNaNbPPdR 1 TXXcYaYb πρέποντες] ὑπερέχοντες.

Th 124a BHMNcQV πρέποντες] προέχοντες.

Th 124b DHaNaPPdR 1 YYaYb πρέποντες] εὐπρεπεῖς.

Th 124c PV πρέποντες] ἔξοχοι· πρέπουσι γὰρ ἐν τοῖς ἄλλοις οἱ ἔξοχοι καὶ προὔχοντες.

Th 124d A 2 θTΞa δορυσσόοις δὲ ταῖς διὰ τοῦ δορὸς σούσαις καὶ κινούσαις εἰς φόβον τοὺς πολεμίους.

Th 125a τὸ δὲ σαγαῖς ἀντὶ τοῦ πανοπλίαις. CNcNdP 1 PdSj VXa δορυσσόοις· ταῖς διὰ τῶν δοράτων σῳζούσαις πανοπλίαις.

Th 125b DI 1 MX δορυσσόοις] ἐν ὁπλίσμασιν ἱππικοῖς.

Th 125c BHNc δορυσσόοις] σῳζούσαις τοὺς αὐτὰς φοροῦντας.

Th 125d BH δορυσσόοις] ταῖς διὰ τοῦ δορὸς σούσαις καὶ κινούσαις εἰς φόβον τοὺς πολεμίους.

Th 125e NaNdYaYb γράφεται καὶ δορυσσοσαγεῖς ἤγουν ὡπλισμένοι.

Th 125f P 1 Pd δορυσσόοις] πολεμικοῖς.

Th 125g A 2 AbHaPPdθ δορυσσόος πανοπλία ἡ ἐν τῷ δορὶ καὶ τῷ πολέμῳ σώους διατηροῦσα τοὺς ἔχοντας.

Th 125h A 2 θTΞa δορυσσόοις] πολεμικαῖς, εἰς πολέμους ὁρμώσαις.

Th 125i T σαγαῖς] πολεμικαῖς πανοπλίαις.

Th 125j M σαγαῖς] πανοπλίαις.

Th 125k CDHaOPQR 1 θTVXcYYaYb σαγαῖς] ὅπλοις.

Th 125l A 2 ἀριθμητικὸν ἀντὶ τοῦ ἀριθμοῦ τοῦ ἑπτά, οὗ τὸ ἀνάπαλιν ἐν τῷ πρῶτος δύο τρεῖς· ἀριθμὸς γὰρ ἀντὶ τοῦ ἀριθμητικοῦ τοῦ δεύτερος τρίτος.

Th 126a I 1 ἑβδόμαις] ἀντὶ τοῦ εἰπεῖν ἑπτὰ εἶπε τὸ ἑβδόμαις· τὸ γὰρ ἕβδομον ἐπὶ ἑνὸς τιθέαμεν.

Th 126b XcYaYb τὸ δὲ πύλαις ἑβδόμαις ἐστὶ σολοικοφανές· πρὸς γὰρ τὸ ἑπτὰ λοχαγοὶ καὶ πύλας ἑπτὰ εἰπεῖν ὤφειλεν, ὥσπερ ὁ Πλάτων εἴρηκε (Tim.

Th 126c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

17 al): ἓν δύο τρία · ὁ δὲ τέταρτος πο ῦ, ὀφείλων εἰπεῖν πρὸς τὰ οὐδέτερα πάλιν οὐδετέρως καὶ τέταρτον ποῦ· ὅμως δ' οὖν οὐ παραβλέπτειν ἐστίν. X ἑβδόμαις] ἑπτά. [5]

Th 126d CMPPdVXc παρίστανται· ἡ δὲ νῦν χρῆσις ἐπὶ ἐμποδίου τίθησι τὴν λέξιν.

Th 126e I 1 προσίστανται] πλησίον ἵστανται.

Th 126f FdHaNaPPd προσίστανται] + πρὸς ταῖς πύλαις ἵστανται, ἤγουν ἐν ταῖς πύλαις.

Th 126g T πάλῳ λαχόντες] λαχμῷ λαχόντες τὰς πύλας.

Th 126h M πάλῳ] κλήρῳ.

Th 126i A 2 BCHHaNcOPPdθTVXYYaYbΞa λαχόντες] κληρωσάμενοι.

Th 126j BC λαχόντες] εὑρόντες.

Th 126k DYaYb λαχόντες] ἀπὸ κλήρου σχόντες.

Th 126l HaNa λαχόντες] τοῦτο δηλονότι.

Th 126m TY λαχόντες] κληρωθέντες.

Th 126n A 2 HΞa σὺ δὲ ὦ διογενέ ς· πρὸς τὴν Ἀθηνᾶν καὶ τὸν Ἀπόλλωνα ταῦτά φησιν ὁ χορὸς εἰς βοήθειαν τῆς πόλεως καλούμενος.

Th 128-129 λέγει οὖν πρὸς τὴν Ἀθηνᾶν· σὺ δὲ ὦ διογενὲς κράτος φιλόμαχον, ἤτοι ὦ Ἀθηνᾶ θεὰ φιλοπόλεμε—ἔστι δὲ τοῦτο περίφρασις—ἡ ἀπὸ τοῦ Διὸς γεννηθεῖσα— ἐκ γὰρ τῆς κεφαλῆς τοῦ Διὸς ἐγεννήθη ἡ Ἀθηνᾶ—γενοῦ ῥυσίπτολις, ἤτοι ῥυσαμένη τὴν ἡμετέραν πόλιν ἀπὸ τῶν ἐχθρῶν. BCHNcNdP 1 Pd SjVWXXaYYaYb σύ τ' , ὦ διογε ( νέ ς)· σύ τε, ὦ κράτος ἐν πολέμοις Ἀθηνᾶ. [5]

Th 128a ὑπὸ δὲ ἀγωνίας οὐχ ἕνα θεὸν ἐπικαλοῦνται, ὡς παρθένοι. καὶ ταῦτα δὲ δοχμικά ἐστιν καὶ ἴσα, ἐάν τις αὐτὰ ὀκτασήμως βαίνῃ. κυρίως δὲ εἶπον βαίνῃ· ῥυθμοὶ γάρ εἰσι. βαίνονται δὲ οἱ ῥυθμοί, διαιρεῖται δὲ τὰ μέτρα, οὐχὶ βαίνεται. M σύ τ', ὦ κράτος ἐν πολέμοις Ἀθηνᾶ. [5]

Th 128b ὑπὸ δὲ ἀγωνίας οὐχ ἕνα θεὸν ἐπικαλοῦνται αἱ παρθένοι. I 1 NcP 1a WYb σύ] περίφρασις.

Th 128c BCXc διογενὲς] ἐκ Διὸς γεννηθέν.

Th 128d CPdθTVX ἢ τὸ φιλόμαχον κράτος ἀντὶ τοῦ φίλον καὶ προσφιλὲς κράτος ἐν ταῖς μάχαις.

Th 128e P 1 PdSj φιλόμαχον] πολεμικὴ γὰρ ἡ Ἀθηνᾶ.

Th 128f DPPdYaYb φιλόμαχον] φιλοπόλεμον.

Th 128g FdPR 1 φιλόμαχον] πολεμικόν.

Th 128h θTV φιλόμαχον] ἡ ἀγαποῦσα τὸν πόλεμον.

Th 128i A 2 ῥυσίπτολις] ἐλευθεροῦσα τὴν πόλιν.

Th 129a CH ῥυσίπτολις] ἐλευθερωτὴς τῆς πόλεως.

Th 129b XcY ῥυσίπτολις] ῥύουσα τὴν πόλιν.

Th 129c YaYb ῥυσίπτολις] ῥυσαμένη τὴν ἡμετέραν πόλιν ἀπὸ τῶν ἐχθρῶν.

Th 129d διάλεκτος ἔνι τῶν Κυπρίων. BV ῥυσίπτολις] ῥυομένη τὴν πόλιν τῶν παρεστώτων.

Th 129e θT ὥσπερ οἱ ἐφιέμενοι λείας ἀγελείαν Ἀθηνᾶν ἐπεβοῶντο, οὕτως οἱ περὶ σωτηρίας πόλεως τὰς χεῖρας ἀνέχοντες ῥυσίπτολιν καὶ ἐρυσίπτολιν Ἀθηνᾶν ἐπεκαλοῦντο, ἤγουν φύλακα τῆς πόλεως ἀπὸ τοῦ ἐρύω τὸ φυλάσσω.

Th 129f A 2 Ξa Παλλὰς] Ἀθηνᾶ.

Th 130a BCNcPPdRbVYYa Παλλὰς] Ἀθηνᾶ διὰ τὸ φονεῦσαι Πάλλαντά τινα.

Th 130b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Xc καὶ σύ, ὁ τῆς θαλάσσης κυριεύων θεὸς Ποσειδών, ἐπίλυσιν τῶν φόβων δίδου, ἤτοι λῦσον τὸν ἐπικείμενον ἡμῖν φόβον καταβαλὼν τοὺς ἐχθροὺς ἐν τῇ τριαίνῃ.

Th 130c BCHNcNdP 1 PdSjVWXXaYYaYb ὅ θ ’ ἵππιο ς· καὶ σύ, ὦ Πόσειδον, ὃς ἀνάσσεις ἐπὶ θήρᾳ ἰχθύων.

Th 130d I 1 M ὅ θ’ ἵππιος] καὶ ὁ ἱππικὸς Ποσειδών.

Th 130e T ὅ θ ’ ἵππιο ς· ἵππειον λέγει τὸν Ποσειδῶνα διὰ τὸ ὕδωρ ταχέως καὶ δίκην ἵππου κινεῖσθαι.

Th 130f ὁ Ποσειδὼν δὲ ὁ τῆς θαλάσσης ἔφορος, ὁ φροντιστὴς καὶ βασιλεύς· θεὸς γὰρ οὗτος τῆς θαλάσσης κρατήσας. YaYb ἵππιον λέγει τὸν Ποσειδῶνα διὰ τὸ ὕδωρ ταχέως καὶ δίκην ἵππου κινεῖσθαι.

Th 130g DP 1a PdXc ἵππιος] πολεμικώτατος.

Th 130h BH ἵππιος] ἱππικός.

Th 130i CRbV ἢ διὰ τὸ τάχος τοῦ ὕδατός φασι τὸν Ποσειδῶνα ἵππιον ἢ διὰ τὸ δωρήσασθαι τῷ Πέλοπι ἅρμα.

Th 130j AbHa ἵππειος] ἱππικὸς ἢ διότι τὸ ὕδωρ ταχύ, ἢ διότι τῷ Πέλοπι πρῶτος τὸ ἅρμα παρέσχεν.

Th 130k θ ἵππιος· ἱππικός· ἔφιππον γὰρ αὐτὸν ἔγραφον ἢ διότι τὸ ὕδωρ ταχὺ ἢ διότι τῷ Πέλοπι πρῶτος ἅρμα παρέσχεν.

Th 130l T ποντομέδων] ὁ ἐν τῷ πόντῳ βασιλεύων.

Th 130m PPd ποντομέδων] ὁ θαλάσσης ἄρχων.

Th 130n NcV ποντομέδων] βασιλεῦ τῆς θαλάσσης.

Th 130o LcRb ποντομέδων] ὁ μέδων καὶ βασιλεύων τοῦ πόντου.

Th 130p T ἰχθυβόλῳ μηχανᾷ] τῇ τοὺς ἰχθῦς τιτρωσκούσῃ τριαίνῃ.

Th 131a DM 1 PPd YaYb μηχανῇ] τῇ τριαίνῃ.

Th 131b A 2 BCHHaI 1 OQR 1 Xc μηχανῇ] τῷ κάμακι ἢ τῇ τριαίνῃ.

Th 131c θ μηχανῇ] + ἤγουν τῇ τοὺς ἰχθύας βαλλούσῃ τριαίνῃ.

Th 131d T Ποσειδᾶν] τιμᾶται παρὰ Θηβαίοις ὁ Ποσειδῶν.

Th 131e M ἐπίλυσιν φό ( βο υ)· πάλιν δὶς εἶπεν τὸ ἐπίλυσι ν.

Th 132a τεταραγμένης δὲ ψυχῆς ταῦτα ἤθη καὶ ἐμφάσεως ἕνεκεν λεγόμενα. I 1 M τὸ δὶς τὰ αὐτὰ ἐπιφωνεῖν τεταραγμένης ψυχῆς ἤθη.

Th 132b DP 2 PdYaYb πάλιν εἶπε τὸ ἐπίλυσι ν· τεταραγμένης γὰρ ψυχῆς ταῦτα τὰ ἤθη καὶ ἐκ φύσεως λελυμένης.

Th 132c X ἐπίλυσιν] τὸ δὶς τὰ αὐτὰ λέγειν παθαινομένης ψυχῆς εἰσιν ἴδια.

Th 132d Xc ἐπίλυσιν 1 ] ἐλευθερίαν.

Th 132e A 2 CHaR 1 TWXcΞa ἐπίλυσιν 1 ] διάλυσιν.

Th 132f VY ἐπίλυσιν 1 ] ἀπαλλαγήν.

Th 132g θT δίδου] ἡμῖν.

Th 132h θ δίδου] δίδοις καὶ παράσχοις.

Th 132i A 2 Ξa Ἄρης] ὦ Ἀττικῶς.

Th 135a BH Ἄρης] ὦ Ἄρης Ἀττικὸν ἀντὶ τοῦ ὦ Ἄρη.

Th 135b YaYb ἐπώνυμον] τὴν ὀνομαζομένην Καδμειακὴν ἀπὸ τοῦ Κάδμου τοῦ σοῦ γαμβροῦ· ἡ γὰρ γυνὴ Κάδμου Ἁρμονία Ἄρεος καὶ Ἀφροδίτης ἐξέφυ.

Th 135c

DP 1 P 2gl Pd τὴν ὀνομαζομένην Καδμειακήν· τὸ δὲ Καδμεῖος ἐπίθετόν ἐστι τοῦ Ἄρεος· Ἁρμονίαν γὰρ τῆς Ἀφροδίτης καὶ Ἄρεος θυγατέρα εἶχεν ὁ Κάδμος.

Th 135d YaYb φεῦ φεῦ] διὰ μέσου τοῦτο.

Th 136a NaPQTXc Κάδμου] Καδμεῖοι γὰρ οἱ Θηβαῖοι.

Th 136b θT Κάδμου] Καδμείαν.

Th 136c A 2 PΞa κήδεσαί τ ' ἐναργῶ ς· κηδεστὴς ἐναργῶς γενοῦ.

Th 137a Ἁρμονίαν γὰρ τὴν Ἀφροδίτης καὶ Ἄρεως εἶχεν Κάδμος. φρόντισον οὖν ἡμῶν καὶ τῆς πόλεως ἐναργῶς. I 1 M κήδεσαι] ἐπιμελήθητι.

Th 137b BCHNcXcYaYb διὰ τὸ συγγενέσθαι ἐκείνῃ τὸν Ἄρην καὶ γεννηθῆναι ἐξ αὐτῆς τὴν Ἁρμονίαν ἥτις ἦν γυνὴ τοῦ Κάδμου.

Th 137c AbHa κήδεσαι] φρόντισον.

Th 137d A 2 HaNaNcPPdQR 1 θTX ἐναργῶς] ἀληθῶς.

Th 137e BHXcYYaYb ἐναργῶς] σπουδαίως.

Th 137f NaP ἐναργῶς] φανερῶς.

Th 137g CPQR 1 θTVW καὶ Κύπρις ἅτε γένους προμάτω ρ· Κύπρις ἡ Ἀφροδίτη λέγεται· ταύτης δὲ καὶ Ἄρεος θυγάτηρ Ἁρμονία ἐγένετο, ἣν ὁ Κάδμος ἔλαβεν εἰς γυναῖκα, ἀφ’ ἧς οἱ ἀπὸ τοῦ Κάδμου πάντες γεγόνασιν.

Th 139-141 φησὶν οὖν ὁ χορὸς πρὸς τὴν Ἀφροδίτην καὶ τὴν ταύτης θυγατέρα Ἁρμονίαν ὅτι βοήθησον ἡμῖν· ἀπὸ γὰρ τοῦ αἵματος τοῦ σοῦ ἐγεννήθημεν ἀντὶ τοῦ ἀπὸ σοῦ καταγόμεθα. BCDHNcNdP 1 PdR 1 SjVWXXaXcYYaYb ὅτι τὸν δράκοντα τὸν ἐν Δελφοῖς ὄντα ὁ Κάδμος ἀπέκτεινε καὶ τοὺς ὀδόντας αὐτοῦ ἔσπειρε καὶ ἀνεφύησαν ἄνθρωποι ἐξ ὧν οἱ Θηβαῖοι. [5]

Th 139a ἢ ὅτι ἡ Ἁρμονία ἡ θυγάτηρ τῆς Ἀφροδίτης ἦν γυνὴ τοῦ Κάδμου· ἀπὸ γὰρ Ἁρμονίας τῆς θυγατρὸς Ἀφροδίτης πάντες οἱ ἐκ Κάδμου. XaYaYb Κύπρις] σὺ ἡ Ἀφροδίτη.

Th 139b CDPdVXcYaYb γένους] τοῦ ἡμετέρου.

Th 140a θYaYb προμήτορα λέγει ταύτην ὅτι ἡ Ἀφροδίτη ἐγέννησε τὴν Ἁρμονίαν ἣν ἔσχε γυναῖκα ὁ Κάδμος.

Th 140b Xc προμάτωρ] ἐξ Ἄρεος γὰρ καὶ Ἀφροδίτης Ἁρμονία ἡ Κάδμου γυνή.

Th 140c A 2 θTΞa ἄλευσον] ἀποδίωξον.

Th 141a BHI 2 NcR 1 Xc ἄλευσον] φύλαξον, ἀποδίωξον καὶ ἀποσόβησον τοὺς ἐχθρούς.

Th 141b DYa Yb ἄλευσον] καὶ δίωξον τοὺς ἐχθρούς.

Th 141c PPd ἄλευσον] βοήθησον.

Th 141d CIHaNaOPVXc ἄλευσον] ἀποσόβησον τὰ παρόντα.

Th 141e QθTX ἄλευσον] ἀποδίωκε.

Th 141f A 2 Ξa αἵματος] γένους.

Th 141g I 2 HaXc αἵματος] τοῦ γένους ἤτοι τῆς Ἁρμονίας τῆς σῆς θυγατρός.

Th 141h θT γεγόναμεν] ἐγεννήθημεν.

Th 141i HaPPdX 2 V λιταῖς] παρακλήσεσι.

Th 142a CθT θεοκλύτοι ς· μεγάλαις ἢ ἐλεειναῖς, δι’ ὧν ὁ θεὸς ἐπικαμφθεὶς ἐπακούσει ἡμῶν.

Th 142b ἢ ὧν δεῖ τοὺς θεοὺς κλύειν. I 1 θεοκλύτοι ς· ἤτοι μεγάλαις, δυναμέναις καὶ μέχρι τοῦ οὐρανοῦ ἀνέρχεσθαι ὥστε ἀκουσθῆναι τοῖς θεοῖς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 142c P 1 Yb θεοκλύτοις] μεγάλαις.

Th 142d I 2 Q θεοκλύτοις] μεγάλαις ἃς καὶ θεὸς ἂν ἀκούσειεν.

Th 142e CDMTYYaYb θεοκλύτοις] ὧν σὺ ἡ θεὸς ἀκούσαις εἰ θέλει.

Th 142f PPd θεοκλύτοις] αἷς ἄνθρωποι τοὺς θεοὺς καλοῦσιν εἰς ἔλεον ἐπικαλούμεναι.

Th 142g θ θεοκλύτοις] ἃς ὀφείλει ὁ θεὸς ἀκοῦσαι.

Th 142h A 2 Ξa ἀπύουσαι] φωνοῦσαι.

Th 144a BNbNcPdVX 2 XcYaYb ἀπύουσαι] βοῶσαι.

Th 144b CHaNaPQT ἀπύουσαι] ἐπικαλούμεναι.

Th 144c CFdPR 1 SjT πελαζόμεθα] πλησιάζομεν.

Th 144d AbCHaPPdVX 2 YYaYb πελαζόμεθα] ἐρχόμεθα.

Th 144e NcP πελαζόμεθα] τῷ σῷ βωμῷ πλησιάζομεν.

Th 144f θT λέγει δὲ πρὸς τὸν Ἀπόλλωνα ὅτι καὶ σύ, ὦ ἄναξ Λύκιε, γενοῦ τῷ πολεμικῷ στρατῷ λύκειος, ἤγουν ἐφόρμησον ἐν αὐτοῖς ὡς λύκος, ἕνεκα τῆς φωνῆς τῶν στεναγμῶν ἡμῶν.

Th 145-146a P 1 PdSj Λύκειος γενο ῦ· πολέμιος· οἷον ὥσπερ λύκος αὐτοῖς ἐφόρμησον ἀνθ’ ὧν ἡμεῖς νῦν θρηνοῦμεν.

Th 145-146b οὕτω τινὲς τὸ Λύκειο ς. ἢ ἐπιβλαβὴς τοῖς πολεμίοις ἐπὶ τῆς ἀυτῆς τῶν στόνων γενοῦ, οἷον ἐπὶ τοῦ πολέμου. M παρήχησιν ἐνταῦθα ποιεῖ Λύκε ι ’ ἄναξ λύκειος γενοῦ εἰπών, ἤτοι πολέμιος αὐτοῖς, οἷον 〈ὥσπερ〉 λύκος ἐφόρμησον ἀνθ’ ὧν ἡμεῖς θρηνοῦμεν.

Th 145-146c οὕτω τινὲς τὸ Λύκειο ς. ἢ ἐπιβλαβὴς τοῖς πολεμίοις ἐπὶ τῆς ἀυτῆς τῶν στόνων, ἤγουν ἐπὶ τοῦ πολέμου, γενοῦ. ἀυτὴ δὲ ὁ πόλεμος διὰ τὸ γίνεσθαι θόρυβον ἐν τούτῳ πολύν. I 1 ἄλλως· πολέμιος γὰρ ἦν. [5]

Th 145-146d ὅπως λύκος γενοῦ αὐτοῖς, οἷον ὡς λύκος ἐφόρμησον ἀνθ’ ὧν νῦν ἡμεῖς θρηνοῦμεν· οὕτως τινὲς τὸ Λύκιο ς. ἢ ἐπὶ βλάβης τῶν πολεμίων ἐπὶ τῆς ἀυτῆς τῶν στόνων γενοῦ, οἷον ἐπὶ τοῦ πολεμίου. NcWYaYb καὶ σ ύ , Λύκ ι ’ ἄνα ξ· Λύκιόν φησι τὸν Ἀπόλλωνα ἢ διὰ τὸ ἐν Λυκίᾳ τῇ πόλει τιμᾶσθαι αὐτὸν ἢ διὰ τὸ ἀνατιθέναι τούτῳ λύκον ὡς ἱερὸν ἢ διὰ τὸ λύκους ἀνελεῖν ἢ—ὅ γε κρεῖττον—διὰ τὸ λυκόφως ποιεῖν τῆς νυκτὸς ὑποχωρούσης· Ἀπόλλων γὰρ ὁ ἥλιος.

Th 145a BCDHI 2 NcNdP 1 PdR 1 SjVWXaXcYYaYb διὰ τὸ λύκον ποτὲ ἀποκτεῖναι Ἀπόλλω τοῦτον κεκλῆσθαί φασιν. [5]

Th 145b τοῦτο δὲ πέπλασται ἀπὸ τοῦ τὸ λυκόφως ὑπὸ ἡλίου διαλύεσθαι, εἰς τοῦτον ἀλληγορουμένου Ἀπόλλωνος. λυκόφως δὲ καλεῖται διὰ τὸ ἔχειν τὸν λύκον τοιάνδε χροίαν. AbHa Λύκει’] ἐπίθετον τοῦ Ἀπόλλωνος.

Th 145c PPdYaYb Λύκει’] ἐν τῇ Λυκίᾳ τιμώμενος.

Th 145d CNa Λύκει’] ὁ λύκον ὀλέσας ποτέ.

Th 145e θT ἄναξ] Ἀπόλλων.

Th 145f QR 1 Λύκιος γενοῦ] λύκειος γενοῦ τῷ δαΐῳ στρατῷ ἐπὶ τῆς ἀυτῆς τῶν στόνων, ἤγουν ἐπὶ τοῦ πολέμου.

Th 145g P a λύκειος] ἀναιρέτης.

Th 145h A 2 AbDHaNaPPdYYaYbΞa λύκειος] ἄγριος, ἀφανιστής.

Th 145i BHNc λύκειος] ἀφανιστικός, τιμωρητής.

Th 145j CXc λύκειος] ἀπηνής.

Th 145k

FdQ λύκειος] φοβερός.

Th 145l PQ λύκειος] φθορεὺς καὶ οἷος ἐφάνης λύκῳ ποτέ.

Th 145m θT δαΐῳ] πολεμικῷ.

Th 146a CHaOPPdQTYaYb δαΐῳ] τῷ τῶν πολεμίων.

Th 146b θ στόνων ἀυτᾶς] ἕνεκα ἡμῶν τῆς φωνῆς τῶν στεναγμῶν.

Th 146c DPdYaYb στόνων ἀυτῆς] τῶν ἡμετέρων στεναγμάτων ἀκροατής.

Th 146d θ στόνων] τῶν στεναγμῶν τῶν ἡμετέρων.

Th 146e PTV ἀυτᾶς] τοῦ πολέμου.

Th 146f I 1 ἀυτᾶς] τῆς φωνῆς.

Th 146g HNaPY ἀυτᾶς] ἀκούων.

Th 146h BH ἀυτᾶς] ἀκροατής.

Th 146i AbNb ἀυτᾶς] ἕνεκα τῆς κραυγῆς.

Th 146j FcNc ἀυτᾶς] τῆς ἐμῆς δῆλον.

Th 146k A 2 XΞa ἀυτᾶς] ἕνεκα τῆς βοῆς.

Th 146l TV καὶ σύ, ὦ Ἄρτεμι φίλη καὶ προσφιλὴς ἡμῖν κούρα καὶ παρθένε Λητογένεια καὶ τὸ γέννημα τῆς Λητοῦς, εὖ καὶ καλῶς καὶ ἐπιστημόνως τὸ τόξον εὐτρέπιζε, ἐν τῷ πολέμῳ δηλονότι.

Th 148-149 P 1 PdSj Λητογένεια] ὦ Ἄρτεμις ἡ ἀπὸ τῆς Λητοῦς γεννηθεῖσα· Λητοῦς γὰρ καὶ Διὸς θυγάτηρ ἡ Ἄρτεμις.

Th 148a NcXcYaYb Λητογένεια] ἡ ἀπὸ τῆς Λητοῦς γεννηθεῖσα.

Th 148b P 3 Y Λατογένεια] ἡ Ἄρτεμις γὰρ θυγάτηρ Διὸς καὶ Λητοῦς.

Th 148c PPd Λητογένεια] ἐκ Λητοῦς γεννηθεῖσα.

Th 148d θT κούρα] θύγατερ τῆς Λητοῦς.

Th 148e CTV κούρα] παρθένε.

Th 148f NaP εὐπυκάζο υ· ἤτοι ἐντέχνως καὶ ἐπιστημόνως ἔντεινε τὸ τόξον· τὸ γὰρ πύκα ἀντὶ τοῦ ἐπιστημόνως παραλαμβάνεται.

Th 149a CNcNdPVWXaYa Yb εὖ πυκάζου] εὐτρέπιζε.

Th 149b A 2 AbCDHI 1 NbPPdSjR 1 XXcY εὖ πυκάζου] κατασκευάζου.

Th 149c BHNc εὖ πυκάζου] ἔντεινε.

Th 149d VYaYb εὖ πυκάζου] εὐτρέπιζε κατὰ τῶν πολεμίων.

Th 149e θT φίλα] προσφιλής.

Th 149f PYaYb φίλα] ἐμοί.

Th 149g T στροφὴ ἑτέρα κώλων ια′.

Th 150-157a T ἡμέτερον + ἒ ἒ ἒ ἔ· ἐντεῦθεν ἄρχονται αἱ κατὰ σχέσιν στροφαί.

Th 150-157b εἰσὶ γοῦν τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα ια′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α′ προκελευσματικὸν μονόμετρον· ἐχρήσατο δὲ τούτῳ ἐνταῦθα διὰ τὸ ταχέως γεγονέναι ἐξ[αίφ]νης τὸν κτύπον τῶν ἁρμ[άτων καὶ] ἐν τῇ ἀντιστροφῇ διὰ [τὸ] ταχέως φέρεσθαι τοὺς λί[θους κατὰ τῶν ἐ]πάλξεων, ἢ καὶ διὰ τὸ ταχέως ὁρμᾶν τὰς ψυχὰς αὐτῶν καὶ πατάσσειν τῷ φ[όβῳ] τινὸς αἰσθανομένου κτύπου· τὰ βραχέα γὰρ εὐκινητότερα τῶν μακρῶν. τὸ β′ χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ ἰάμβου. τὸ γ′ ὅμοιον κατὰ πάντα· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον συνίζησιν ἔχει κατὰ τὸν πρῶτον πόδα. τὸ δ′ ὅμοιον μονόμετρον

ὑπερκατάληκτον ἐκ χοριάμβου καὶ συλλαβῆς. τὸ ε′ παιωνικὸν ἡμιόλιον ἐκ παίωνος τετάρτου καὶ ἰάμβου. τὸ ς′ ὅμοιον τῷ β′· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον συνίζησιν ἔχει κατὰ τὸν β′ πόδα, ἤγουν τὸν ἴαμβον. τὸ ζ′ ὅμοιον καθαρόν. τὸ η′ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν ἐξ ἰωνικοῦ καὶ κρητικοῦ. τὸ θ′ ὅμοιον ἐξ ἐπιτρίτου δευτέρου ἤτοι τροχαϊκῆς συζυγίας καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον ἢ χορείου. τὸ τῆς στροφῆς δὲ κῶλον πεντασύλλαβον ἔχει τὸν ἐπίτριτον. τὸ ι′ ἰωνικὸν ἀπ’ ἐλάττονος δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου δευτέρου, παίωνος τρίτου καὶ συλλαβῆς· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς τὸν δεύτερον ἔχει πόδα παίωνα δεύτερον. τὸ ια′ παιωνικὸν τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος πρώτου καὶ τετάρτου καὶ ἰάμβου· εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον ἀκατάληκτον τοῦ πρώτου ποδὸς δακτύλου, τοῦ δὲ δευτέρου χορείου, τῶν δὲ λοιπῶν ἰάμβων. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. T ἒ ἒ ἒ ἕ] ἐπίρρημα θαυμαστικόν. [20]

Th 150a M ἒ ἒ ἒ ἕ] ἐπίρρημα θρηνητικόν.

Th 150b Yb ὄττοβον ἁρμάτω ν· ἀκούω, φησίν, τὸν τῶν χνοῶν κτύπον.

Th 151a NcVW ὄττοβον] ἦχον.

Th 151b BCHHaNaPdQVXcYaYb ὄττοβον] κτύπον.

Th 151c NcOθT ἁρμάτων] τῶν καρουχῶν.

Th 151d CXc ἁρμάτων] τῶν πολεμίων.

Th 151e θT κλύω] ἀκούω.

Th 151f AbCHaNaNcTVYaYb τὸ πότνια Ἥρα καὶ τὸ Ἄρτεμι φίλα ἐπιφωνήματά ἐστι πρὸς τοὺς θεοὺς διὰ μέσου τῶν στεναγμάτων λεγόμενα, εἰς οἶκτον αὐτοὺς προκαλούμενα· τοιαῦτα δὲ καὶ προϊὼν εὑρήσεις.

Th 152a A 2 θTΞa ὦ πόττνια] διά μέσου.

Th 152b T πόνια] σεβασμία.

Th 152c AbCNaNcθTYaYb ἔλακον ἀξόνω ν· ἀκούω, φησί, στεναγμὸν τῶν χνοῶν.

Th 153a λέγουσι καὶ μετὰ τοῦ ι οἱ ποιηταὶ τὸ χνοιαί. παρὰ τὸ (Hom. E 838) μέγα δ ’ ἔβραχε φήγινος ἄξω ν. χνόαι δὲ τὰ ἀκραξόνια, περὶ ἃ αἱ χοινικίδες οἱ παραξονῖται λεγόμενοι. M ἔλακον ἀξόνων· ὡς καὶ παρ’ Ὁμήρῳ (E 838) μέγα δ ’ ἔβραχε φήγινος ἄξω ν· χνόαι δὲ τὰ ἀκραξόνια περὶ ἃ αἱ χοινικίδες αἱ παραξονῖται λεγόμεναι.

Th 153b λέγεται δὲ καὶ μετὰ τοῦ ἰῶτα χνοιαὶ ὡς ῥοιαὶ ῥόαι καὶ χροιαὶ χρόαι. I 1 ἔλακον ἀξόνω ν· παρὰ τὸ (E 838) μέγα δ ’ ἔβραχε φήγινος ἄξων τοῦτο εἴρηται.

Th 153c BHNcVWY ἔλακον] ἤχησαν.

Th 153d BCHaNaNcOQR 1 θTVXcYYaYb ἔλακον] ἐβόησαν.

Th 153e CXcYaYb ἔλακον] ἐβόησαν, ἤχησαν ἀπὸ τῆς τάσεως τοῦ δρόμου.

Th 153f PPd ἀξόνων] τῶν ἐν τοῖς ἅρμασιν.

Th 153g θT βριθομένων] τῶν ζυγῶν βαρυνομένων ὑπὸ τῆς τάσεως τοῦ δρόμου.

Th 153h XcYaYb βριθομένων] βαρουμένων.

Th 153i CHaNaPPd βριθομένων] βαρέως ἠχούντων.

Th 153j BH βριθομένων] βαρυνομένων.

Th 153k AbNc βριθομένων] βαρουμένων τοῖς ἐφεστῶσιν.

Th 153l θT χνόαι δέ εἰσι τὰ ἀκροξόνια περὶ ἃ αἱ χοινικίδες, αἳ παραξονίτιδες λέγονται.

Th 153m

BHNcP 1a VWYYb χνόαι λέγονται αἱ τῶν τροχῶν χοινικίδες, ἤτοι αἱ σύριγγες ὅ ἐστιν ὀπαί, ἃς καὶ πλήμνας φασίν, ἤγουν τὰ μέσα τῶν εἰρημένων συρίγγων, εἰς ἃς ἐντίθενται τὰ τοῦ ἄξονος ἄκρα, πλῆμναι δὲ καλούμεναι διὰ τὸ πλήσσεσθαι ἢ πληροῦσθαι ὑπὸ τοῦ ἄξονος.

Th 153n ἐνήλατα δὲ ταῖς χοινικίσιν ἐμβαλλόμενα ἢ πασσαλίσκοι κωλύοντες ἐξιέναι τὸν τροχόν. ἐπίσωτρα λέγονται οἱ ἐπικείμενοι κύκλοι τοῖς τροχοῖς, ἤτοι οἱ κανθοί· οὕτω δὲ λέγονται διὰ τὸ ἐπιτρέχειν ἢ παρὰ τὸ σῴζειν, ὡς ἀπὸ τῆς ἐπὶ προθέσεως καὶ τοῦ σῶ τὸ ὁρμῶ, ἢ ἀπὸ τοῦ σῴζ ω· σωστικοὶ γὰρ τῆς ἔσω περιφερείας εἰσὶν οἱ κανθοί. P 1a WYaYb σῦριγξ καὶ χνόη τὸ εἰς τὴν ὀπὴν ἔνθα ὁ τροχὸς ἐμβεβλημένον ξύλον. [5]

Th 153o XcYaYb τὸ δὲ χνόαι βαρύτονον· τὰ εἰς η καθαρὰ δισύλλαβα τῷ ο παραληγόμενα ἀπὸ δύο συμφώνων ἀρχόμενα, ὧν προηγεῖται δασύ, βαρύνεται, οἷον χνόη, φθόη, χλόη.

Th 153p τὸ δὲ πνοὴ οὐκ ἔχει δασύ. DP 1a WXcYb χνόαι] αἱ ὀπαί.

Th 153q CHa χνόαι] αἱ σύριγγες.

Th 153r COYa χνόαι] ἀκροξόνια.

Th 153s BHNcQ χνόαι] αἱ ὀπαί, ἤτοι τὰ ἅρματα περιφραστικῶς.

Th 153t θ χνόαι] αἱ ὀπαὶ τῶν τροχῶν ἃς καὶ χοινικίδες καλοῦσιν.

Th 153u T ἡμέτερον· + Ἄρτεμις ὦ φίλ α· οὕτω χρὴ γράφειν ταῦτα τὰ κῶλα ὡς διωρθώθη παρ’ ἡμῶν· οὕτω γὰρ ἔχει οἰκείως πρὸς τὰ τῆς ἀντιστροφῆς κῶλα.

Th 154a οἱ δ’ ἄλλως γράφοντες καὶ ταῦτ’ ἐναλλάσσοντες οὐκ ἴσασι τὰ περὶ τῶν μέτρων. T Ἄρτεμις ὦ φίλα] διὰ μέσου.

Th 154b T Ἄρτεμις ὦ φίλα] + οὕτω γράφε διὰ τὸ μέτρον.

Th 154c T ἒ ἒ ἒ ἔ] ἐπίρρημα θρηνητικόν.

Th 154d CPPdYa δορυτίνακτος] διὰ τῶν δοράτων τῶν πολεμίων κινούμενος.

Th 155a θT δορυτίνακτος] ὑπὸ τῶν δοράτων τινασσομένων.

Th 155b A 2 Ξa αἰθήρ] ἀήρ.

Th 155c BNaPθTXc ἐπιμαίνεται] ἠχεῖ.

Th 155d PPdQV ἐπιμαίνεται] ταράσσεται.

Th 155e BCNaNbPθTYYaYb ἐπιμαίνεται] σφοδρῶς κινεῖται.

Th 155f A 2 πάσχει] πασχήσει.

Th 156a BHXc πάσχει] πάθῃ.

Th 156b PPd πάσχει] κακοπαθεῖ.

Th 156c CYaYb πάσχει] πείσεται.

Th 156d θT ποῖ] μέχρι τίνος.

Th 157a A 2 CHaNa τέλος] τοῦ νῦν ὄντος κινδύνου.

Th 157b T ἐπάγει] ἐπάξει.

Th 157c A 2 CHHaPPdΞa ἐπάγει] φέρει.

Th 157d VYaYb ἐπάγει] εἰς νίκην ἢ εἰς ὄλεθρον.

Th 157e θT θεός] ἡ τύχη.

Th 157f AbθY ἀντιστροφὴ κώλων ια′.

Th 158-165

Eulogikon public reading copy · View original HTML at eulogikon.org

T ἀκροβόλων δ ʼ ἐπάλξεων λιθά ς· λιθὰς δέ, ἤτοι σύρροια λίθων, ἔρχεται ἐπὶ τῶν ἐπάλξεων καὶ τῶν μικρῶν πυργισκίων τῶν ἀκροβόλων, ἤτοι τῶν βαλλομένων διὰ τὸ ἐν ἄκραις τῶν τειχῶν καὶ ἄνωθεν ἵστασθαι.

Th 158a BDHNcP 1 PdSjVWXcYYaYb ἀκροβολίζεσθαί ἐστι τὸ ἐν πολέμῳ συμβολῆς προκατάρχεσθαι.

Th 158b I 1 M ἀκροβόλων] ἤτοι τῶν βαλλομένων διὰ τὸ ἐν ἄκραις τῶν τειχῶν καὶ ἄνωθεν 〈ἵστασθαι〉 .

Th 158c BH ἀκροβολίζεσθαί ἐστι τὸ ἐν πολέμοις κατάρχεσθαι.

Th 158d NcP 1 VWYa Yb ἀκροβόλων] τῶν βαλλομένων κατὰ τὸ ἄκρον.

Th 158e CHa ἀκροβόλων] ἐπάνω τῶν τειχῶν τῶν πύργων.

Th 158f DHPPd ἀκροβόλων] πολεμικῶν ὀργάνων.

Th 158g θ ἀκροβόλων] + τῶν ὑψηλῶν.

Th 158h ἤγουν τὰ ἄκρα τῶν ἐπάλξεων λίθοις βάλλουσιν οἱ πολέμιοι. T ἀκροβόλων] τῶν ὑψηλῶν.

Th 158i A 2 ἐπάλξεων] τῶν μικρῶν πυργισκίων.

Th 158j BP ἐπάλξεων] ἐπάνω προμαχώνων, τῶν τειχῶν.

Th 158k YaYb ἐπάλξεων] συνίζησις.

Th 158l T τὸ ἀκροβόλων πρὸς τὸ ἐπάλξεων σύναπτε οὕτως· ἔρχεται ἀπὸ τῶν ἀκροβόλων ἐπάλξεων λιθὰς καὶ σωρεία λίθων κατὰ τῶν πολεμίων δηλονότι, ἤγουν ἐν τοῖς ἄκροις τῶν ἐπάλξεων ἱστάμενοί τινες τοὺς ἀντιπίπτοντας βάλλουσιν.

Th 158m ἢ οὕτως· ἔρχεται παρὰ τῶν πολεμίων ἐπὶ τῶν ἀκροβόλων ἐπάλξεων λιθάς. ταῦτα δὲ λέγει ὁ χορὸς οὐχ ὅτι ἀληθῶς ἐγίνετο, ἀλλ᾽ Αἰσχύλος ἐξεπίτηδες τοῦτο ποιεῖ τὴν τῶν γυναικῶν παριστῶν φύσιν, ἡνίκα ταραχθεῖεν φόβῳ καὶ τὰ οὐκ ὄντα φανταζομένων. T λιθὰς] σύρροια λίθων.

Th 158n BCHM 2 PPdQXc λιθὰς] σύρροια, πλῆθος.

Th 158o YaYb λιθὰς] πλῆθος λίθων.

Th 158p PA 2 λιθὰς] σωρεία λίθων.

Th 158q AbHaNcθT λιθὰς] λιθασμός.

Th 158r NaT τὸ ἔρχεται εἰ μὲν νοήσεις ἀπὸ Θηβῶν πρὸς τοὺς πολεμίους οὕτως ἐρεῖς· ἔρχεται εἰς τοὺς πολεμίους ἐκ τῶν τειχῶν λιθὰς ἀκροβόλων.

Th 158s εἰ δὲ ἀπὸ τῶν πολεμίων πρὸς τοὺς Θηβαίους οὕτω· ἔρχεται ἐκ τῶν πολεμίων ἐπὶ τῶν Θηβαϊκῶν ἐπάλξεων λιθὰς ἀκροβόλων. ταῦτα δὲ λέγει ὁ χορὸς οὐχ ὅτι ἀληθῶς ἐγένετο, ἀλλ᾽ Αἰσχύλος ἐξεπίτηδες τοῦτο ποιεῖ τὴν τῶν γυναικῶν παριστῶν φύσιν, ἡνίκα ταραχθεῖεν φόβῳ καὶ τὰ οὐκ ὄντα φανταζομένων. ἢ τὸ ἀκροβόλων πρὸς τὸ ἐπάλξεων σύναπτε οὕτως· ἔρχεται κατὰ τῶν πολεμίων λιθὰς καὶ σωρεία λίθων ἐκ τῶν ἀκροβόλων ἐπάλξεων, ἤγουν ὧν ἐν τοῖς ἄκροις ἱστάμενοί τινες τοὺς ἀντιπίπτοντας βάλλουσιν. θ ἔρχεται] παρὰ τῶν πολεμίων.

Th 158t T ὦ φί λ ʼ Ἄπο ( λλο ν)· ὦ φίλε Ἄπολλον καὶ Ἀθηνᾶ καὶ διόθεν πολεμόκραντον.

Th 159a M εἰπὼν ὦ Ἄπολλον καὶ δέον εἰπεῖν· ὦ Ζεῦ, τέλος ἡμῖν πολεμόκραντον ἁγνὸν καὶ ἀναίμακτον δός, ὁ δὲ οὐχ οὕτως ἔφη, ἀλλὰ πρὸς τὸ τέλος τὸν λόγον ἐποιήσατο.

Th 159b ἔστι δὲ τὸ αὐτό. Ra ὦ φίλ᾽ Ἄπολλον] διὰ μέσου.

Th 159c T κόναβος ἐν πύλαι ς· κόναβος καὶ κτύπος τῶν σακέων καὶ τῶν ἀσπίδων τῶν ὑπὸ χαλκοῦ συνδεδεμένων, ἐν μάχαις τε τέλος καὶ πλήρωμα ζωῆς, ἤτοι θάνατος, ἁγνὸν ἐν τῷ πολέμῳ πληρωθέν, ἢ ὑπὸ τοῦ πολέμου γενόμενον.

Th 160-162a ἐπεὶ δὲ μιαρὸς ὁ ἐν πολέμῳ φόνος, ἁγνὸν μᾶλλον τοῦτον ἔφησεν, ἐπεὶ οἱ πολεμίους ἀποκτείναντες καθαροί εἰσι μᾶλλον ἢ οἱ φίλους ἀνελόντες. τέλος δὲ ὁ φόνος καὶ ὁ πόλεμος· τέλος γάρ τινες τοῦ βιότου ἐν τούτῳ πολλάκις εὑρίσκουσιν. τέλος γὰρ τῆς τοῦ ἀνθρώπου ζωῆς ὁ θάνατος. BCDHNcNdP 1 P 3 VWXaXcYYaYb κόναβος ἐν πύλαι ς· κόναβος καὶ ἦχος καὶ κτύπος τῶν σακέων καὶ τῶν ἀσπίδων τῶν ὑπὸ χαλκοῦ δεδεμένων, καὶ τέλος καὶ πλήρωμα ζωῆς, ἤτοι θάνατος, πολεμόκραντον καὶ ἐν τῷ πολέμῳ πληρωθέν, ἁγνὸν καὶ καθαρόν, διόθεν καὶ ἀπὸ τοῦ Διός· οἱ γὰρ ἐν πολέμῳ φονεύσαντες καθαροί εἰσιν. [5]

Th 160-162b P 1 PdSj κόναβος] ἦχος.

Th 160a AbBCHaI 2 NaNcPPdYaYb κόναβος] κτύπος ἐστίν.

Th 160b OPθTV ἐντεῦθεν νοήσεις ὃ φθάσας εἶπε μελάνδετον σάκος (43).

Th 160c I 1 χαλκοδέτων] τῶν ὑπὸ χαλκοῦ συνδεδεμένων.

Th 160d BPYaYb χαλκοδέτων] δεδεμένων ὑπὸ τοῦ χαλκοῦ.

Th 160e CP χαλκοδέτων] τῶν διὰ σιδήρων δεδεμένων.

Th 160f HNc χαλκοδέτων] ἐκ σιδήρου δεδεμένων ἀσπίδων.

Th 160g θT χαλκοδέτων] τῶν σιδηρῶν.

Th 160h A 2 σακέων] σκουταρίων.

Th 160i CPdXc σακέων] ἀσπίδων.

Th 160j AbBPTV σακέων] συνίζησις.

Th 160k T ὦ μάκαιρα ἄνασσα Ὄγκα, τέλος ἁγνὸν πολεμόκραντον διόθεν, ἤτοι ἀπὸ τοῦ Διός, ἐν ταῖς μάχαις, ἡ πρὸ τῶν πυλῶν ζωγραφουμένη, ἐπιρρύου τὴν πόλιν τὴν ἑπτάπυλον· οὕτως συντακτέον.

Th 161-165 X διόθεν πολεμόκραντον] ὡσεὶ ἔλεγεν· ἡ ἀπόβασις τοῦ πολέμου διόθεν.

Th 161a M 2 διόθεν] ἀπὸ τοῦ Διός.

Th 161b A 2 CHHaVYYaYb διόθεν] ἐκ τοῦ Διὸς ἡμῖν εἴη.

Th 161c θT πολεμόκραντον· ἐπεὶ οὐ μιαρὸς ὁ ἐν πολέμῳ φόνος, ἁγνὸν τέλος ἔφη, ἐπεὶ οἱ πολεμίους ἀποκτείναντες καθαροί εἰσι μᾶλλον ἢ οἱ φίλους ἀνελόντες.

Th 162a I 1 M πολεμόκραντον] τετελειωμένον τῷ πολέμῳ.

Th 162b HXc πολεμόκραντον] ἀπὸ τοῦ πολέμου τελειωθέν.

Th 162c PPdR 1 Ya πολεμόκραντον] κραίνων καὶ τελειῶν τὸν πόλεμον.

Th 162d HaNa πολεμόκραντον] ἐκ πολέμου κρανθὲν καὶ τελειωθέν.

Th 162e θT ἁγνὸν] ἁγνὸν ἔφη, ἐπειδὴ μιαρὸς ὁ ἐν πολέμοις φόνος πρὸς ἀντιδιαστολὴν τοῦ ἐμφυλίου πολέμου.

Th 162f DXcYaYb ἁγνὸν] καθαρόν, παρόσον οἱ πολεμίους ἀποκτείναντες καθαροί εἰσι καὶ ἀναίτιοι νομίμως.

Th 162g HaNa ἁγνὸν] καθαρόν.

Th 162h CFcHRaTX 2 ἁγνὸν] καθαρόν, παρόσον οἱ πολεμίους καταστρεψάμενοι καθαροί εἰσι καὶ ἀναίτιοι· ἀμύνονται γὰρ ὑπὲρ σφῶν.

Th 162i τοῦτο δὲ νόμιμον. φησὶ γὰρ ὁ νόμος· ὁ τὸν ἐπιόντα φονεύσας, ἐν ᾧ περὶ τοῦ ζῆν ἐκινδύνευεν, ἀνεύθυνός ἐστιν. A 2 θTΞa ἁγνὸν] δίκαιον.

Th 162j A 2 τέλος] πλήρωμα.

Th 162k

HNc Ὄγκα ἡ Ἀθηνᾶ παρὰ Θηβαίοις.

Th 163a ἐπεύχεται δὲ τὴν ἐπιχώριον Ἀθηνᾶν, ὡς ὁ Θετταλὸς Ζεῦ ἄνα Δωδωναῖε (Hom. Π 233) καὶ ὁ Λύκιος κλῦθ ι , ἄνα ξ, ὅς που Λυκίης (Π 514) καὶ ὁ Ἴλιος Ζεῦ Ἴδηθεν μεδέων (Ω 308). Ὀγκαία Ἀθηνᾶ τιμᾶται παρὰ Θηβαίοις, Ὄγκα δὲ παρὰ τοῖς Φοίνιξιν. καὶ Ὀγκαῖαι πύλαι. μέμνηται καὶ Ἀντίμαχος (fr. 41 Wyss) καὶ Ῥιανός (fr. 8 Powell). Φοῖνιξ δὲ ἄνωθεν ὁ Κάδμος. M Ὀγκαία ἡ Ἀθηνᾶ παρὰ Φοίνιξιν, Ὄγκα δὲ παρὰ Θηβαίοις.

Th 163b ἐπεύχεται μὲν τὴν ἐγχώριον Ἀθηνᾶν ὡς ὁ Θετταλὸς Ζεῦ ἄνα Δωδωναῖε (Π 233) καὶ ὁ Λύκιος κλῦθ ι , ἄνα ξ , ὅς που Λυκίης (Π 514) καὶ ὁ Ἰλιεὺς Ζεῦ πάτερ Ἴδηθεν μεδέων (Ω 308). I 1 μάκαι ρ ʼ ἄνασ ς ʼ Ὄγκ α· Ὄγκα ἡ Ἀθηνᾶ παρὰ Θηβαίοις ἐτιμᾶτο.

Th 163c ἐπεύχεται δὲ τὴν ἐπιχώριον Ἀθηνᾶν καλῶν εἰς βοήθειαν, ὡς ὁ Θετταλὸς τὸν Δία λέγων Ζεῦ ἄνα Δωδωναῖε (Π 233) καὶ ὁ Λύκιος τὸν Ἀπόλλωνα κλῦθ ι , ἄνα ξ , ὅς που Λυκίης εὐρείης ἀνάσσεις (Π 514) καὶ ὁ Ἰδαῖος Ζεῦ πάτερ Ἴδηθεν μεδέων (Ω 308). Ὀγκαία τοίνυν ἡ Ἀθηνᾶ τιμᾶται παρὰ Θηβαίοις. BCDHNcNdP 1 PdSjVWXaXcYYaYb Ὄγκα δὲ παρὰ Φοίνιξιν ἡ Ἀθηνᾶ, καὶ Ὀγκαῖαι πύλαι· μέμνηται τούτου καὶ Ἀντίμαχος (fr.

Th 163d 41 Wyss). Φοῖνιξ δὲ τὸ γένος ἄνωθεν ὁ Κάδμος ἐτύγχανεν ὁ τῶν Θηβαίων οἰκιστής, διὸ καὶ ὡς ἐκ Φοινίκων κατηγμένος Ὄγκαν Ἀθηνᾶν παρὰ Θηβαίοις τιμᾶσθαι ἐποίησεν. τὸ δὲ πρὸ πόλεως ἑπτάπυλον ἕδος ῥύου οὕτως ῥητέον· ὦ μακαρία ἄνασσα Ὄγκα, ὦ Ἀθηνᾶ, πρὸ τῆς πόλεως γενομένη βοήθησον αὐτῇ. κάλλιον δὲ εἰπεῖν τὸ πρὸ πόλεως οὕτως· ὦ Ὄγκα Ἀθηνᾶ ἡ πρὸ τῆς πόλεως, ἤτοι οὖσα ἐζωγραφημένη τῆς πόλεως ἔμπροσθεν, ῥύου τὸ ἑπτάπυλον ἕδος, ἤτοι τὴν ἑπτάπυλον πόλιν τῶν Θηβαίων· γίνωσκε γὰρ ὅτι ἐζωγράφουν ταύτην πρὸ τῶν πυλῶν τῆς πόλεως, ἣν καὶ ὁ Λυκόφρων (356) πυλαίτιδα λέγει διὰ τὸ ἄνωθεν ἱστορεῖσθαι ταύτην τῶν τῆς πόλεως πυλῶν. BCDHNcNd P 1 PdSjXaXcVWYYaYb μάκαιρʼ ἄνασςʼ] Ἀθηνᾶ ἰσχυρά.

Th 163e PPd μάκαιρʼ] μακαρία.

Th 163f CPR 1 TVX 2 Ya μάκαιρʼ] ὦ Ἀθηνᾶ.

Th 163g BCSj ἄνασςʼ] ἡ ἄνασσα ἐν ταῖς μάχαις· πολεμικὸς γὰρ ἡ θεός.

Th 163h P ἄνασςʼ] + ἤγουν ἡ ἀνάσσουσα ἐν ταῖς μάχαις.

Th 163i T Ὄγκα] ἐπίθετον τῆς Ἀθηνᾶς.

Th 164a DHNcXcYaYb Ὄγκα] ἰσχυρά.

Th 164b YaYb Ὄγκα] Ἀθηνᾶ Φοινίκων γλώττῃ.

Th 164c θ Ὄγκα] Ἀθηνᾶ.

Th 164d A 2 TVX 2 Y Ὄγκα ἡ Ἀθηνᾶ Φοινίκων γλώττῃ· ὁ Κάδμος δὲ ἄνωθεν Φοῖνιξ ἦν τὸ γένος.

Th 164e T πρὸ πόλεως] ἡ ἐπάνω τῆς πόλεως ἐζωγραφημένη.

Th 164f BHNcP πρὸ πόλεως] ἐζωγραφημένη.

Th 164g PdR 1 SjVYa πρὸ πόλεως] ἱσταμένη.

Th 164h A 2 CWXcY πρὸ πόλεως] ἔμπροσθεν γὰρ τῆς πόλεως ἦν Ἀθηνᾶ ἐζωγραφημένη.

Th 164i HaNaT ἑπτάπυλον] τὰς Θήβας.

Th 165a θT ἕδος] ἔδαφος.

Th 165b SjYa ἐπιρρύου] κατὰ πάντα βοήθησον· τοῦτο γὰρ ἔθος καὶ ἴδιον τοῖς θεοῖς.

Th 165c YaYb ἐπιρρύου] ἐλευθέρου.

Th 165d AbFdHaQR 1 Sj ἐπιρρύου] φύλαττε.

Th 165e A 2 CLcNaPRbX 2 Ξa ἐπιρρύου] + ἐλευθέρωσον τοῦ κινδύνου.

Th 165f Τ στροφὴ ἑτέρα κώλων η′.

Th 166-172a Τ ἡμέτερον + ἰὼ παναλκεῖς θεο ί· ἐντεῦθεν ἡ δευτέρα στροφὴ ἄρχεται.

Th 166-172b εἰσὶ γοῦν τὰ κῶλα αὐτῆς η′ καὶ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐκ διιάμβου καὶ δακτύλου ἢ κρητικοῦ διὰ τὴν ἀδιάφορον. τὸ β′ ὅμοιον τρίμετρον βραχυκατάληκτον ἐκ διιάμβου, ἐπιτρίτου β′ καὶ ἰάμβου. τὸ γ′ ἰωνικὸν ἀπ’ ἐλάττονος δίμετρον καταληκτικὸν ἐκ διτροχαίου καὶ χορείου ἢ ἀναπαίστου διὰ τὴν ἀδιάφορον· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον συνίζησιν ἔχει ἐν τῷ δευτέρῳ ποδί. τὸ δ′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος τρίτου, ἀντισπάστου καὶ συλλαβῆς· εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον ἀκατάληκτον τοῦ δευτέρου ποδὸς χορείου. τὸ ε′ παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος δ′ καὶ κρητικοῦ· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς οὐ κρητικόν, ἀλλὰ τετρασύλλαβον ἔχει βακχεῖον. διαλύονται γὰρ αἱ μακραὶ τῶν ποδῶν συλλαβαὶ εἰς δύο βραχείας ὡς πολλάκις ἡμῖν εἴρηται. τὸ ϛ′ καὶ ζ′ ὅμοια παιωνικὰ ἡμιόλια ἐκ παιώνων τετάρτων καὶ ἰάμβων. τὸ η′ χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ ἰάμβου. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνίς. αὕτη γὰρ ἐπισφραγίζει τὰ κατὰ σχέσιν ᾀδό[μενα ᾄσμα]τα. Τ παναλκεῖς] κατὰ πάντα βοηθοί· τοῦτο γὰρ ἴδιον θεῶν. [15]

Th 166a MPPd παναλκεῖς] παντοδύναμοι.

Th 166b AbBHaPθTYa παναλκεῖς] πάντα δυνάμενοι.

Th 166c CP τέλειοι] θεοί.

Th 167a A 2 NaPT τέλειοι] ἀνελλιπεῖς· ἀνελλιπὲς γὰρ τὸ θεῖον.

Th 167b θT τέλειαι] θεαί.

Th 167c A 2 FdPPdR 1 T γᾶς—πυργοφύλακες] + ἤγουν τῆς γῆς τῆσδε καὶ τῆς πόλεως φύλακες.

Th 168a T πυργοφύλακες] φυλάσσοντες τοὺς πύργους.

Th 168b CXa δορίπονον] αἰχμάλωτον.

Th 169a A 2 PPdθYa δορίπονον] αἰχμάλωτον πόνον σχοῦσαν ὑπὸ δορὸς καὶ πολέμου.

Th 169b T ἑτεροφών ῳ· τῷ μὴ βοιωτιάζοντι.

Th 170a ἐπειδὴ δὲ Ἕλληνες καὶ οἱ Ἀργεῖοι, οὐκ εἶπεν βαρβαροφώνῳ. ἄλλως· τῷ ἔχοντι ἄνδρας ἐκ πολλῶν ἐθνῶν. Ὅμηρος· ἄλλη δ ’ ἄλλων γλῶσσα (B 804). M μὴ προδῶ θ ’ ἑτεροφώνῳ στρατ ῷ· τῷ πρὸς ἐκείνους ἑτεροφώνῳ· ἑτέρα γὰρ ἡ τῶν Βοιωτῶν διάλεκτος καὶ ἑτέρα ἡ τῶν Ἀργείων, διότι οἱ μὲν Ἀργεῖοι Δωριεῖς εἰσιν, οἱ δὲ Θηβαῖοι καὶ Ἀθηναῖοι Ἴωνες.

Th 170b ἢ ὅτι εἶχον συμμάχους καί τινας βαρβάρους. P 1 SjYaYb ἑτεροφώνῳ ἤτοι τῷ ἔχοντι ἄνδρας συμμίκτους ἐκ πολλῶν ἐθνῶν καὶ ἀλλόθρους καὶ ἀλλογλώσσους· καὶ Ὅμηρος· ἄλλη δ ’ ἄλλων γλῶσσα (B 804).

Th 170c ἢ ἑτεροφώνῳ τῷ μὴ βοιωτιάζοντι. ἐπεὶ δὲ Ἕλληνές εἰσι καὶ οἱ Ἀργεῖοι, οὐκ εἶπε βαρβαροφώνῳ. CNcNdP 1 PdSjXaYYa ἑτεροφών ῳ· ἔχοντι ἄνδρας ἐκ πολλῶν ἐθνῶν.

Th 170d καὶ Ὅμηρος· ἄλλη δ ’ ἄλλων γλῶσ ς ’ ἐμέμικτο (B 804). διὰ τοῦτο γὰρ οὐκ εἶπε βαρβαροφώνῳ· Ἕλληνες γὰρ καὶ οἱ Ἀργεῖοι. I 1 ἑτεροφώνῳ] ἀλλογλώσσῳ, τῷ μὴ βοιωτιάζοντι.

Th 170e I 2 ἑτεροφώνῳ] διὰ τὸ ἔχειν συμμάχους βαρβάρους.

Th 170f CPPdXaXcW YaYb ἑτεροφώνῳ] ἐπειδὴ δὲ Ἕλληνές εἰσι καὶ 〈οἱ〉 Ἀργεῖοι, οὐκ εἶπε βαρβαροφώνῳ.

Th 170g CNd ἑτεροφώνῳ] ἑτερογλώσσῳ.

Th 170h HaNaOP 3 XY ἑτεροφώνῳ] ἤτοι βαρβάρῳ στρατῷ.

Th 170i

Eulogikon public reading copy · View original HTML at eulogikon.org

BH ἑτεροφώνῳ] ἀλλογλώσσῳ.

Th 170j NcθT ἑτεροφώνῳ] ἀλλοφύλῳ.

Th 170k A 2 LcRb κλύετε πανδ ( ίκω ς)· κλύετε ἡμῶν δικαίως εἰς οὐρανὸν ἀνεχουσῶν τὰς χεῖρας.

Th 171a τοῦτο δὲ τὴν ἐκ ψυχῆς ἱκετείαν δηλοῖ· καὶ Ὅμηρος· χεῖρας ἀνασχόντες μεγά λ ’ εὐχετόωντο (Θ 347). I 1 MP 1 VXaY YaYb κλύετε] ἀκούετε.

Th 171b A 2 AbCHaPPdSjVYaYb κλύετε] + ἀκούσατε.

Th 171c T παρθένων] ἡμῶν.

Th 171d CTVXc κλύετε 2 ] + ἀκούσατε· οἱ φοβούμενοι γὰρ καὶ λυπούμενοι τὰ αὐτὰ συνεχῶς λέγουσιν.

Th 171e T πανδίκως] δικαίως.

Th 171f BCHHaNaOPPdSjVYaYb πανδίκους] δικαίας ὡς ὑπὲρ τῆς πατρίδος αὐτῶν φερομένας.

Th 171g θ ἡμέτερον + εἰ μὲν πανδίκως γράψεις πρὸς τὸ κλύετε σύντασσε· τοῦτο γὰρ ἐν τοῖς ἀρίστοις τῶν ἀντιγράφων εὕρηται μάλιστα.

Th 171h εἰ δὲ πανδίκους πρὸς τὸ λιτάς, ἤγουν τὰς δικαίας λιτὰς ὡς ὑπὲρ τῆς πατρίδος αὐτῶν φερομένας. T χειροτόνους] τὰς διὰ χειρῶν.

Th 172a BHNcX χειροτόνους] τὰς διὰ τάσεως τῶν χειρῶν γινομένας.

Th 172b PPdXaYaYb χειροτόνους] ἀπὸ τοῦ τείνειν· τὰς διὰ χειρῶν τόνους ἤγουν παρακλήσεις.

Th 172c Y χειροτόνους] δικαίως κλύετε ἡμῶν εἰς τὸν οὐρανὸν ἐχουσῶν τὰς χείρας· τουτὶ δὲ τὴν ἐκ ψυχῆς ἱκετηρίαν δηλοῖ.

Th 172d CXc χειροτόνους] μετὰ χειρῶν τάσεως γενομένας.

Th 172e θT χειροτόνους] ἀπὸ τοῦ τείνω καὶ τοῦ χεί ρ.

Th 172f A 2 Ξa λιτάς] δεήσεις.

Th 172g T ἀντιστροφὴ κώλων η′.

Th 173-180 T φίλοι] προσφιλεῖς.

Th 173a T δαίμονες] θεοί.

Th 173b HaTX 2 YaYb λυτήριοι ἀμφιβάντε ς· ὦ θεοί, περὶ τὴν πόλιν ἐλθόντες λυτήριοι, ἤτοι ἀφανισταὶ τῶν κακῶν καὶ σωτῆρες, ἐξ ἔργων αὐτῶν δείξατε ὅτι φιλοπόλιές ἐστε, ἤτοι τὴν ἡμετέραν ἀγαπῶντες πόλιν.

Th 174-176 CNc NdP 1 PdVXaYYaYb λυτήριοι] ἀφανισταὶ τῶν κακῶν, σωτῆρες δὲ ἡμῶν.

Th 174a YaYb λυτήριοι] ἐλευθερωτήριοι.

Th 174b HaP 3 λυτήριοι] ἐλευθερωταί.

Th 174c CHPθT ἀμφιβάντες] παρὰ τὸ ὃς Χρύσην ἀμφιβέβη ( κα ς ) (Hom.

Th 175a A 37). M ἀμφιβάντε ς· περιέποντες, φυλάσσοντες· παρὰ τὸ Ὁμηρικὸν (Α 37) ὃς Χρύσην ἀμφιβέβηκας ἐρρήθη.

Th 175b ἢ ἀπὸ μεταφορᾶς τῶν ὀρνίθων αἳ ταῖς ἑαυτῶν πτέρυξι τὰ οἰκεῖα νεόττια περικαλύπτουσιν. I 1 ἄλλως· περιέποντες, φυλάσσοντες.

Th 175c καὶ Ὅμηρος· ὃς Χρύσην ἀμφιβέβηκας (Α 37), ἀντὶ τοῦ τηρεῖς καὶ περιέπεις. NcP 1 ἀμφιβάντες] περικυκλώσαντες.

Th 175d BDHNb ἀμφιβάντες] κύκλῳ.

Th 175e BHNc ἀμφιβάντες] περιφυλάξαντες.

Th 175f PPd ἀμφιβάντες] ἐλθόντες.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 175g PQ ἀμφιβάντες] περιστάντες.

Th 175h θT ἀμφιβάντες] πάντες πρὸς τὴν λύσιν τῶν δεινῶν.

Th 175i A 2 φιλοπόλιες] συνίζησις.

Th 175j T μέλεσ θ ’ ἱερῶ ν· μελέτην ἔχετε τῶν ἱερῶν δημοσίων.

Th 177a CDI 1 M NcNdXcYa μέλεσ θ ’ ἱερῶν δημίω ν· ἤτοι φροντίζετε τῶν ἀνακειμένων καὶ ἀνατεθειμένων ἐν τοῖς ὑμῶν ναοῖς ἱερῶν δημίων τῶν ἀπὸ τοῦ δήμου· κοινῇ γὰρ πάντες ἐκείνοις ἐπετίθουν χρήματα.

Th 177b περιφραστικῶς οὖν εἶπε τοῦτο, μέλλων εἰπεῖν· φροντίζετε τῶν ναῶν ὑμῶν, μήπως παρὰ πολεμίων κατερειπωθῶσι καὶ ἀφαιρεθῶσι καὶ τὰ ἐν αὐτοῖς ἀναθήματα. ἄλλοι δὲ οὕτω φασίν· μέλεσθε καὶ φροντίζετε, ὦ θεοί, περὶ τῶν πολιτῶν ἐπὶ τῶν ἱερῶν δημίων, ἤτοι ἐπὶ τῶν ἀπομοιραζομένων παρὰ τῶν πολιτῶν ἀπὸ τῆς περιουσίας αὐτῶν· ἀπόμοιραν γὰρ οἱ πολῖται κατὰ καιρὸν ἐποιοῦντο ἀπὸ τῆς περιουσίας αὐτῶν καὶ ταῦτα τοῖς θεοῖς ἀνετίθεσαν. CNcNdP 1 PdSjV XaYYaYb μέλεσθ’] φροντίζετε, ἐπιμελεῖσθε, μελέτην ἔχετε τῶν δημοσίων ἱερῶν, τῶν ἀναθημάτων τῶν ὑπὸ τοῦ δήμου ἀνατιθεμένων ὑμῖν. [10]

Th 177c P 2 Pd μέλεσθ’] δείξατε.

Th 177d BHO μέλεσθ’] φροντίδα ἔχοντες.

Th 177e CR 1 μέλεσθ’] φροντίζετε.

Th 177f HθTVY μέλεσθ’] φροντίδα ἔχετε.

Th 177g A 2 ἱερῶν δημίων] θυσίων δημοσίων.

Th 177h BH ἱερῶν δημίων] τῶν ἐκ τῶν πανηγύρεων τελετῶν τῆς πόλεως.

Th 177i W YaYb ἱερῶν δημίων] τῶν δημοσίᾳ γινομένων ὑμῖν παρὰ τῶν πολιτῶν θυμάτων.

Th 177j θT ἱερῶν] ἀναθημάτων.

Th 177k TV δημίων] δημοσίων.

Th 177l AbDHaNcT δημίων] τῶν τοῦ δήμου.

Th 177m A 2 VΞa μελόμενοι] φροντίζοντες.

Th 178a A 2 CHLcRbTVXXcΞa μελόμενοι] φροντίδα ἔχοντες.

Th 178b SjYa ἀρήξατε] βοηθήσατε.

Th 178c A 2 CLcRbSjTVYaYbΞa ἀρήξατε] τὴν πόλιν δηλονότι.

Th 178d PPd ἀρήξατε] ἡμῖν.

Th 178e θT (ἀρή)ξατε] ἀντὶ μιᾶς.

Th 178f T τῶν ἐκ τῶν πανηγύρεων τελετῶν μνημονεύσατε.

Th 179a I 1 MPPd φιλοθύτων] ἐν οἷς φιλεῖ θύειν ὑμῖν ἡ πόλις.

Th 179b PPd φιλοθύτων] τῶν προσφιλῶς μετὰ θυμάτων ὑμῖν γινομένων μυστηρίων.

Th 179c θ φιλοθύτων] ἐν οἷς φιλοῦσι θυσίαι γίνεσθαι.

Th 179d T φιλοθύτων] φιλοῦσι γὰρ οἱ ἄνδρες ὀργιάζοντες θυσιάζειν.

Th 179e A 2 ὀργίων] μυστηρίων.

Th 179f CFHLcNaPR 1 VX 2 XaYYaYb ὀργίων] ἑορτῶν.

Th 179g VY ὀργίων] ἤτοι τῶν τελετῶν καὶ πανηγύρεων μνήσθητε.

Th 179h T μνήστορες] μνήμονες.

Th 180a BCDFdHHaNaPPdQTWYaYb μνήστορες] μνείαν καὶ ἐνθύμησιν ἔχοντες.

Th 180b θT μνήστορες] εἰδήμονες.

Th 180c A 2 Ξa εἴσθεσις διπλῆς ἧς προτίθεται ἡ μονοστροφικὴ αὕτη περίοδος στίχων οὖσα ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων κα′.

Th 181-202a F pc ἡμέτερον + ὑμᾶς ἐρωτ ῶ· ἡ μονοστροφικὴ αὕτη περίοδος στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων κα′ ὧν τελευταῖος· ἤκουσας οὐκ ἤκουσας ἢ κωφῇ λέγω (202).

Th 181-202b ἐπὶ τῷ τέλει παράγραφος. T ὑμᾶς ἐρωτῶ θρέμμα τ ’ οὐκ ἀνασχετ ά· καθ’ ὑπόκρισιν ἢ ἐν ἐρωτήσει μετ’ ἐπιτιμήσεως ἀναγνωστέον.

Th 181-186 ὁ Ἐτεοκλῆς ἀκούσας τῶν παρθένων ὀδυρομένων καὶ παρακαλουμένων τοὺς θεούς, φησὶ πρὸς αὐτάς· ἐρωτῶ ὑμᾶς θρέμματα οὐκ ἀνασχετά, ἤτοι ἐμοὶ φορτικευόμενα καὶ βάρος ἐτώσιον νομιζόμενα, μὴ ἀνεχόμενα καὶ μὴ βασταζόμενα παρ’ ἐμοί, ἆρα ταῦτα ἃ ποιεῖτε σωτήρια τῷ στρατῷ καὶ τῇ πόλει τυγχάνουσι, δηλονότι τὸ πεσούσας ὑμᾶς πρὸς τὰ εἴδωλα τῶν πολισσούχων θεῶν αὔειν, ἤτοι βοᾶν καὶ θρηνεῖν, καὶ λακάζειν καὶ φωνεῖν, σωφρόνων μισήματα, τουτέστι τὰ μισούμενα τοῖς σώφροσιν. CNcNdPPdSjVXaYYaYb ὑμᾶς ἐρωτῶ θρέμμα ( τ α)· εἰώθασιν οἱ ποιηταὶ δόγματά τινα εἰς ὠφέλειαν τῶν ἀκουόντων εἰσφέρειν· οὕτως καὶ ὁ Αἰσχύλος ἐνταῦθα εἰσάγει τὸν Ἐτεοκλέα ἀπαγορεύοντα μετὰ ἀπειλῆς μὴ ἀπάγειν τὸν ὄχλον εἰς δειλίαν, ὥστε διὰ φόβον αὐτοὺς φυγεῖν. [5]

Th 182-183a ἀλόγοις δὲ ζῴοις παρέβαλε τὰς παρθένους, ὅτι ἐν φαντασίᾳ γεγόνασι πρῶτον μὲν γυναικείᾳ καὶ δειλῇ, δεύτερον δὲ οὐκ ἀληθεῖ. εἰσὶ γὰρ φαντασίαι ἀληθεῖς. I 1 M εἰώθασιν οἱ ποιηταὶ δόγματά τινα εἰς ὠφέλειαν τῷ ἀκούοντι εἰσφέρειν· οὕτω καὶ Αἰσχύλος ἐνταῦθα εἰσάγει τὸν Ἐτεοκλέα ἀπαγορεύοντα μὴ ἐπάγειν τὸν ὄχλον εἰς δειλίαν καὶ διὰ τὸν φόβον φυγεῖν αὐτόν. [5]

Th 182-183b CDNcNdXcYaYb ὑμᾶς ἐρωτῶ θρέμματα ἐμοὶ πεφορτισμένα καὶ βάρος ἐτώσιον νομιζόμενα.

Th 182a DXc Ἐτεοκλῆς ἀκούσας ὀδύρεσθαι τὰς παρθένους καὶ πάνυ δυσχεράνας διὰ τοῦτο, ὡς φόβου μὲν τοῖς πολίταις ἐντεῦθεν γινομένου, θάρσους δὲ τοῖς πολεμίοις, τάδε φησὶ πρὸς αὐτάς.

Th 182b T θρέμματ’] τέκνα.

Th 182c BHQ θρέμματ’] βοσκήματα.

Th 182d PT θρέμματ’] γεννήματα.

Th 182e A 2 CDHaθTYaYb οὐκ ἀνασχετὰ] ὧν ἀνέχεσθαι καὶ κρατῆσαι οὐ δύναταί τις.

Th 182f DYaYb οὐκ ἀνασχετὰ] οὐχ ὑπομονῆς ἄξια.

Th 182g PPd οὐχ ἀνασχετὰ] ἃ οὐ δύναταί τις ὑπομένειν.

Th 182h θT οὐχ ἀνασχετὰ] ἀνυπομόνητα.

Th 182i A 2 W ἀνασχετὰ] ὑπομονητά.

Th 182j AbBCFdHTX 2 YaYb καθ’ ὑπόκρισιν ἀναγνωστέον· ἢ ὡς ἐν ἐρωτήσει μετ’ ἐπιτιμήσεως.

Th 183a I 1 MXc ταῦτ’] ἃ ποιεῖτε.

Th 183b A 2 CPθTXXc πόλει] τῇ ἡμετέρᾳ.

Th 183c T σωτήρια] σωστικά.

Th 183d CTYaYb σωτήρια] σωτηρίας αἴτια.

Th 183e A 2 θράσος] εὔφρων ἀνδρεία καὶ πεποίθησις.

Th 184a LcRb πυργηρουμένῳ] ἔσω τειχῶν ὄντι.

Th 184b DMPdYb πυργηρουμένῳ] τῷ ἐπὶ πύργῳ ἱσταμένῳ.

Th 184c PPdYaYb πυργηρουμένῳ] κυκλουμένῳ.

Th 184d AbCP πυργηρουμένῳ] πολιορκουμένῳ, ἢ τῷ ἐν πύργοις ἱσταμένῳ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 184e A 2 θ πυργηρουμένῳ] + συγκεκλεισμένῳ, ἐντὸς ὄντι τῶν πύργων.

Th 184f Τ βρέτη] εἴδωλα.

Th 185a AbBCHPdθTVXYaYb βρέτη] ἀγάλματα.

Th 185b A 2 πεσούσας] ὑμᾶς.

Th 185c LcORbX 2 πολισσούχων] τῶν φυλασσόντων.

Th 185d CV πολισσούχων] τῶν ἐχόντων τὴν πόλιν.

Th 185e CYa πολισσούχων] τῶν τὴν πόλιν συνεχόντων.

Th 185f θT αὔειν λακάζει ν· ταῦτα ἐπὶ τῶν ὀρνέων λέγεται· ἀλόγοις οὖν ζῴοις παρενέβαλε τὰς παρθένους ὅτι ἐν φαντασίᾳ γεγόνασι, πρῶτον μὲν γυναικείᾳ καὶ δειλῇ, δεύτερον δὲ οὐκ ἀληθεῖ.

Th 186a λακάζειν δὲ λέγεται τὸ ἠχεῖν ἀπὸ τοῦ ληκῶ ῥήματος, λακάζω κατὰ τροπὴν τοῦ η εἰς α καὶ κατὰ παραγωγήν. NcP 1 PdSjVYYaYb αὔειν] φωνεῖν. [5]

Th 186b AbCDHPYYa αὔειν] ἐπὶ ἀνθρώπου.

Th 186c PPd αὔειν] τὸ αὔειν τὸ κλάζειν.

Th 186d Pd αὔειν] βοᾶν.

Th 186e A 2 CHaPθTVXc λακάζει ν· ἠχεῖν· ληκῶ λακάζω κατὰ τροπὴν καὶ παραγωγήν.

Th 186f M λακάζειν] φωνεῖν.

Th 186g BCHNcPVXcYb λακάζειν] ἠχεῖν.

Th 186h BHaI 1 NaPY λακάζειν] ἠχεῖν· λέγεται δὲ ἐπὶ τῶν ὀρνέων.

Th 186i DPPdYb λακάζειν] βοᾶν.

Th 186j LcRbW λακάζειν] ἀπὸ τοῦ ληκῶ τὸ βοῶ κατὰ παραγωγήν.

Th 186k T λακάζειν] ἐκ παραλλήλου.

Th 186l T λακάζειν] τραχέως, θορυβώδη φθέγγεσθαι.

Th 186m A 2 σωφρόνων μισήματ α· ταῦτα, τὸ προσπίπτειν τοῖς ξοάνοις καὶ βοᾶν· ταῦτα οὖν ἃ πράττετε μισήσειαν οἱ εὖ φρονοῦντες ἄνδρες.

Th 186n M τὸ δὲ ἑξῆς οὕτως· ταῦτα, τὸ προσπίπτειν τοῖς ξοάνοις καὶ βοᾶν· τοιάδε μισήσειαν οἱ εὖ φρονοῦντες ἄνδρες.

Th 186o I 1 τὸ προσπίπτειν τοῖς ξοάνοις καὶ βοᾶν· ταῦτα ἃ πράττεσθε μισήσειαν ἂν οἱ εὖ φρονοῦντες.

Th 186p NcP 3 σωφρόνων μισήματ α· τὰ μισούμενα τοῖς σώφροσι.

Th 186q ἄλλως· μισήσειαν ἂν οἱ εὐφρονοῦντες. P 1 σωφρόνων μισήματα] τὰ μισήματα τοῖς φρονίμοις.

Th 186r YaYb τὰ μισούμενα τοῖς σώφροσιν.

Th 186s ἄλλως· μισήσειαν ἂν οἱ εὐφρονοῦντες. ἢ οὕτως· σοφρόνων μισήματα ἤγουν τὸ αὔειν καὶ τὸ λακάζειν. ἤ· ὦ γυναῖκες, ἃς μισοῦσιν οἱ σώφρονες. P 2a τὸ σωφρόνων μισήματα ἢ πρὸς τὸ αὔειν λακάζειν ἐστίν, ἤγουν ἃ οἱ σώφρονες—τὸ αὔειν λέγω καὶ τὸ λακάζειν—μισοῦσιν, ἢ οὕτω· ὦ θρέμματα οὐκ ἀνασχετά, μισήματα τῶν σωφρόνων.

Th 186t A 2 θ TΞa σωφρόνων μισήματα] ἤγουν ἃ σώφρονες ἄνδρες μισοῦσιν.

Th 186u θT σωφρόνων μισήματα] ἅπερ μισοῦσιν οἱ σώφρονες.

Th 186v A 2 σώφρονες οἱ φρόνιμοι παρὰ τῶν παλαιῶν.

Th 186x B μή τ ᾽ ἐν κακοῖσ ι· τοῦτό φησιν ὅτι μήτε ἐν δυστυχίαις καὶ ἐν κακοῖς μήτ᾽ ἐν εὐεστοῖ φίλῃ Ἀττικῶς, ἤτοι εὐδαιμονίᾳ καὶ εὐπραγίᾳ προσφιλεῖ, συγκάτοικος εἴην τῷ γυναικείῳ γένει.

Th 187-192 ἡ γὰρ γυνή, ὅταν μὲν ἐκτὸς φόβου τυγχάνει καὶ οὐδὲν ἔχει αὐτῇ ἐπικείμενον φοβερόν, ἔστι ἀναιδὴς καὶ θρασεῖα καὶ ἀκράτητος, ὅταν δὲ φοβηθῇ, γίνεται μέγα κακὸν καὶ τῷ ἰδίῳ οἴκῳ καὶ μᾶλλον τῇ πόλει. καὶ νῦν δὲ ὑμεῖς—πρὸς τὰς παρθένους ταῦτα φάσκει ὁ Ἐτεοκλῆς—θεῖσαι καὶ ποιήσασαι φυγὰς πρὸς τοὺς ναοὺς τῶν θεῶν διαδρόμους καὶ σπουδαίας καὶ συντόνους, διερροθήσατε καὶ ἐκινήσατε καὶ διὰ τοῦ θορύβου ἐνεβάλετε τοῖς πολίταις ἄψυχον κάκην, ἤτοι δειλίαν. τοῦτο δέ ἐστιν ὃ λέγει ὅτι ὑμεῖς φυγοῦσαι ἐποιήσατε καὶ τοὺς πολίτας φοβηθῆναι, τοὺς δὲ πολεμίους αὐξάνετε θράσος ἐντιθεῖσαι αὐτοῖς. CNcNdP 1 PdSjYYaYb ἐν κακοῖσι] ἐν δυστυχίαις. [10]

Th 187a A 2 CPYaYbΞa ἐν κακοῖσι] ἤγουν ἐν συμφοραῖς.

Th 187b T εὐεστοῖ] εὐδαιμονίᾳ, εὐετηρίᾳ.

Th 187c I 2 MPdYaYb εὐεστοῖ] εὐδαιμονίᾳ.

Th 187d BCDHNcOXc εὐεστο ῖ· εὐετηρίᾳ, εὐδαιμονίᾳ, παρὰ τὸ εὖ ἑστάναι τοὺς ἀνθρώπους ποιεῖν.

Th 187e I 1 εὐεστοῖ] εὐτυχίᾳ.

Th 187f A 2 θTΞa φίλῃ] προσφιλεῖ.

Th 187g NaP δογματίζει Αἰσχύλος ὡς δεῖ ἀπέχεσθαι τῆς πρὸς γυναῖκα συνουσίας.

Th 188a I 1 ξύνοικος] συγκάτοικος.

Th 188b YaYb γυναικείῳ γένει] + ἤγουν ταῖς γυναιξὶ περιφραστικῶς.

Th 188c T φύλῳ] γένει.

Th 188d PdYaYb κρατοῦσα] εὐτυχοῦσα.

Th 189a A 2 BFbHHaOPR 1 TWX κρατοῦσα] ὅταν εὐτυχῇ γυνή.

Th 189b CDXcYYaYb κρατοῦσα] εὐτυχοῦσα, νικῶσα.

Th 189c I 1 κρατοῦσα] ἐκτὸς φόβου οὖσα.

Th 189d PPd κρατοῦσα] κυριεύουσα.

Th 189e LcRb κρατοῦσα] νικῶσα.

Th 189f θTV οὐχ ὁμιλητὸν θράσος] ἐν θορύβοις οὐ καθεκτή.

Th 189g M οὐχ ὁμιλητὸν θράσο ς· οὐχ ὁμιλίαν παραδεχόμενον, ἤτοι ἀναιδὴς καὶ μηδὲ ὁμιλίαν παραδεχομένη τινός.

Th 189h 〈οὐχ〉 ὁμιλητὸν ἀνυπόστατον ᾧ οὐ δύναταί τις ὁμιλεῖν διὰ τοῦ θορύβου. YaYb οὐχ ὁμιλητὸν] ἀνυπόστατον.

Th 189i BDH οὐχ ὁμιλητὸν θράσος] ἀλόγιστος ὁρμὴ ὑπάρχει καὶ ἐπικίνδυνος.

Th 189j LcRbX 2 οὐχ ὁμιλητὸν θράσος] ἤγουν οὐχ οἷά τε ὁμιλεῖσθαι ὑπ’ ἀσχέτου θρασυνομένη χαρᾶς.

Th 189k θT οὐχ ὁμιλητὸν] ἀπρόσψαυστον.

Th 189l FdR 1 ὁμιλητὸν] φορητὸν καὶ ὑπομονητόν.

Th 189m CXc ὁμιλητὸν] ὁμιλίαν παραδεχόμενον.

Th 189n YYaYb δείσασα] φοβηθεῖσα.

Th 190a A 2 CNcPdR 1 WYaΞa οἴκῳ] τῷ αὐτῆς.

Th 190b θT πλέον] μέγα.

Th 190c DPPd πλέον] τοῦ δέοντος.

Th 190d θT κακόν] τοῦ φόβου καὶ τῆς δυστυχίας δῆλον.

Th 190e A 2 Ξa διαδρόμους] τῇδε κἀκεῖσε.

Th 191a PdYaYb διαδρόμους] γράφεται καὶ βοηδρόμους φυγάς.

Th 191b Yb διαδρόμους] τὰς διαδρόμους φυγὰς καὶ ἐν τοῖς πολίταις ποιήσασαι κάκην ἄψυχον.

Th 191c X διαδρόμους] διὰ πάσης τῆς πόλεως ὑφ' ὑμῶν γινομένας.

Th 191d θ διαδρόμους] ἤγουν ταχείας· ἤτοι διαδραμοῦσαι τὴν πόλιν καὶ ἐνταῦθα ἐλθοῦσαι.

Th 191e T φυγὰς] βοάς.

Th 191f BNcXc βοὰς] φυγάς.

Th 191g OYa τοῖς μὲν πολίταις ἐγχωρίοις κάκην καὶ δειλίαν ἄψυχον διὰ τοῦ ὑμετέρου θορύβου ἐμβεβλήκατε, τοῖς δὲ ἐχθροῖς ἀνδρικὸν θράσος εἰς τὸ ἐφορμᾶν καθ' ἡμῶν ἀδεῶς.

Th 192a I 1 θεῖσαι] ποιήσασαι.

Th 192b BCHNcOPPdR 1 θTVWXcYaYb διερροθήσατ'] διὰ τοῦ θορύβου ἐμβεβλήκατε.

Th 192c M διερροθήσατ'] ἐνεβάλετε ψυχὴν ποιοῦσαν δειλίαν.

Th 192d BH διερροθήσατ'] διὰ τοῦ θορύβου ἐνεβάλετε.

Th 192e FbR 1 P διερροθήσατ'] ἐκινήσατε.

Th 192f CHaNaNcOPSjXc διερροθήσατ'] ἠχήσατε.

Th 192g HY διερροθήσατ'] διεγείρατε.

Th 192h PYaYb διερροθήσατ'] ἐνεβάλετε.

Th 192i DPdθYaYb διερροθήσατ'] ἐνεβάλετε διὰ τοῦ ῥόθου ὑμῶν.

Th 192j T διερροθήσατ'] διὰ ῥόθου καὶ ἤχου ἐνεβάλετε.

Th 192k A 2 Ξa ἄψυχον κάκην] ἐμποιητικὴ δειλίαν.

Th 192l PPd ἄψυχον κάκην] ἀψυχοποιὸν δειλίαν.

Th 192m A 2 ἄψυχον] ἄνανδρον.

Th 192n NaP κάκην] δειλίαν.

Th 192o HaMNaNbNcOPR 1 XcYaYb κάκην] ἀψυχίαν.

Th 192p PPd κάκην] δειλίαν· ὥσπερ δὲ τὴν ἀνδρείαν εὔψυχόν φαμεν, οὕτω καὶ τὴν δειλίαν ἄψυχον.

Th 192q θT κάκη ἡ δειλία καὶ κακὸς ὁ δειλός.

Th 192r FbT τὰ τῶν θύραθεν] τὰ τῶν πολεμίων.

Th 193a CPdθY τὰ τῶν θύραθεν] τὰ τῶν ἔξωθεν ἡμῶν πολεμίων.

Th 193b TV τῶν θύραθεν] τῶν πολεμίων.

Th 193c DHaLcNaNcR 1 RbXcYaYb τῶν θύραθεν] ἤγουν τῶν ἐχθρῶν.

Th 193d BH θύραθεν] ἔξωθεν.

Th 193e YaYb ὡς] περισσόν.

Th 193f A 2 Ξa ἄριστ'] ἀρίστως.

Th 193g BCHHaPPdR 1 YaYb ἄριστ'] καλῶς.

Th 193h T ὀφέλλετε] αὐξάνετε.

Th 193i AbCPR 1 YaYb pc ὀφέλλετε] αὔξετε.

Th 193j A 2 BHHaLcNaOPPdRaRbT ὀφέλλετε] αὔξετε, ἀνυποστάτους ἐκείνους οἷς ποιεῖτε δεικνύουσαι, ἢ ὅτι κατεπτηχότας ἡμᾶς ἂν αἴσθωνται, πολὺ μᾶλλον θρασυνθήσονται.

Th 193k θTΞa αὐτοὶ δὲ καὶ ἡμεῖς ὑπ' αὐτῶν, ἤτοι ὑφ' ὑμῶν τῶν γυναικῶν δεικτικῶς, πορθούμεθα, τουτέστι καὶ μὴ πολεμούμενοι πολεμούμεθα.

Th 194a γράφεται ὑ φ ’ ἑαυτῶν, ἤτοι αὐτοὶ δι’ ἑαυτῶν. CNdP 1 PdSjVXaY αὐτοὶ] ἡμεῖς.

Th 194b DFdNcP 1 PdR 1 SjVXXc αὐτοὶ] ὑμεῖς.

Th 194c CYaYb αὐτῶν] ὑμῶν τῶν γυναικῶν.

Th 194d CDFbNaOPVXXcYYaYb πορθούμεθα] ἀφανιζόμεθα.

Th 194e YaYb πορθούμεθα] καταβαλλόμεθα.

Th 194f CSj πορθούμεθα] πολεμούμεθα.

Th 194g VWXc τοιαῦ τ ’ ἐν γυναιξ ί· τοῦτο πρὸς ἑαυτόν φησιν ὁ Ἐτεοκλῆς ὅτι οὕτω κακῶς καὶ ἀθλίως ἔχει συνναίων καὶ συγκατοικῶν γυναιξίν.

Th 195a εἴποι δ’ ἄν τις καὶ πρὸς ἕτερον· τοιαῦτ’ ἂν πάσχοις γυναικὶ συνναίων. VYaYb πρὸς ἑαυτόν φησιν ὁ Ἐτεοκλῆς.

Th 195b CDNaPPdVXcYaYb τοιαῦτα ἂν ἔχοις συγκατοικῶν γυναιξίν.

Th 195c X τοιαῦτα] κακὰ δῆλον.

Th 195d A 2 YYaYbΞa συνναίων] κατοικῶν.

Th 195e CYYaYb συνναίων] συγκατοικῶν.

Th 195f BNcRa συνναίων] συνοικῶν.

Th 195g FdHaPPdV ἔχοις] ἔχοι.

Th 195h BCXc ἔχοις] κέκτησαι.

Th 195i YaYb ἔχοις] ὦ Ἐτέοκλες δῆλον.

Th 195j A 2 SjYaYbΞa ἔχοις] πρός τινα τῶν παρεστώτων τὸν λόγον ἐξήνεγκεν.

Th 195k FbT κεἰ μή τις ἀρχῆς τῆς ἐμῆ ς· τοῦτό φησιν ὁ Ἐτεοκλῆς πρὸς τὸν χορὸν ὅτι, ἐὰν μή τις ἀκούσηται τῆς ἐμῆς ἐξουσίας καὶ τὸ ἐμὸν ποιήσῃ πρόσταγμα, εἴτε ἀνήρ ἐστιν εἴτε γυνὴ εἴτε τι τούτων μεταίχμιον καὶ μέσον, ὀλεθρία ψῆφος κατ’ αὐτοῦ συμβουλεύσεται.

Th 196-199 τὸν θάνατον δὲ τὸν λιθόλευστον, τὸν διὰ βολῆς λίθων γενόμενον, οὔτι μὴ φύγῃ, οὐδαμῶς φύγῃ. τὸ δὲ μὴ παρέλκον. BCDHNcNdP 1 PdSjVWXaXcYYaYb βασιλικὸν τὸ παράδειγμα. [5]

Th 196a B ἀρχῆς τῆς ἐμῆς] ἤγουν ἐμοῦ.

Th 196b PPd ἀρχῆς τῆς ἐμῆς] ἤγουν ὃ ἐγὼ προστάσσω.

Th 196c θT ἀρχῆς] ἐξουσίας.

Th 196d A 2 AbHPYaYb ἀκούσεται] εἰσακούσῃ.

Th 196e YaYb ἀνὴρ γυνή τ ε· νέος ἢ γέρων.

Th 197a ἀκαίρως δὲ ἡ λέξις τὸ μεταίχμιον καὶ δηλοῖ τὸν ἀληθῶς ὀργιζόμενον. I 1 M μεταίχμιον τὸ μέσον λέγεται· εἰπὼν οὖν ἄνδρα καὶ γυναῖκα ἀναγκαίως ἐστὶ νοῆσαι τὸ τούτων μέσον, καὶ παῖδα νεογνὸν πρὸς τὴν τῶν ἑκατέρων ἡλικίαν.

Th 197b τινὲς δὲ τῶν ἀληθῶς ὀργιζομένων λέγουσιν εἶναι μεταίχμιον. CNcNdP 2a VXaY ἄλλως· κεκινδύνευται ἐνταῦθα τῷ Αἰσχύλῳ τὸ μεταίχμιο ν· γένους γὰρ ἑνὸς ὄντος τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς μέσον ἄλλο εἶπεν, εἰ μὴ ἄρα τις λέγοι ὅτι ὀργιζόμενος οὕτως εἴρηκεν, ὡς παρὰ Δράκοντι τῷ νομοθέτῃ· ἐκεῖνος γὰρ ὑπὲρ τοῦ μὴ ἁμαρτάνειν φησί· κἂν ὄστρακον ᾖ τὸ ἀποκτεῖναν κἂν ξύλον κἂν σίδηρος κἂν χαλκὸς συνεκβάλλεσθα ι. [5]

Th 197c CI 1 MNcNdP 1 PdSjVXaYaYb μεταίχμιον] μέσον.

Th 197d AbNaNbR 1 VXcYaYb μεταίχμιον] ἤγουν εὐνοῦχος.

Th 197e BCHPd μεταίχμιον] τοὺς εὐνούχους.

Th 197f DP μεταίχμιον] τὸ μέσον ἢ παῖς.

Th 197g AbHa μεταίχμιον] ἤγουν τοῦ ἀνδρὸς καὶ τῆς γυναικός, τουτέστιν εὐνοῦχος.

Th 197h Xc μεταίχμιον] τῶν γυναικῶν καὶ τῶν ἀνδρῶν μέσον.

Th 197i τοῦτο δέ φησιν οὐχ ὅτι ἐστί τι γένος ἀνδρῶν μεταξὺ καὶ γυναικῶν, ἀλλ' ἵνα δείξῃ τὸ τῆς προσταγῆς ἀκριβές· οἱ δὲ τοὺς εὐνούχους λέγοντες ἐρρέτωσαν. A 2 θTΞa ἡμέτερον + ἐμοὶ δοκεῖ μεταίχμιον ἀνδρῶν τε καὶ γυναικῶν λέγειν τοὺς παῖδας καὶ νεανίσκους, ὡς ἐλάττονας ὄντας τῶν ἀνδρῶν τε καὶ γυναικῶν ἡλικίας· οὐ γὰρ πρὸς τὴν φύσιν τῶν ἀνδρῶν τε καὶ γυναικῶν ἀποβλέπων τοῦτό φησιν, ἀλλὰ πρὸς τὴν ἡλικίαν.

Th 197j T ψῆφος] κρίσις.

Th 198a CSjX 2 YaYb ψῆφος] + κρίσις καταδίκης.

Th 198b T ψῆφος] ἀπόφασις.

Th 198c A 2 Ξa ὀλεθρία] θανατηρά.

Th 198d BXc ὀλεθρία] θανατηφόρος.

Th 198e YaYb ὀλεθρία] ἀφανιστική.

Th 198f CNb ὀλεθρία] κακή.

Th 198g AbHa ὀλεθρία] φθαρτική.

Th 198h FbT βουλεύσεται] κυρωθήσεται.

Th 198i BCDHR 1 XcYYaYb βουλεύσεται] ἀποκυρωθῇ.

Th 198j PPd βουλεύσεται] βουλευθήσεται.

Th 198k T βουλεύσεται] μετὰ συμβουλῆς πραχθήσεται.

Th 198l A 2 λευστῆρα] τὸν ἐκ δήμου λευστῆρα μόρον.

Th 199a M λευστῆρα] λιθόλευστον.

Th 199b BHPYYaYb λευστῆρα] λιθοβόλησιν.

Th 199c HaNa λευστῆρα] λιθαστικόν.

Th 199d CDθTXc λευστῆρα] τὸν ἀπὸ λιθασμοῦ γινόμενον.

Th 199e A 2 μὴ] παρέλκον.

Th 199f BDFbYaYb μὴ] ἀργόν.

Th 199g PdR 1 μὴ] ἐκ παραλλήλου τὸ οὐ καὶ τὸ μ ή.

Th 199h T φύγῃ] διαδράσῃ.

Th 199i CSj μόρον] θάνατον.

Th 199j CPdSjTVX 2 YaYb μέλει γὰρ ἀνδρ ί· τῷ ἀνδρὶ γὰρ διὰ φροντίδος ἐστὶ τὰ ἔξωθεν, μὴ γυνὴ περὶ τούτων βουλευέτω.

Th 200a ἔνδον δὲ οὖσα ἡσύχαζε καὶ μὴ βλάβην ποίει τῇ πόλει δειλαινομένη καὶ κλαίουσα. BHP 1 PdSjVWYYaYb τὸ Ὁμηρικὸν (Z 490—491) παραφράζει τὸ σὺ μὲν τὰ ς ' αὐτῆς ἔργα κόμιζε ἱστὸν ἠλακάτην τε καὶ τὰ ἑξῆς.

Th 200b καὶ Σοφοκλῆς ἐν τῷ Αἴαντι (293) λέγει· γύνα ι , γυναιξὶ κόσμον ἡ σιγὴ φέρε ι. I 1 μέλει] διὰ φροντίδος ἐστίν.

Th 200c BPPdθ μέλει] διὰ φροντίδος ὑπάρχει.

Th 200d CXcYaYb μέλει] διὰ φροντίδος ὑπάρχει τῷ ἀνδρὶ βουλεύειν τὰ τῶν ἔξωθεν, οὐ τῇ γυναικὶ βουλευέτω.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 200e X μέλει] φροντίς ἐστι.

Th 200f NaVY μέλει] διὰ φροντίδος ἐστὶ τὰ ἔξωθεν· ἐνταῦθα γὰρ τοῦτο σύναπτε.

Th 200g T μέλλει] τοῦ πολέμου.

Th 200h A 2 βουλευέτω] περὶ τούτων.

Th 200i BDHYaYb βουλευέτω] φροντιζέτω.

Th 200j PPd τἄξωθεν] τὰ τῶν πολεμίων.

Th 201a PPdSj τἄξωθεν] τὰ πολεμικά.

Th 201b DYaYb τἄξωθεν] ἐπερχόμενα.

Th 201c A 2 ἔνδον] ἐντὸς σύ, ὦ χορέ.

Th 201d CXc μὴ βλάβην τίθει] ἡσύχαζε καὶ μὴ βλάβην τίθει τῇ πόλει θρηνοῦσα καὶ βοῶσα.

Th 201e YaYb μὴ βλάβην τίθει] ἀλλ’ ἡσύχαζε δηλονότι.

Th 201f BFbT μὴ βλάβην τίθει] τοὺς πολίτας δηλονότι θορυβοῦσα.

Th 201g M τίθει] τῇ πόλει.

Th 201h BPPd τίθει] ποίει.

Th 201i BHHaPPdVX τίθει] ποιείτω.

Th 201j CSj τίθει] ποίει πρὸς τοὺς πολίτας ὀλολύζουσα καὶ σπαραττομένη.

Th 201k θT τίθει] τιθέτω.

Th 201l A 2 κωφῇ] εἰς ὦτα μὴ ἀκουούσης.

Th 202a HPPd κωφῇ] κωφῶς.

Th 202b BHYYaYb κωφῇ] ματαίως.

Th 202c YaYb κωφῇ] ἀναισθήτῳ.

Th 202d FbHaNaSjT σημείωσαι τὴν σύνταξιν· πρῶτον μὲν γὰρ πρὸς τὸ ἀκούσασα συνέταξε τὸ ὅττοβον, εἶτα ἐνήλλαξε διὰ τοῦ ὅτ ι, καὶ πάλιν τῇ προτέρᾳ συντάξει ἐχρήσατο, ἀπὸ κοινοῦ πρὸς τὸ χαλινῶν τὸ ὅττοβον ἐκδεχόμενος.

Th 203-207a θT ὦ φίλον Οἰδίπο υ· εἴσθεσις συνεχοῦς διπλῆς ἀντιστρόφους τὰς περιόδους ἔχουσα· εἰσὶ δὲ τὰ μὲν τοῦ χοροῦ 〈κῶλα〉 ἀντισπαστικά, τὰ δὲ τοῦ ὑποκριτοῦ ἰαμβικά.

Th 203-207b εἰσὶν οὖν τὰ τοῦ παρόντος χοροῦ κῶλα ἀντισπαστικὰ τρίμετρα βραχυκατάληκτα δ′, τὸ δὲ ε′ δίμετρον βραχυκατάληκτον ἤτοι ἡμιόλιον. δέχονται δὲ πεντασυλλάβους πόδας καὶ ἑξασυλλάβους. ἔοικε δὲ στροφῇ· ἔχει γὰρ καὶ ἀντίστροφον τὰ ἑξῆς τοῦ χοροῦ κῶλα. οὔκ εἰσιν οἱ χορίαμβοι ἐν τάξει, ἀλλὰ προστιθεμένης τῆς ἑξῆς συλλαβῆς γίνεται ἀντισπαστικὸν τὸ μέτρον ἐκ πεντασυλλάβου ποδός. F pc ὅμοια χρὴ εἶναι τοῖς ἑξῆς τρίμετρα βραχυκατάληκτα. [5]

Th 203-207c F pc στροφὴ κώλων ζ′.

Th 203-207d T ἡμέτερον + ὦ φίλον Οἰδίπο υ· τὰ τοιαῦτα εἴδη καλεῖται ὡς εἴρηται (sch.

Th 203-207e T Pr. 128—135) ἀλλοιόστροφα· εἰσὶ δὲ καὶ κατὰ σχέσιν. τῆς παρούσης οὖν στροφῆς τὰ κῶλα ζ′. τὸ α′ χοριαμβικὸν τρίμετρον ἀκατάληκτον κατ’ ἀντιπάθειαν μίξεως ἐκ χοριάμβου, ἀντισπάστου [καὶ] διιάμβου. τὸ β′ ὅμοιον [δί]μετρον ἀκατάληκτον [ἐκ] χοριάμβου καὶ διιάμβου. [τὸ τρίτον] ἡμιόλιον ἐκ χοριάμβου πεντασυλλάβου καὶ ἰάμβου. τὸ δ′ [δίμετρον ὅμοιον τῷ] β′ ἐκ χοριάμβου καὶ διιάμβου πεντασυλλάβου. τὸ ε′ ὅμοιον [τῷ γ′ ἐκ δι]τροχαίου καὶ ἰάμβου. τὸ ς′ ὅμοιον τῷ β′ κατὰ πάντα. τὸ ζ′ ὅμοιον δίμετρον καταληκτικὸν ἐκ χοριάμβου πεντασυλλάβου καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναπαίστου. ἐπὶ τέλει παράγραφος καὶ διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου ἔξω νενευκυῖα, ἡ δὲ κατὰ τὸ τέλος ἔσω. T ἀπολογοῦνται διότι ἐθορύβησαν. [10]

Th 203a MY φίλον] προσφιλές.

Th 203b AbHaTYaYb φίλον] ἐμοί.

Th 203c FbT τέκος] γέννημα.

Th 203d A2AbBFdSjYaYbΞa τέκος] τέκνον.

Th 203e CV ἔδεισα διὰ τὸ στόμα τῶν ἱππικῶν πηδαλίων, ἤτοι τῶν πυριγενετᾶν χαλινῶν, ὅ ἐστι περιφραστικῶς διὰ τοὺς χαλινούς.

Th 203-207f ἀύπνων δὲ ἢ διὰ τὴν τροπὴν τῶν πηδαλίων, ἢ τῶν μὴ ἐώντων με ἡσυχάζειν. πηδάλιον δὲ καλεῖ τὸν χαλινόν· ὃ γὰρ τὸ πηδάλιον ἐν τῇ νηί—ἰθύνει γὰρ αὐτήν— τοῦτο καὶ ὁ χαλινὸς ἐν τῷ ἵππῳ. I 1 ἔδεις’] ἐφοβήθην. [5]

Th 203g AbBCNaPdRaSjTVX 2 YaYb ἀκούσασα] συνίουσα.

Th 203h BHNc τὸν ἁρματόκτυπον] τὸν ἐκ τῆς συγκρούσεως τῶν ἁρμάτων ἦχον.

Th 204a PPdYaYb τὸν ἁρματόκτυπον] τὸν γεγονότα ἀπὸ ἵππων τῶν ἁρμάτων.

Th 204b AbHa τὸν ἁρματόκτυπον] τὸν ἐξ ἁρμάτων γινόμενον κτύπον.

Th 204c CθT ὄττοβον] τὸν ἦχον.

Th 204d AbCFdHNaTV ὄττοβον] κτύπον.

Th 204e BLcTX 2 ὄττοβον ὄττοβον] ἴδιον τῶν φοβουμένων.

Th 204f A 2 σύριγγες ἔκλαγξαν ἑλίτροχο ι· περιφραστικῶς τοὺς τροχούς φησιν.

Th 205a σύριγγες δέ εἰσι τὰ ξύλα τὰ μέσον τοῦ περιφεροῦς ξύλου τοῦ τροχοῦ διαπερονούμενα. τὸ μὲν γὰρ αὐτῶν ἐστι μέγα, τὸ δὲ ἕτερον τούτων μικρότερον, ἄλλο δ’ αὖ τοῦ δευτέρου μικρότερον, λόγον τῶν αὐλῶν τῶν συρίγγων ἐπέχοντα. CM 2 NcNdP 1 VXaYaYb ὅτι] ἀντὶ μιᾶς. [5]

Th 205b T σύριγγες] ἄξονες, αἱ χοινικίδες περὶ ἃς ἑλίσσονται οἱ τροχοί.

Th 205c DXcYYaYb σύριγγες] περιφραστικῶς.

Th 205d BNcXc σύριγγες] τῆς γὰρ σύριγγος ἠχούσης ἐλαύνονται καὶ ὁρμῶνται τὰ ἅρματα καὶ οἱ τροχοί.

Th 205e PPd σύριγγες] αἱ ὀπαί.

Th 205f AbCR 1 σύριγγες] αἱ ὀπαὶ τοῦ ἄξονος.

Th 205g A 2 θΞa σύριγγες] αἱ ὀπαὶ τῶν τροχῶν.

Th 205h T σύριγγας ταύτας εἶπε διὰ τὸ ἠχεῖν κινουμένων τῶν τροχῶν.

Th 205i A 2 Ξa ἔκλαγξαν] ἤχησαν.

Th 205j A 2 AbBCHaNaPQR 1 θTVXc ἑλίτροχο ι· περὶ ἃς ἐλίσσονται οἱ τροχοί.

Th 205k A 2 BCFbHI 1 MNcP QV ἑλίτροχοι] αἱ ἑλισσόμεναι ἐν τοῖς τροχοῖς.

Th 205l AbHa ἑλίτροχοι] αἱ συνέχουσαι τοὺς τροχοὺς δι’ ὧν τὸ ἅρμα ἐλαύνεται.

Th 205m θ ἑλίτροχοι] αἱ τοὺς τροχοὺς ἑλίσσουσαι.

Th 205n T ἱππικῶν πηδαλίω ν· λέγει τοὺς χαλινούς· ὥσπερ τὸ πηδάλιον ἐν τῇ νηί, οὕτω καὶ ὁ χαλινὸς ἐν τῷ ἵππῳ.

Th 206a VYaYb ἱππικῶν] ἀπὸ κοινοῦ τὸ ἀκούσασ α.

Th 206b BHLcNcRbX 2 ἱππικῶν] καὶ τὸν ὄττοβον ἀπὸ κοινοῦ ἀκούσασα.

Th 206c T ἀύπνων] τῶν μὴ ἐώντων με ἠρεμεῖν.

Th 206d

DHMPXcYaYb ἀύπνων] τῶν μὴ ἐώντων με ὑπνοῦν.

Th 206e PdY ἀύπνων] ἢ τῶν ἀπαύστων.

Th 206f PPd ἀύπνων] τῶν μὴ τοὺς ἵππους ἐώντων ἠρεμεῖν, ἀλλ’ ἐλαυνόντων πρὸς δρόμον καθάπερ τὴν ναῦν τὰ πηδάλια· ἔστι δὲ τὸ διὰ στόμα πρὸς τὸ πηδαλίων, οὐ πρὸς τὸ χαλινῶν ὡς οἴονταί τινες.

Th 206g A 2 θTΞa ἀύπνων] τῶν μὴ τοὺς ἵππους ἐώντων ἠρεμεῖν.

Th 206h A 2 NaTΞa πηδαλίων] χαλινῶν.

Th 206i DNaPPdRbSjVYaYb πηδαλίων] τροπικόν.

Th 206j RbX 2 στόμα] τῶν ἵππων.

Th 206k FbPRbT πυριγενετᾶν χαλινῶ ν· τῶν ὑπὸ τοῦ πυρὸς χαλκευθέντων· λέγω δὲ τῶν ἀπὸ τοῦ πυρὸς γενομένων καὶ κατεσκευασμένων σιδηρείων χαλινῶν.

Th 207a PVYaYb πυριγενετᾶν] διὰ πυρὸς γενομένων.

Th 207b BFbHV πυριγενετᾶν] τῶν τὴν γένεσιν ἀπὸ τοῦ πυρὸς ἐχόντων.

Th 207c A 2 Ha πυριγενετᾶν] τῶν ἐκ πυρὸς χαλκευθέντων.

Th 207d CDNaθTXc πυριγενετᾶν] τὸ ὄττοβον ἀπὸ κοινοῦ λάμβανε.

Th 207e θ τί οὖ ν , ὁ ναύτη ς· ὁ Ἐτεοκλῆς εἰπόντος τοῦ χοροῦ ὅτι διὰ τοῦτο ἔφυγον πρὸς τοὺς ναοὺς τῶν θεῶν, ὅτι ἐφοβήθην ἀκούσασα τὸν κτύπον τῶν ἁρμάτων καὶ τῶν χαλινῶν τῶν ἵππων, φησὶ πρὸς αὐτόν· τί οὖν, ὁ ναύτης ἆρα μὴ τῆς ναὸς καταποντιζομένης ἐν τῇ θαλάσσῃ εὗρε μηχανὴν σωτηρίας, φυγὼν ἀπὸ πρύμνης εἰς πρῷραν; οὕτως οὖν οὐδὲ ὑμεῖς μηχανὴν σωτηρίας εὑρήσετε περιιοῦσαι τὴν πόλιν.

Th 208-210a BCDHNcNd VWXaXcYYaYb τί οὖ ν , ὁ ναύτη ς· ὁ Ἐτεοκλῆς εἰπόντος τοῦ χοροῦ ὅτι διὰ τοῦτο ἔφυγον εἰς τοὺς ναοὺς τῶν θεῶν, ὅτι ἐφοβήθην ἀκούσασα τὸν ἦχον τὸν ἐκ τοῦ κτύπου τῶν ἁρμάτων γινόμενον καὶ τὸν διὰ στόμα, τουτέστι τῶν εἰς τὸ στόμα τῶν ἵππων ὄντων ἱππικῶν πηδαλίων, τῶν ἀύπνων καὶ τῶν μὴ ἐώντων με ἠρεμεῖν ἐν ὕπνῳ, τῶν χαλινῶν λέγω τῶν πυριγενετῶν, ἤτοι τῶν ἐν τῷ πυρὶ χαλκευθέντων, καὶ ὅτι αἱ σύριγγες αἱ ἑλίτροχοι, περὶ ἃς ἑλίσσονται οἱ τροχοί, ἔκλαγξαν, φησὶ πρὸς αὐτόν· τί οὖν, ὁ ναύτης ἆρα μὴ τῆς νηὸς καταποντιζομένης ἐν τῇ θαλάσσῃ εὗρε μηχανὴν σωτηρίας φυγὼν ἀπὸ πρύμνης εἰς πρῷραν; οὕτως οὖν οὐδὲ ὑμεῖς μηχανὴν σωτηρίας εὑρήσετε περιιοῦσαι καὶ ἐλθοῦσαι ὡδί, καταλείψασαι τὰ οἰκεῖα οἰκήματα.

Th 208-210b P 1 PdSj ἰαμβικοὶ τρίμετροι στίχοι τρεῖς.

Th 208-210c F pc σύστημα στίχων γ′.

Th 208-210d T ἡμέτερα· + τί οὖ ν· σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς μὲν πρὸς τὰς στροφάς, ὁμοιομερὲς δὲ τῷ μετὰ τὴν ἀντιστροφὴν συστήματι οὗ ἡ ἀρχὴ πύργον στέγειν εὔχεσθε (216), στίχων τριμέτρων ἀκαταλήκτων ἰαμβικῶν τριῶν.

Th 208-210e ἐπὶ τῷ τέλει παράγραφος. T ὃ λέγει τοιοῦτόν ἐστι· οὐ δεῖ σε καταλιποῦσαν τοὺς οἴκους σου ὧδε ὑπάρχειν· ὅπου γὰρ εἶ πᾶν πεπρωμένον πείσῃ ὡς ὁ ναύτης ὅταν καταποντίζηται ἡ ναῦς.

Th 208-210f Fb τί] λέγεις δῆλον.

Th 208a YaYb τί] ἔστω τοῦτο ὡς λέγεις.

Th 208b θT ὁ ναύτης] ποιεῖ δηλονότι.

Th 208c BCFb ἆρα] ἐκ παραλλήλου.

Th 208d θ τὸ ἐντελὲς οὕτως· μὴ εἰς πρῷραν.

Th 208e I 1 φυγὼν] καθάπερ ὑμεῖς ἄνω καὶ κάτω τῆς πόλεως ἰοῦσαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 208f θT πρύμνηθεν] ἀπὸ τῆς πρύμνης.

Th 209a A 2 BCHaPPdR 1 θTXcYaYb εὗρε] ἐπέτυχε.

Th 209b YaYb μηχανὴν σωτη ( ρία ς)· οὐκοῦν οὐδὲ ὑμεῖς μηχανὴν σωτηρίας περιιοῦσαι τὴν πόλιν εὑρήσετε.

Th 209c I 1 M μηχανὴν] μέθοδον τοῦ πῶς δεῖ σεσῶσθαι.

Th 209d θT μηχανὴν] πόρον τινά.

Th 209e A 2 νεὼς] τοῦ πλοίου.

Th 210a YaYb καμούσης] κλυδωνιζομένης.

Th 210b A 2 BHYaYb καμούσης] κακοπαθούσης.

Th 210c CXc καμούσης] ταραχιζομένης.

Th 210d YaYb καμούσης] βαπτισθείσης.

Th 210e PPd καμούσης] καταποντιζομένης.

Th 210f AbHaNaPV καμούσης] καταβαλλομένης.

Th 210g AbHa καμούσης] χειμασθείσης.

Th 210h θT ποντίῳ] θαλασσίῳ.

Th 210i AbHaV πρὸς] ἀργόν.

Th 210j A 2 κύματι] οὐδαμῶς δηλονότι.

Th 210k FbT ἀντισπαστικὰ κῶλα ε′ ἰσόμετρα τοῖς ἄνω.

Th 211-215a ἔοικε δὲ ἀντιστροφὴ εἶναι τῆς ἄνω στροφῆς. F pc ἀντιστροφὴ κώλων ζ′.

Th 211-215b T + ἀλ λ ’ ἐπὶ δαιμόνω ν· ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχὴ ὦ φίλον Οἰδίπου (203)· καὶ αὕτη γὰρ κώλων ὁμοίων ἐστὶν ζ′.

Th 211-215c τὸ μέντοι β′ κῶλον τὸν δεύτερον ἔχει πόδα πεντασύλλαβον ἐπίτριτον ἀντὶ διτροχαίου, καὶ τὸ ς′ συνίζησιν κατὰ τὸν δεύτερον πόδα, ἤτοι τὸν διίαμβον. ἐπὶ τῷ τέλει παράγραφος μόνη. T ἀλλ’ ἐπὶ τὰ ἀρχαῖα βρέτη καὶ εἴδωλα τῶν θεῶν ἦλθον πρόδρομος, τουτέστι μετὰ δρόμου, πίσυνος καὶ θαρροῦσα τοῖς θεοῖς. [5]

Th 211-215d ὅτε ὁ βρόμος καὶ ὁ ἦχος ἐγένετο τῆς ὀλεθρίας νιφάδος τῆς νιφομένης ἐν ταῖς πύλαις, ἤγουν τῆς συρρεύσεως καὶ συνεχείας τῶν βελῶν τῶν πρὸς τὴν πόλιν πεμπομένων ὑπὸ τῶν πολεμίων, τότε δὴ ἐν τῷ φόβῳ καὶ ἕνεκα τοῦ κατασχόντος με φόβου ἤρθην καὶ ἐκινήθην πρὸς τὰς λιτὰς τῶν μακάρων καὶ τῶν θεῶν, ἵνα τὴν αὐτῶν ἀλκὴν καὶ δύναμιν καὶ βοήθειαν ὑπὲρ τῆς πόλεως ἡμῶν ἔχοιεν, ἤγουν ὡς ἂν τῇ πόλει συνασπίζωσιν. P 1 PdSj ἀλ λ ’ ἐπὶ δαιμόνων πρόδρομος ἦλθο ν· ὅτε βρόμος καὶ κτύπος γέγονε ἐν πύλαις—τοῦτο δὲ ἔξωθεν—νιφάδος ὀλοῆς νιφομένης, τότε δὴ ἦλθον πρὸς τὰ ἀρχαῖα καὶ πατρῷα εἴδωλα τῶν θεῶν, θαρρῶν τοῖς θεοῖς· τότε ἤρθην πρὸς μακάρων λιτάς. [5]

Th 211-214a ἀσυνδέτως ταῦτα. ἢ οὕτως· ἐπὶ δαιμόνων ἦλθον βρέτη, διότι βρόμος ἐν πύλαις νιφάδος ὀλοῆς νιφομένης, ἤγουν συχνῶν βελῶν καταφερομένων πρὸς τὴν πόλιν, καὶ οὕτως τὸ ἑξῆς· τότε δὴ ἦλθον πρὸς μακάρων λιτάς. BCDHNcNdP 2a VWXaXcY YaYb ἀλλὰ πρόδρομος ἐπὶ τὰ ἀρχαῖα βρέτη τῶν δαιμόνων θαρρῶν τοῖς θεοῖς δὴ τότ’ ἤρθην [ἐν φ]όβῳ πρὸς τὰς λιτὰς τῶν μακάρων, ὅταν ὁ βρόμος τῆς ὀλεθρίας νιφάδος νιφομένης [ἐν] ταῖς πύλαις. [5]

Th 211-214b X λέγοντος τοῦ Ἐτεοκλέους πρὸς τὸν χορόν· μὴ δύναταί τις ἀπὸ τῆς πρύμνης ἐπὶ τὴν πρῷραν φυγὼν εὑρεῖν σωτηρίαν ποντιζομένης τῆς νηός; ἀποκρίνεται ὁ χορὸς λέγων ὅτι· ναί, οὐ

δύναται, ἀλλὰ διὰ τοῦτο ὀφείλει προσεύχειν τοῖς θεοῖς πρὸ τοῦ κινδύνου, ὃ καὶ ἡμεῖς ποιοῦμεν, ἵνα σωτηρίας ἔχῃ ἐλπίδα. [5]

Th 211-214c O ἀλλὰ προέδραμον ἐπὶ τὰ ἀρχαῖα βρέτη τῶν δαιμόνων, ἤρθην τῷ φόβῳ πρὸς τὰς λιτὰς τῶν μακάρων, πίσυνος αὐτοῖς ἵνα ὑπερέχοιεν τῆς πόλεως ἀλκήν, τότε δὴ ὅτε ὁ ἦχος γίνεται τῆς ὀλεθρίας νιφάδος ἐν ταῖς πύλαις.

Th 211-214d O πρὸ τοῦ κινδύνου ἔδραμον εἰς τὰ ἀρχαῖα βρέτη τῶν θεῶν.

Th 211a A 2 Ξa οὔτε ἐκεῖνος τοῦτο ποιεῖ, οὔτε ἐγὼ μάτην φέρομαι πρὸς τὴν πόλιν.

Th 211b θT δαιμόνων] θεῶν.

Th 211c AbHaVYaYb πρόδρομος] προτρέχουσα.

Th 211d A 2 AbCFbHHaLcM 2 RbX 2 Ξa πρόδρομος] προτρέχων τῶν ἄλλων.

Th 211e YaYb πρόδρομος] ταχεῖα.

Th 211f DNaPT ἀρχαῖα ἢ τὰ βασιλικὰ τὰ ἀρχὴν καὶ ἐξουσίαν ἔχοντα τῶν ὅλων ἢ τὰ πατρῷα.

Th 211g I 1 ἀρχαῖα βρέτη] ἐπὶ τὰ παλαιὰ εἴδωλα.

Th 211h HaNa ἀρχαῖα βρέτη] τὰ ἐξ ἀρχῆς ὄντα τῇ πόλει ἀγάλματα.

Th 211i θT ἀρχαῖα] βασιλικὰ παρὰ τὴν ἀρχήν.

Th 211j MPPd βρέτη] εἴδωλα.

Th 211k AbBHRbVYaYb πίσυνος] θαρροῦσα.

Th 212a A 2 AbCHHaNaPPdθTXcYaYb πίσυνος] θαρρῶν.

Th 212b BVY τὸ πίσυνος ἐκ τοῦ πείθω.

Th 212c γράφεται δὲ διὰ τοῦ ι ὃν λόγον καὶ τὸ θίασος ἐκ τοῦ θειάζω, ἔτι δὲ καὶ ὁ πιθανὸς ἐκ τοῦ πείθω παραχθείς. Συρακουσίων δὲ γλώσσης τὸ πίσυνος κατὰ τὸν κανόνα τὸν λέγοντα· πολλά εἰσιν ὀνόματα ἀπὸ ῥημάτων γινόμενα, γραφομένων τῶν ῥημάτων καὶ τὰ ἑξῆς. δύναται δὲ καὶ ἀπὸ τοῦ πιστός, πιστόσυνος γίνεσθαι κατὰ τοὺς παλαιοὺς κατὰ συγκοπὴν τῆς στο συλλαβῆς. A 2 Ξa θεοῖς] συνίζησις. [5]

Th 212d F pc T νιφάδος ὅτ' ὀλοᾶς] ὀλοὴν νιφάδα λέγει τὴν σύρρευσιν καὶ συνέχειαν τῶν βελῶν.

Th 213a CVXcYaYb νιφάδα τὸ τῶν πολεμίων ἔθνος.

Th 213b M νιφάδ(ι) παρείκασε τὸ τῶν πολεμίων ἔθνος διὰ τὸ πλῆθος αὐτῶν.

Th 213c I 1 νιφάδος] τῆς τῶν λίθων κινήσεως.

Th 213d HVYaYb νιφάδος] ζάλης.

Th 213e DFdH νιφάδος] τῆς τῶν λίθων συγκινήσεως ἢ τῆς συρρεύσεως τῶν βελῶν.

Th 213f PPd νιφάδος] πλήθους.

Th 213g AbHa νιφάδος] βελῶν καὶ λίθων σωρείας.

Th 213h θT νιφάδος] σωρείας λίθων.

Th 213i A 2 Ξa ὀλοᾶς] ὀλεθρίας.

Th 213j A 2 BHθTY ὀλοᾶς] φθαρτικῆς.

Th 213k AbHa νιφομένας] βαλλομένας.

Th 213l PPd νιφομένας] ἐπερχομένας.

Th 213m CXc νιφομένας] ῥιπτομένης.

Th 213n HaNa νιφομένας] δίκην χιόνος πιπτούσης.

Th 213o

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θTΞa βρόμος] ἦχος ἐγένετο.

Th 213p A 2 BCθTXc πύλαις] τῆς πόλεως.

Th 213q T δὴ τότ’] τότε δὴ κατὰ ἀναστροφήν.

Th 214a T ἤρθην] ἐκινήθην.

Th 214b AbBCDFdHHaOPPdR 1 VYYaYb ἤρθην] διηγέρθην.

Th 214c θT ἤρθην] ὥρμησα.

Th 214d A 2 Ξa μακάρων] τῶν θεῶν.

Th 214e FbHaTVX 2 YaYb λιτὰς] παρακλήσεις.

Th 214f HaLcNaRbVYaYb λιτὰς] ἱκεσίας.

Th 214g PdT λιτὰς] δεήσεις.

Th 214h θT ὑπερέχοιε ν· ἵνα τὴν αὐτῶν βοήθειαν ὑπὲρ ἡμῶν ἔχοιεν οἱ θεοὶ καὶ ὑπερασπίσωσι τῆς πόλεως ἡμῶν.

Th 215a P 3 VYaYb ἦλθον πρὸς παρακλήσεις τῶν θεῶν ἵνα τὴν ἑαυτῶν ἰσχὺν ὑπὲρ ἡμῶν ἔχωσι, τουτέστι βοηθῶσιν ἡμῖν.

Th 215b ἢ καὶ οὕτως· ἵνα ὑπερέχοιεν τὴν ἀλκὴν τῆς πόλεως, ἤγουν ἰσχυροτέραν ἀποφαίνωσι τῶν πολεμίων. I 1 πόλις καὶ ἄστυ διαφέρει.

Th 215c πόλις λέγεται τὸ οἰκοδόμημα, ἄστυ δὲ ἡ κατασκευή. DNcVWYaYb ἄλλως· πόλις μὲν ὁ τόπος καὶ οἱ κατοικοῦντες καὶ τὸ συναμφότερον, ἄστυ δὲ μόνος ὁ τόπος.

Th 215d W πόλεως] συνίζησις.

Th 215e F pc T ἵνα τὴν ἑαυτῶν ἀλκὴν ὑπὲρ ἡμῶν ἔχοιεν οἱ θεοί.

Th 215f M ὑπερέχοιεν] φέροιεν.

Th 215g PPd ὑπερέχοιεν] τὴν ὑπὲρ πρὸς τὸ πόλιν σύναψον.

Th 215h FbT ὑπερέχοιεν] ὑπερτείνειεν.

Th 215i A 2 ἀλκάν] δύναμιν.

Th 215j A 2 Xc ἀλκάν] βοήθειαν.

Th 215k θTYaYb ἀλκάν] τὴν ἰσχύν.

Th 215l HaVΞa ἰαμβικοὶ στίχοι τρεῖς.

Th 216-218a F pc σύστημα στίχων γʹ.

Th 216-218b T + πύργον στέγει ν· τὸ παρὸν σύστημα ὅμοιόν ἐστι τῷ ἄνω συστήματι οὗ ἡ ἀρχὴ τί οὖν (208)· καὶ τοῦτο γὰρ στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων τριῶν.

Th 216-218c ἐπὶ τῷ τέλει παράγραφος. T πύργον στέγειν εὔχεσθ ε· εὔχεσθε τὸν πύργον, ἤτοι τὰ ἡμέτερα τείχη, μένειν ἀσφαλῶς καὶ στέγειν καὶ ὑπομένειν τὸ πολεμικὸν δόρυ· οὐκοῦν ταῦτα ἃ φῄς ἔσται πρὸς τῶν θεῶν, ἤτοι τὸ ἀλκὴν καὶ βοήθειαν παρέχειν ἡμῖν.

Th 216-217 BCHNcNdP 1 PdSjVWXaXcYYaYb πύργον στέγειν εὔχ ( εσθ ε)· τοῦτο εὔχεσθε, διαμένειν ἡμῶν τὰ τείχη ἀσφαλῶς ὥστε τὸ δόρυ στέγειν καὶ ἀπείργειν τοὺς πολεμίους.

Th 216a M πύργον] τὰ ἡμέτερα τείχη.

Th 216b BFbP πύργον] τὸν ἡμέτερον.

Th 216c DH πύργον] τὴν πόλιν.

Th 216d A 2 HaNaPdX 2 Ξa πύργον] ἤτοι τὴν πόλιν ἀπὸ μέρους.

Th 216e PθT στέγειν] ὑπομένειν.

Th 216f A 2 AbBCDHHaPR 1 θTXYaYb στέγειν] καὶ φέρειν.

Th 216g A 2 Ξa εὔχεσθε] παρακαλεῖτε.

Th 216h CY πολέμιον δόρυ] τὸ πολεμικόν.

Th 216i BPV πολέμιον δόρυ] ἤγουν τὸν πόλεμον.

Th 216j FbHaNaT τάδ’ ἔσται] ἤγουν τὸ στέγειν τὸν πύργον τὸ πολεμικὸν δόρυ.

Th 217a PPd τάδ’ ἔσται] τὸ τὴν πόλιν τοὺς πολεμίους ὑπομένειν ὥστε καὶ αὐτὴ εἰκότως ἐποίουν προσπίπτουσα τοῖς ἀγάλμασιν.

Th 217b θT ἤγουν συναπολλύουσιν καὶ αὐτοὶ τοὺς ναοὺς ἢ ὑπεξίστανται τῆς πόλεως.

Th 217c I 1 ἀλλὰ λόγος ἐξᾴδεται τοὺς τῆς πόλεως θεοὺς φεύγειν πορθηθείσης αὐτῆς.

Th 217d λέγεται γὰρ ὅτι, ὅταν ἔμελλε πορθηθῆναι ἡ Τροία, ἐφάνησαν οἱ θεοὶ τοῖς Τρωσὶν ἀνελόμενοι ἐκ τῶν ναῶν τὰ ἀγάλματα ἑαυτῶν. BCFb HNaNcNdPPdSjVWXaYYaYb ᾄδεται λόγος ὅτι, ἡνίκα κρατηθῇ ἡ πόλις παρὰ τῶν πολεμίων, τότε οἱ θεοὶ φεύγουσιν.

Th 217e X ἁλούσης] κρατηθείσης.

Th 218a Fb a TYaYb ἁλούσης] πορθηθείσης.

Th 218b A 2 AbHaΞa ἁλούσης] πορθουμένης.

Th 218c θTV πόλεος] + διὰ τὸ μέτρον.

Th 218d T ἐκλείπειν] ᾄδεται.

Th 218e BCHPXXcY ἐκλείπειν] ἀποδημεῖν.

Th 218f FbPdT ἐκλείπειν] ὑποχωρεῖν.

Th 218g NaPV ἐκλείπειν] ἐκφεύγειν.

Th 218h A 2 Ξa λόγος] φήμη.

Th 218i A 2 AbBCHaNaθTXc ἑτέρα στροφή.

Th 219-222a τὰ δὲ κῶλα ἀντισπαστικὰ ὅμοια τοῖς ἄνω γʹ. τὸ δὲ τέταρτον ἡμιόλιον. F pc στροφὴ ἑτέρα κώλων δʹ.

Th 219-222b T ἡμέτερα· + μήπο τ ’ ἐμό ν· ἡ βʹ αὕτη στροφὴ κώλων ἐστὶ δʹ.

Th 219-222c τὸ αʹ χοριαμβικὸν τρίμετρον ἀκατάληκτον ὅμοιον τῷ αʹ τῆς πρώτης στροφῆς ἐκ χοριάμβου, ἀντισπάστου καὶ διιάμβου. τὸ βʹ ὅμοιον κατὰ πάντα. τὸ γʹ ὅμοιον τρίμετρον καταληκτικὸν ἐκ χοριάμβου, διιάμβου καὶ κρητικοῦ. τὸ δʹ ὅμοιον τῷ δʹ τῆς πρώτης στροφῆς ἐκ χοριάμβου καὶ διιάμβου πεντασυλλάβου. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ ἐν ἀρχῇ τοῦ κώλου καὶ κατὰ τὸ τέλος. T μήποτε λείψει ἥδε ἡ πανήγυρις τῶν θεῶν κατὰ τὸν ἐμὸν αἰῶνα, ἤτοι κατὰ τὴν ἐμὴν ζωήν, μηδὲ ἐπιθεάσαιμι τὴν πόλιν καταπορθουμένην μηδὲ παρὰ τοῦ στρατεύματος καιομένην.

Th 219-222d X μήπο τ ’ ἐμὸν κα τ ’ αἰῶν α· μηδέποτε αὕτη ἡ πανήγυρις τῶν θεῶν, ἤγουν ἡ συναγωγὴ τῶν ἐνταῦθα ὄντων θεῶν, καταλείψοι τὴν πόλιν κατ’ ἐμὸν αἰῶνα καὶ χρόνον, ἤγουν ἐπὶ τοῦ ἐμοῦ βίου.

Th 219-220 BCHNcNd P 1 PdSjVWXaYYaYb μήπο τ ’ ἐμὸν κα τ ’ αἰῶ ( ν α)· μηδέποτε, φησίν, ἐπὶ τοῦ ἐμοῦ βίου καταλείποιεν τὴν πόλιν οἱ θεοί.

Th 219a εὑρὼν δὲ ὁ Αἰσχύλος παρὰ τῷ Ὁμήρῳ τὸ (Σ 376) θεῖον δύσονται ἀγῶνα —παρὰ γοῦν τὸ εἰς τὸ αὐτὸ ἀγείρεσθαι ἀγῶνα εἴρηκεν—τὴν οὖν τῶν θεῶν εἰς τὸ αὐτὸ συναγωγὴν πανήγυριν τραγικώτερον εἶπεν. M μήποτε, φησίν, ἐπὶ τοῦ ἐμοῦ βίου καταλίποιεν τὴν πόλιν οἱ θεοί.

Th 219b

I 1 εὑρὼν Αἰσχύλος παρὰ Ὁμήρῳ τὸ (Σ 376) αὐτόμαται θεῖον δύσονται ἀγῶνα —παρὰ τὸ εἰς τὸ αὐτὸ {δὲ} ἀγείρεσθαι ἀγῶνα εἴρηκε—τὴν τῶν θεῶν εἰς τὸ αὐτὸ συναγωγὴν τραγικώτερον πανήγυριν εἶπεν.

Th 219c εἴωθε γὰρ ἐν ταῖς πανηγύρεσι συνέλευσιν καὶ συναγωγὴν λαοῦ γίνεσθαι. I 1 εὑρὼν δὲ ὁ Αἰσχύλος παρ’ Ὁμήρῳ ἀγῶνα εἰρημένον τὸν σύλλογον τῶν θεῶν παρὰ τὸ εἰς τὸ αὐτὸ ἀγείρεσθαι, ὡς τὸ (Σ 376) αὐτόματοι θεῖον ἀγῶν α, τραγικώτερον πανήγυριν εἴρηκεν τὴν εἰς ταὐτὸ τῶν θεῶν συναγωγήν. [5]

Th 219d Υ ἐμὸν κατ’ αἰῶνα] κατὰ τὴν ἐμὴν ζωήν.

Th 219e A 2 AbCHaPPdθTXc YaYb αἰῶνα] ζωήν.

Th 219f DHI 1 NaV λίποι] τὴν πόλιν.

Th 219g A 2 I 1 Pd πανήγυρις] ἡ συναγωγή.

Th 220a FbI 1 NaPV πανήγυρις] ἑορτή.

Th 220b BYaYb πανήγυρις] ἡ πληθύς.

Th 220c PPdθT πανήγυρις] χορός.

Th 220d A 2 ἐπίδοιμι] θεάσαιμι.

Th 221a AbHaYaYb ἀστυδρομουμένην] πορθουμένην.

Th 221b AbCDHHaOPPdSjXcYYa Yb ἀστυδρομουμένην] ὑπὸ τῶν ἀστῶν περιερχομένην· οἱ γὰρ τῆς ἁλούσης πόλεως πολῖται ἄνω καὶ κάτω πρὸς αὐτὴν χωροῦσι γυναῖκας, τέκνα, χρήματα, ἐσθῆτας τ’ ἄλλα σῴζειν θέλοντες.

Th 221c θT ἀστυδρομουμένην] ὑπὸ τῶν ἀστῶν καὶ πολιτῶν περιερχομένην.

Th 221d A 2 Ξa ἀστυδρομουμένην] + περιερχομένην ἁπλῶς ὑπὸ τῶν πολεμίων.

Th 221e T στράτευμ’] τῶν Θηβαίων.

Th 221f BHPdYaYb στράτευμ’] τῶν πολεμίων.

Th 221g A 2 FbFdPTΞa ἁπτόμενον] γρ.

Th 222a τυφόμενον οἷον καιόμενον πολεμίῳ πυρί. M ἁπτόμενον] καιόμενον.

Th 222b BCDFdHHaLcPPdRbYYaYb ἁπτόμενον] φλογιζόμενον.

Th 222c YaYb ἁπτόμενον] ἀναπτόμενον.

Th 222d NaPY ἁπτόμενον] τὸ στράτευμα διὰ τοὺς πολεμίους νόει οὕτω· μηδὲ ἐπίδοιμι τὸ στράτευμα τῶν πολεμίων ἁπτόμενον τῆς πόλεως ἐν πυρὶ δαΐῳ, ἤτοι κᾶον αὐτήν.

Th 222e A 2 θT ἁπτόμενον] + ἤγουν κρατῆσαν τῆς πόλεως καὶ καῖον αὐτήν.

Th 222f T ἁπτόμενον] πόλεως.

Th 222g A 2 FbΞa ἁπτόμενον] καίων.

Th 222h A 2 πυρὶ δαΐῳ] ἤτοι τῷ τοῦ πολέμου ἢ περιφραστικῶς τῷ πολέμῳ.

Th 222i YaYb δαΐῳ] πολεμικῷ.

Th 222j AbBHLcNcPRaRbSjVX 2 Y δαΐῳ] ἀφανιστικῷ.

Th 222k CSj δαΐῳ] καυστικῷ.

Th 222l BFbHNaNcP ἰαμβικοὶ στίχοι γʹ.

Th 223-225a F pc + κατὰ περικοπὴν ἴαμβοι γʹ.

Th 223-225b ἐπὶ τῷ τέλει παράγραφος. T καλοῦσα] + ἐπικαλουμένη, ὀνομάζουσα.

Th 223a T καλοῦσα] ἐπιβοωμένη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 223b A 2 μή—βουλεύου κακῶς] ἀλλὰ πειθαρχῶν δῆλον.

Th 223c CXc βουλεύου κακῶς] διὰ θρήνων καὶ σπαραγμάτων τοὺς πολίτας κατακλῶσα καὶ πρὸς δειλίαν ὑπάγουσα.

Th 223d θ βουλεύου] + ἤγουν λέγε τοιαῦτα οἷα λέγεις κατὰ τῆς πόλεως.

Th 223e T κακῶς] δειλῶς.

Th 223f BHPPd πειθαρχία γάρ ἐστι τῆς εὐπρα ( ξία ς)· πάνυ λαμπρῶς ὁ Αἰσχύλος τὴν πειθαρχίαν μητέρα τῆς εὐπραξίας ὠνόμασεν, ἐμφαίνων ὅτι καλόν ἐστι τὸ πειθαρχεῖν.

Th 224a πειθόμεναι γὰρ καὶ αἱ πόλεις τοῖς κρατοῦσιν ἑστᾶσιν. τινὲς δὲ ἀντὶ εὖ πράσσειν. σωματοποιεῖ δὲ τὰ πράγματα. M λαμπρῶς τὴν πειθαρχίαν εὐπραξίας μητέρα ὠνόμασε, ἐμφαίνων ὡς καλὸν τὸ πειθαρχεῖν.

Th 224b σωματοποιεῖ δὲ τὰ πράγματα. I 1 πειθαρχία γάρ ἐστ ι· πάνυ εὐφυῶς ὁ Αἰσχύλος τὴν πειθαρχίαν γυναῖκα ὠνόμασε μητέρα τῆς εὐπραξίας τῆς σωτῆρος, λέγων· ἡ πειθαρχία γυνή ἐστι μήτηρ τῆς σωτῆρος εὐπραξίας· οὕτως λέγεται λόγος, ἐμφαίνων ὅτι καλόν ἐστι τὸ πειθαρχεῖν· πειθόμεναι γὰρ αἱ πόλεις τοῖς κρατοῦσιν ἑστᾶσιν. [5]

Th 224c BCDHNcNdP 1 PdSjVWXaXcYYaYb πειθαρχία] ἐνταῦθα Αἰσχύλος σωματοποιεῖ τὴν πειθαρχίαν γυναῖκα καλῶν· λέγει δὲ ὡς ὁ πειθόμενος τῷ τὰ λῷστα συμβουλεύοντι οὗτος ἄριστα πράσσει.

Th 224d A 2 θΞa πειθαρχία] κατάπεισις.

Th 224e AbNa πειθαρχία] τὸ πείθεσθαι τοῖς ἄρχουσι.

Th 224f CSjT πειθαρχία] ἡ πειθώ.

Th 224g A 2 Ξa εὐπραξίας] τῆς εὐτυχίας.

Th 224h CSj εὐπραξίας] + ἤτοι τοῦ εὖ πράττειν.

Th 224i T μήτηρ] αἰτία.

Th 225a AbHa γυνὴ] λείπει Διός, γυνὴ Διὸς σωτῆρος.

Th 225b M γυνὴ] πρὸς τὸν χορόν.

Th 225c CXc γυνὴ] μήτηρ σωτηρίας.

Th 225d A 2 σωτῆρο ς· τοῦ Διός· σῴζει γὰρ ἡ πειθαρχία.

Th 225e I 1 σωτῆρος] τοῦ Διός.

Th 225f I 1 σωτῆρος] τῆς σωστικῆς.

Th 225g BM 2 NaNbθTVXcYYaYb ὧδ’ ἔχει] οἰκείως ἔχουσα πρὸς τὸ σῴζεσθαι.

Th 225h M λόγος] φήμη.

Th 225i A 2 CNaΞa ἔστι θεοῖς δ ’ ἔτι ἰσχύ ς· ὁ χορός φησι πρὸς τὸν Ἐτεοκλέα· ἀλήθειά ἐστιν ὅτι ἡ πειθαρχία μήτηρ τῆς σωστικῆς εὐπραξίας πέφυκεν· ἔστι δὲ καὶ τοῖς θεοῖς δύναμις ὑπερέχουσα πάντων.

Th 226-229a πολλάκις δὲ ἡ τῶν θεῶν ἰσχὺς τὴν ἀμήχανον νεφέλην καὶ ἐκ χαλεπῆς δύης κρεμαμένην ὕπερθεν τῶν ὀμμάτων ὀρθοῖ καὶ ἀποσοβεῖ αὐτήν. BCHNcNdP 1 PdSj VWXaYYaYb λείπει τὸ ἀληθές, ἵν’ ᾖ οὕτως· ἀληθές ἐστι ὅτι ἡ πειθαρχία μήτηρ πέφυκε τῆς εὐπραξίας. [5]

Th 226-229b στικτέον εἰς τὸ ἔστι [............... ..]ουσιν. τὸ δὲ θεοῖς δ ’ ἔ τ ’ ἰσχὺς καθυπερτέρα, δηλονότι ἔστι τοῖς θεοῖς δύναμις [.........................] ἐκ τῆς χαλεπῆς δύης κρεμαμένην ὕπερθεν τῶν ὀμμάτων ὀρθοῖ. I 2 ἔστι θεοῖς δύναμις ὑπερτέρα καὶ ἰσχυροτέρα· πολλάκις δὲ καὶ ἐν κακοῖσι τὴν ἀμήχανον νεφέλην τὴν κρεμαμένην ὑπεράνω τῶν ὀμμάτων κἀκ χαλεπῆς κακοπαθείας ἀποσοβεῖ. [5]

Th 226-229c X ἑτέρα ἀντιστροφή.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 226-229d τὰ δὲ κῶλα ἀντισπαστικὰ ὅμοια τοῖς τῆς στροφῆς τρίμετρα βραχυκατάληκτα γʹ. τὸ δὲ δʹ ἡμιόλιον. F pc ἀντιστροφὴ κώλων δʹ.

Th 226-229e T + ἔστι θεοῖ ς· ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχή· μήπο τ ʼ ἐμόν (219).

Th 226-229f καὶ αὕτη γὰρ κώλων ἐστὶν ὁμοίων ἐκείνῃ κατὰ πάντα δʹ. ἐπὶ τῷ τέλει παράγραφος μόνη. T ἔστι] καλῶς εἶπας τοῦτο.

Th 226a θT ἰσχὺς] δύναμις.

Th 226b AbBCTYaYb καθυπερτέρα] μεγίστη καὶ ἐπέκεινα πάντων.

Th 226c BHPPdYaYb καθυπερτέρα] ὑψηλοτέρα.

Th 226d CFdI 2 PV καθυπερτέρα] κρείττων.

Th 226e CHaXc καθυπερτέρα] μεγάλη.

Th 226f AbCR 1 καθυπερτέρα] ὑψηλοτέρα τῆς πειθαρχίας.

Th 226g A 2 θTΞa πολλάκι] ἡ τῶν θεῶν ἰσχύς.

Th 227a BDNaSjXc πολλάκι] + διὰ τὸ μέτρον.

Th 227b T ἐν κακοῖσι] ἐν δυστυχίαις.

Th 227c AbBCHYaYb ἀμήχανον] πρὸς ἣν οὐκ ἔστι μηχανή.

Th 227d BCHNcXc ἀμήχανον] τὴν ἄπορον.

Th 227e DHPd ἀμήχανον] εἰς ἣν οὐκ ἔχει τις μηχανήσασθαι.

Th 227f θT ἀμήχανον] τὴν ἄπορον, τὴν ἰσχυράν.

Th 227g A 2 χαλεπᾶς δύας] κακῆς τύχης.

Th 228a θT δύας] κακοπαθείας.

Th 228b HNaR 1 X 2 YaYb ὀμμάτων] πρὸ ὀφθαλμῶν.

Th 228c FdI 1 κριμναμέναν νεφέ ( λα ν)· τὸν μὴ δυνάμενον ἑαυτῷ μηχανήσασθαι καὶ βοηθῆσαι ὁ θεὸς ὀρθοῖ.

Th 229a M τὸν μηδὲν δυνάμενον ἑαυτῷ βοηθῆσαι, τούτῳ ὁ θεὸς διδοῖ δύναμιν καὶ καταπίπτοντα τὸν τοιοῦτον ἀνορθοῖ.

Th 229b I 1 οὕτω χρὴ γράφεσθαι ἵνʼ εἴη τὸ ἑξῆς ἡμιόλιον ὡς τὰ λοιπά.

Th 229c F pc κρημναμέναν] ἐπιφερομένην, ἐπικειμένην.

Th 229d BDHYaYb κρημναμέναν] κρεμαμένην.

Th 229e BFbH κρημναμέναν] ὑπερκειμένην.

Th 229f A 2 θT νεφέλαν] θόρυβον, ζάλην.

Th 229g BHYaYb νεφέλαν] θλῖψιν.

Th 229h CNaPXc νεφέλαν] τὴν τῆς ἀθυμίας σκοτόμαιναν.

Th 229i θT ὀρθοῖ] ἀποσοβεῖ.

Th 229j BHNcOPdQR 1 VXXcY ὀρθοῖ] ἀποδιώκει, ἀποσοβεῖ αὐτήν.

Th 229k CYaYb ὀρθοῖ] ἀνιστᾷ, ἀποσοβεῖ.

Th 229l NaP ὀρθοῖ] ἀνορθοῖ.

Th 229m HaNa ὀρθοῖ] ἐγείρει καὶ εἰς τοὐναντίον τρέπει.

Th 229n θTΞa ὀρθοῖ] τὴν ζόφωσιν τὴν ἐξ ἀθυμίας εἰς τοὐναντίον τρέπει.

Th 229o

Eulogikon public reading copy · View original HTML at eulogikon.org

A 2 τοῖς ἀνδράσι πρέπει σφάγια ποιεῖν καὶ διὰ τῶν χειρῶν προσφέρειν θυσίας τοῖς θεοῖς, ταῖς δὲ γυναιξίν ἐστι τὸ σιγᾶν καὶ οἰκουρεῖν.

Th 230-232a I 1 ἰαμβικοὶ στίχοι γʹ.

Th 230-232b F pc + κατὰ περικοπὴν ἴαμβοι τρίμετροι γʹ.

Th 230-232c ἐπὶ τῷ τέλει παράγραφος. T γράφεται χωρὶς τοῦ ἐστι ἀνδρῶν τόδε σφάγι α.

Th 230a P 2a ἀνδρῶν] ἴδιον τῶν ἀνδρῶν.

Th 230b DHNaPPd τάδ’] ἃ λέγεις.

Th 230c DHYYaYb τὸ σφάγια καὶ χρηστήρια ἐκ παραλλήλου· οὐ γὰρ μόνον χρηστήρια τὰ μαντεύματα ἀλλὰ καὶ τὰ θύματα.

Th 230d ἢ ὅτι θύοντες τοῖς θεοῖς καὶ αὐτῶν περί του δεόμενοι τὰς μαντείας δεχόμεθα. ἢ ὅτι μέρος μαντικῆς ἐστι καὶ τὸ διὰ σφαγίων τὰς μαντείας ποιεῖσθαι ὁρῶντας τὴν τοῦ ζῴου χολὴν καὶ τὸ ἧπαρ καὶ τὴν κύστην. A 2 θTΞa σφάγια] θυσίαι. [5]

Th 230e YYaYb σφάγια] θύματα.

Th 230f CHaNaθT χρηστήρια] τὰ εἰς χρῆσιν καὶ θυσίαν θύματα.

Th 230g MYaYb χρηστήρια] μαντεύματα.

Th 230h CLcRbVX 2 YaYb χρηστήρια] ἐκ παραλλήλου.

Th 230i T χρηστήρια] τὰ εἰς χρείαν θυσίας θύματα ἢ μαντεύματα· διὰ γὰρ τῶν θυμάτων οἱ μάντεις τὸ μέλλον ἐτεκμαίροντο πυρακτωμένων τε καὶ σφαττομένων.

Th 230j Ξa ἔρδειν] θυσιάζειν.

Th 231a A 2 BDKNaOXcYYaYbΞa ἔρδειν] θύειν.

Th 231b AbC ἔρδειν] πράττειν.

Th 231c AbHaLcR 1 Rb ἔρδειν] ποιεῖν.

Th 231d θTV πειρωμένων] ἀποσόβησιν ποιουμένων.

Th 231e BCHNcYYaYb πειρωμένων] πεῖραν λαμβανόντων.

Th 231f A 2 FdPdΞa ἢ πεῖραν ἁλώσεως ποιουμένων τῶν πολεμίων, ἵν’ ᾖ τὸ πειρωμένων πρὸς πολεμίων καὶ οὐ πρὸς τὸ ἀνδρῶ ν.

Th 231g Fb πειρωμένων] ἀπόπειραν ποιούντων.

Th 231h HaNaSjV πειρωμένων] πεῖραν λαμβανόντων καὶ ἐγχειρούντων αὐτοῖς πρὸς πόλεμον.

Th 231i θT σὸν] τῇ γυναικί.

Th 232a M σὸν] ἔργον ἴδιον.

Th 232b BH σὸν] ἴδιον.

Th 232c NaP σὸν] ἴδιόν ἐστι τῆς γυναικός.

Th 232d YaYb σιγᾶν] σιωπᾶν.

Th 232e X 2 Ya μένειν] καρτερεῖν.

Th 232f AbCX 2 δόμων] τῶν οἴκων.

Th 232g TVYa ἑτέρα στροφή.

Th 233-235a τὰ δὲ κῶλα ἀντισπαστικὰ τρίμετρα ὅμοια τοῖς ἄνω βʹ. τὸ δὲ γʹ ἡμιόλιον. F pc στροφὴ ἑτέρα κώλων γʹ.

Th 233-235b T ἡμέτερα· + διὰ μὲν θεῶ ν· ἡ τρίτη αὕτη στροφὴ κώλων ἐστὶ τριῶν.

Th 233-235c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ α′ χοριαμβικὸν τρίμετρον ἀκατάληκτον ἐκ διιάμβων πεντασυλλάβων δύο καὶ παίωνος τρίτου. τὸ β′ ὅμοιον ἐκ χοριάμβου, ἀντισπάστου καὶ διιάμβου. τὸ γ′ ὅμοιον δίμετρον καταληκτικὸν ἐκ διιάμβου πεντασυλλάβου καὶ κρητικοῦ. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ ἐν ἀρχῇ τοῦ κώλου καὶ κατὰ τὸ τέλος. T + οὕτω χρὴ γράφειν διὰ μὲν θεῶν καὶ τί ταῦτα νέμεσις στυγε ῖ· οὕτω γὰρ οἰκείως ἔχει τὰ κῶλα πρὸς τὰ μέτρα. [5]

Th 233-235d T διὰ θεῶν πόλι ν· διὰ τῆς ἐπικουρίας τῶν θεῶν νεμόμεθα τὴν πόλιν ἀδάμαντον καὶ μὴ δαμαζομένην παρὰ τῶν πολεμίων καὶ μὴ καταπονουμένην· τὸν ὄχλον δὲ τῶν δυσμενέων καὶ τῶν ἐχθρῶν ἀποστέγει καὶ ὑπομένει καὶ καρτερεῖ τὸ τεῖχος καὶ ὁ πύργος τῆς πόλεως.

Th 233-234 BHNcP 1 PdSjVWYYaYb διὰ θεῶν] λείπει δι’ ἐπικουρίαν. [5]

Th 233a M διὰ θεῶν] διὰ τῆς ἐπικουρίας.

Th 233b BCDHNcOPPdR 1 VXcYaYb διὰ θεῶν] διὰ τῆς αὐτῶν βοηθείας.

Th 233c θT θεῶν] συνεργίας.

Th 233d A 2 νεμόμεθ’] οἰκοῦμεν.

Th 233e A 2 DNaNbPPdθTVXcYaYb νεμόμεθ’] κατοικοῦμεν.

Th 233f CHR 1 νεμόμεθ’] ἔχομεν.

Th 233g HaP ἀδάμαντον] ἀπόρθητον.

Th 233h A 2 AbCDHaI 2 NaPPdR 1 θTY ἀδάμαντον] μὴ δαμαζομένην καὶ καταπονουμένην παρὰ τῶν πολεμίων.

Th 233i BHNc ἀδάμαστον] καὶ ἀκαταπόνητον.

Th 233j YaYb δυσμενέων] ἐχθρῶν.

Th 234a AbBHLcPRbTX 2 YaYb δυσμενέων] θεῶν.

Th 234b CP ὄχλον] τὴν πληθύν.

Th 234c LcRbX 2 ὄχλον] τὸ πλῆθος.

Th 234d AbT ὄχλον] ὄχλησιν ἐκ τοῦ πλήθους.

Th 234e A 2 πύργος] ἡ πόλις.

Th 234f LcPdRbX 2 πύργος] τὸ τεῖχος.

Th 234g BFbP ἀποστέγει] κωλύει, καρτερεῖ, ὑπομένει.

Th 234h BHNc ἀποστέγει] ἀποδιώκει, οὐ προσδέχεται.

Th 234i YaYb ἀποστέγει] καρτερεῖ.

Th 234j BP ἀποστέγει] κωλύει.

Th 234k CXc ἀποστέγει] ὑπομένει.

Th 234l A 2 BLcR 1 ἀποστέγει] ἀποδιώκει.

Th 234m AbLcNaX 2 Y ἀποστέγει] ὑπομένει ἢ ἀποδιώκει.

Th 234n PPd ἀποστέγει] ἀποτρέπει.

Th 234o KLcPRb ἀποστέγει] ἤγουν ἀπὸ καὶ μακρὰν ἐκείνων ὑπομένει, τουτέστιν οὐχ ὑπ’ ἐκείνων πορθεῖται.

Th 234p εἰ δὲ τὸ ὄχλον μικρογραφήσεις, τὸ ἀποστέγει ἀντὶ τοῦ ὑπομένει μόνον ἐρεῖς, τὴν ἀπο ἀργὴν λαμβάνων, τὸ δὲ διὰ θεῶν κατὰ κοινοῦ. θ ἀποστέγει] + ἀποπέμπει, ἀποβάλλεται.

Th 234q T ἀποστέγει] περισσὴ ἡ ἀπ ο.

Th 234r

Ξa τί τάδε νέμεσις στυγε ῖ· ὁ χορός φησι πρὸς τὸν Ἐτεοκλέα· τί τάδε ἅ φημι περὶ τῶν θεῶν, εὐεργέτας τούτους ἀποκαλῶν, στυγεῖ ἡ νέμεσις, ἤτοι ἡ ἀπὸ σοῦ μέμψις; ὁ δὲ πρὸς αὐτόν· οὐδαμῶς φθονῶ καὶ νεμεσῶ σοι τοῦ τιμᾶν τοὺς θεούς, ἀλλ' ἵνα μὴ τοὺς πολίτας ποιῇς δειλούς, ἴσθι καὶ ὕπαρχε εὔκηλος καὶ ἥσυχος, μὴ λίαν φοβοῦ· τὸ δὲ ἔκηλος γράφεται καὶ εὔκηλος, τὸ δὲ υ μέτρου αἰτίας ἕνεκά ποτε παραλαμβάνεται. [5]

Th 235-238 BCDHNcNdP 1 PdSjVWXaXcYYaYb οὐδεὶς ταῦτα ὁρῶν ἡμᾶς ποιούσας μισήσειεν 〈ἄν〉.

Th 235a M τί νεμεσητὸν ποιοῦμεν εἰ παρακλητεύομεν τοὺς 〈θεοὺσ〉 ὑπὲρ τῆς πόλεως; οὐδεὶς ἡμᾶς μισήσειεν 〈ἂν〉 ὁρῶν τιμώσας τοὺς σῴζοντας θεούς.

Th 235b I 1 τί τάδ ε· εἰ μὲν στίξεις εἰς τὸ τ ί, τὸ τάδε νέμεσις στυγεῖ κατ' ἐρώτησιν εἴποις οὕτω· τί φῄς, τάδε, τὸ διὰ τῆς βοηθείας τῶν θεῶν οἰκεῖν καὶ σώαν ἔχειν τὴν πόλιν, μεμπτόν ἐστιν; εἰ δ' οὐ στίξεις, καθ' ὁμαλισμὸν εἴποις ἀντὶ τοῦ τί ταῦτα ἃ ποιῶ—λέγω δὴ τὸ δεῖσθαι τῶν θεῶν—μεμπτὰ λογίζονται· εἰκότως δὲ εἶπε τὸ νέμεσις στυγεῖ καὶ οὐκ αὐτὸς μισεῖς· βάρος γὰρ ἂν εἶχεν ὁ λόγος εἰ αὐτοπροσώπως πρὸς αὐτὸν ἐτείνετο. [5]

Th 235c θT τάδε] ταῦτα ἃ λέγεις.

Th 235d YaYb τάδε] ἃ λέγω.

Th 235e CDV νέμεσις] ἡ ἀπὸ σοῦ.

Th 235f BDHI 2 M 2 YaYb νέμεσις] μέμψις.

Th 235g A 2 M 2 NaPd νέμεσις] ἡ σή.

Th 235h A 2 FbKPPdTXXc νέμεσις] ἡ θεά.

Th 235i HaNa στυγεῖ] ἀποτρέπει, ἀποδιώκει.

Th 235j BH στυγεῖ] μισεῖ.

Th 235k A 2 AbCHaNaTVXYaYb στυγεῖ] ἤτοι μεμπτά ἐστιν.

Th 235l θ ἰαμβικοὶ στίχοι γ'.

Th 236-238a F pc + κατὰ περικοπὴν ἴαμβοι γ'.

Th 236-238b ἐπὶ τέλει παράγραφος. T φθονῶ] μέμφομαι.

Th 236a A 2 AbBHaNaPPdθT φθονῶ] μισῶ.

Th 236b YaYb δαιμόνων] τῶν θεῶν.

Th 236c AbBHaTVX 2 XcYaYb τιμᾶν] τὸ τιμᾶν τοὺς σῴζοντας θεούς.

Th 236d M μὴ κακοσπλάγχνους τιθῇ ς· σπλάγχνα λέγεται τὰ ἐντόσθια ὅλα, καὶ τούτων τὰ μὲν ἀνάκεινται τῷ ἥπατι, τὰ δὲ τῇ καρδίᾳ· τοὺς γοῦν εὐτόλμους καὶ ἀνδρείους ἐκ τῆς καρδίας λέγουσι καλοσπλάγχνους, ὡσαύτως καὶ τοὺς δειλοὺς ἐκ ταύτης, τοὺς δὲ συμπαθεῖς λέγουσιν εὐσπλάγχνους ἐκ τοῦ ἥπατος, ὡσαύτως καὶ τοὺς ἀσπλάγχνους. [5]

Th 237a P 3 κακοσπλάγχνους] περιφόβους.

Th 237b BDH κακοσπλάγχνους] κακοκαρδίους.

Th 237c BV κακοσπλάγχνους] δειλούς, φιλοψύχους.

Th 237d PPd κακοσπλάγχνους] δειλούς.

Th 237e A 2 BCHaNaR 1 θTXXcYYaYb τιθῇς] ποιήσῃς.

Th 237f HPPdX τιθῇς] ποιῇς.

Th 237g A 2 AbCNaNcθTVΞa εὔκηλος] ἥσυχος.

Th 238a

A 2 AbBCHHaNaNcPdQθTVXcYaYbΞa ἔκηλος λέγεται ὁ ἥσυχος ἀπὸ τοῦ ἑκὰς καὶ τοῦ πόρρω εἶναι ἁλμάτων καὶ ταραχῶν, καὶ πλεονασμῷ τοῦ υ εὔκηλος.

Th 238b P 1 Pd ποταίνιον κλύουσ α· ὁ χορὸς πάλιν ἀνελθὼν εἰς τὸ τεῖχος τῆς πόλεώς φησι· νεωστὶ γεγενημένον καὶ πρόσφατον κτύπον καὶ ἦχον ἀκούσασα σὺν φόβῳ παρεγενόμην εἰς ταύτην τὴν ἀκρόπολιν, τὸ τίμιον ἔδαφος.

Th 239-241a BCDHNcNdP 1 PdSjVWYYaYb ἑτέρα ἀντιστροφή.

Th 239-241b τὰ δὲ κῶλα ἀντισπαστικὰ τρίμετρα ὅμοια τοῖς ἄνω β′. τὸ δὲ γ′ ἡμιόλιον. F pc ἀντιστροφὴ κώλων γ′.

Th 239-241c T + ποταίνιο ν· ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχὴ διὰ μὲν θεῶν (233).

Th 239-241d καὶ αὕτη γὰρ κώλων ἐστὶν ὁμοίων ἐκείνῃ γ′, πλὴν τὸ μὲν α′ κῶλον ἔχει τὸν δεύτερον πόδα διίαμβον πεντασύλλαβον, τὸν δὲ τρίτον παίωνα πρῶτον. τὸ δὲ γ′ τὸν πρῶτον πόδα χορίαμβον πεντασύλλαβον. ἐπὶ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, ἔξω νενευκυῖαι, δηλοῦσαι ὅτι τέλος ἔσχε τὰ ἀνταποδιδόμενα. T ποταίνιον] πρόσφατον. [5]

Th 239a A 2 AbBCDHHaI 2 M 2 NaNcOPdQR 1 θ TVXcYYaYbΞa ποταίνιον] νέον.

Th 239b BCDHHaPdXcYaYb κλύουσα] ἀκούουσα.

Th 239c A 2 AbCHNaTVX 2 κλύουσα] ἀκούσασα.

Th 239d BYbΞa πάταγον] ἦχον.

Th 239e AbCHaNaR 1 YaYb πάταγον] κτύπον.

Th 239f HPθT κτύπον] πάταγον.

Th 239g FLc ταρβοσύνῳ] ταρακτικῷ.

Th 240a BH ταρβοσύνῳ] τῷ τείροντι διὰ βοῆς, φοβερῷ, καταπληκτικῷ.

Th 240b DPPd YaYb ταρβοσύνῳ] τῷ τάρβοντι διὰ τῆς βοῆς.

Th 240c CXc ταρβοσύνῳ] μετὰ φόβου.

Th 240d CSj ταρβοσύνῳ] φοβουμένῳ.

Th 240e LcRbX 2 ταρβοσύνῳ] + δειλίαν ποιοῦντι.

Th 240f T ταρβοσύνῳ] ταραχώδει.

Th 240g A 2 ἀκρόπτολιν] διὰ τὸ μέτρον.

Th 240h T τίμιον ἕδος] τὴν ἀκρόπολιν, τίμιον ἕδος.

Th 241a M τίμιον ἕδος ἱκόμα ν· διὰ τοῦτο λέγονται τὰ τείχη τῆς πόλεως ἱερά, καθότι καὶ φυλάσσουσι καὶ περισκέπουσι τὴν πόλιν καὶ ἀποσοβοῦσι καὶ ἀποπέμπουσι τοὺς ἀντιπάλους.

Th 241b P 1 V τίμιον] τὸ σεβάσμιον διὰ τοὺς θεούς.

Th 241c PPdYaYb τίμιον] διὰ τὸ τοὺς θεοὺς ἐνταῦθα ἱδρῦσθαι ἢ διὰ τὸ τὰ βασίλεια ἐνταῦθα εἶναι ἢ τὸ τῆς Ἀθηνᾶς ἄγαλμα.

Th 241d LcRb τίμιον ἕδος νόει ἢ ὡς ἐντὸς ἔφαμεν (241 f) ἢ τὸ τῆς Ἀθηνᾶς ἄγαλμα ὃ ἐνταῦθα ἦν· εὕρηται γὰρ ἕδος καὶ τὸ ἄγαλμα καὶ παρὰ ποιηταῖς καὶ λογοποιοῖς.

Th 241e θT τίμιον] διὰ τὸ θεοὺς ἐνταῦθα ἱδρῦσθαι.

Th 241f θT λέγει δὲ τίμιον ἕδος ἢ διὰ τοὺς ἐκεῖ θεοὺς ἢ διὰ τὸ τὰ βασίλεια ἐκεῖ εἶναι ἢ διὰ τὸ τῆς Ἀθηνᾶς ἄγαλμα.

Th 241g A 2 Ξa ἕδος] ἔδαφος.

Th 241h BCV ἕδος] κατοικίαν.

Th 241i YaYb ἱκόμαν] ἦλθον.

Th 241j AbBCDHX ἱκόμαν] παρεγενόμην.

Th 241k BVYaYb οἱ ἑξῆς στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι με′.

Th 242-286 F pc μὴ νῦν ἐὰν θνῄσκοντα ς· ὁ Ἐτεοκλῆς φησι πρὸς τὸν χορὸν ἐπὶ τῆς ἀκροπόλεως ἱστάμενον· μὴ ἁρπαλίζετε ἐν κωκυτοῖς, μὴ ἁρπάζετε τὸ θρηνεῖν, ἐάν τινας ἀκούητε ἢ σφαττομένους ἢ ἡττημένους· ἐν τούτῳ γὰρ τῷ ὀδύρεσθαι καὶ θρηνεῖν βόσκεται ὁ Ἄρης, ἤτοι τρέφεται ἐν αἵματι τῶν σφαττομένων, τῷ φόνῳ τῶν βροτῶν. [5]

Th 242-244a χαυνούμενοι γὰρ ὑπὸ τῶν θρήνων καὶ τῶν ὀδυρμῶν οὐκέτι κυρίως μαχόμενοι ἵστανται ἀνδρείως, κατὰ τῶν ἀντιπάλων ἀνδρικῶς στρατευόμενοι, ἀλλὰ τὰ νῶτα κλίνοντες ἀναιροῦνται εὐθύς. BCHNcNdP 1 PdSjVWXaYYaYb + κατὰ περικοπὴν ἴαμβοι γ′.

Th 242-244b ἐπὶ τέλει παράγραφος. T τετραμμένους] ἡττωμένους.

Th 242a BHNcV τετραμμένους] τραπέντας.

Th 242b DYYaYb τετραμμένους] τρεπομένους ἢ τιτρωσκομένους.

Th 242c PPd τετρωμένους] βεβλημμένους.

Th 242d CSj πύθησθε] ἀκούετε.

Th 243a CHXc πύθησθε] ἀκούσητε.

Th 243b DHaNaNcV πύθησθε] μάθοιτε.

Th 243c YaYb πύθησθε] μάθητε.

Th 243d AbDPPdθT κωκυτοῖσιν ἁρπαλίζετε] μὴ ἁρπάσητε τὸ θρηνεῖν.

Th 243e MNcP κωκυτοῖσιν ἁρπαλίζετε] ἁρπάζετε τοῦτο, ἤγουν παραυτίκα θρῆνον ἐγείρετε.

Th 243f θT κωκυτοῖσιν] θρήνοις.

Th 243g AbHaθTVYaYb ἁρπαλίζεται] ἁρπάζεται.

Th 243h CX 2 ἁρπαλίζετε] μὴ ἁρπάζετε.

Th 243i BV ἁρπαλίζετε] ταράσσεσθε, ἁρπάζετε.

Th 243j I 2 PPd ἁρπαλίζετε] ἁρπάζετε.

Th 243k HOR 1 ἁρπαλίζετε] βάλλετε εἰς δειλίαν, ἐμποδίζεται.

Th 243l A 2 ταῦτα νόμιμα Ἄρεως.

Th 244a M τούτῳ] ἐν τῷ ὀδύρεσθαι.

Th 244b BV τούτῳ] ἕνεκα τούτου, ἤγουν ἐν τῷ ὀδύρεσθαι καὶ θρηνεῖν.

Th 244c NaP τούτῳ] ἐν τῷ θρηνεῖν.

Th 244d PRbX 2 δέον οὕτω εἰπεῖν, τούτῳ εἶπε πρὸς τὸ φόν ῳ, ὥσπερ ἐστὶ καὶ τὸ (Batrachom.

Th 244e 116—117) ξύλινον μόρον ἣν παγίδα καλέουσι ν. ἢ μὴ σύναπτε τὸ τούτῳ πρὸς τὸ φόν ῳ, ἀλλ’ οὕτω λέγε· ἐν τούτῳ γάρ, τῷ κωκυτοῖσιν ἁρπαλίζειν, βόσκεται ὁ Ἄρης ἐν τῷ φόνῳ τῶν βροτῶν. θT τούτῳ] ἐν τῷ τοιαῦτα ὑμᾶς ποιεῖν.

Th 244f T τούτῳ] ἀπὸ τοῦ τοιούτου τρόπου.

Th 244g A 2 Ἄρης] ὁ σίδηρος.

Th 244h BDHNaPPdYaYb βόσκεται] διανέμεται.

Th 244i BYaYb βόσκεται] τρέφεται.

Th 244j AbCFbHTVX βόσκεται] ἀφραίνεται.

Th 244k

PPd φόνῳ] αἵματι.

Th 244l YaYb + καὶ μὴν ἀκού ω· ἡ ἑξῆς αὕτη ἀμοιβαία περίοδος στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων μβʹ, ὧν τελευταῖος λόγους ἱκέσθαι καὶ φλέγειν χρείας ὕπο (286).

Th 245-286 ἐπὶ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν καὶ εἰσιόντος τοῦ χοροῦ. T ἀκούω] πῶς οὖν οὐ θρηνῶ; θT φρυαγμάτων] χρεμετισμῶν.

Th 245b NaPTV ἀκούουσα ἐμφανῶς 〈καὶ〉 φανερῶς ποιεῖ αὐτὴν μὴ ἀκούειν ἄγαν.

Th 246a X μὴ νῦν ἄκουε ἄγα ν· ἐμφανῶς ἀκούσασα, ἤτοι λίαν ἀκούσασα ἐμφανῶς, προσποιοῦ μὴ ἀκούειν.

Th 246b Y ἀκούους’] κἂν ἀκούῃς, προσποιοῦ μὴ ἀκούειν.

Th 246c BCDHI 1 MPPd XcYaYb ἐμφανῶς] φανερῶς.

Th 246d A 2 AbBHaPθTVΞa ἄκου’ ἄγαν] ἀλλ’ ἐθελοκώφει.

Th 246e θT ὡς κυκλούντων τὴν πόλιν τῶν πολεμίων σείεται, φησίν, ἡ ἡμετέρα γῆ.

Th 247a I 1 M στένει πόλισμ α· στενάζει, θρηνεῖ ἡ πόλις.

Th 247b ἢ σείεται ἐκ θεμελίων, ἤγουν οἱ πολῖται—ἐκ τοῦ περιέχοντος νόει τὸ περιεχόμενον—κυκλούντων τῶν πολεμίων τὴν πόλιν. VYaYb στένει πόλισμα] στενάζει, θρηνεῖ ἡ πόλις.

Th 247c T στένει] στενάζει.

Th 247d BPdV πόλισμα] οἱ πολῖται· ἐκ τοῦ περιέχοντος τὸ περιεχόμενον.

Th 247e BCDH NcPPdXc πόλισμα] ἤγουν οἱ πολῖται.

Th 247f YaYb πόλισμα] ἡ πόλις.

Th 247g A 2 NaVΞa γῆθεν] ἐκ βάθρων.

Th 247h HaNa δῆθεν] ἴσως· εἰκάζει γὰρ τοῦτο.

Th 247i T γῆθεν] στεναγμὸν ἀπὸ τῆς γῆς ἀποπέμπει.

Th 247j A 2 κυκλουμένων] ἀντὶ ἐνεργητικοῦ.

Th 247k I 1 κυκλουμένων] παραλαμβανομένων ἡμῶν.

Th 247l CSj κυκλουμένων] τῶν πολεμίων.

Th 247m NaPd κυκλουμένων] ἡμῶν ὑπὸ τῶν πολεμίων.

Th 247n θT κυκλουμένων] ἡμῶν δῆλον.

Th 247o A 2 Ξa ἀρκεῖ ἐμοὶ καὶ ἐμὲ βουλεύειν περὶ τῶνδε κυκλουμένων ἔξωθεν.

Th 248a X ἡμέτερον + ἔ μ ’ ἀρκε ῖ· ἐντεῦθεν δῆλον ὅτι συναλείφονται καὶ αἱ δίφθογγοι καὶ ἐκ τοῦ παρ’ Ὁμήρῳ (Α 117) βούλο μ ’ ἐγ ώ.

Th 248b καὶ ἡ ἀπόστροφος γὰρ οὐ μόνον ἀντὶ φωνήεντος τίθεται, ἀλλὰ καὶ ἀντὶ φωνηέντων, τουτέστιν ἀντὶ διφθόγγου. T ἔμ’ ἀρκεῖ] + ἤγουν ἱκανός εἰμι ἐγὼ περὶ τούτων βουλεύεσθαι.

Th 248c T ἀρκεῖ] ἱκανόν ἐστιν.

Th 248d CSj ἀρκεῖ] ἀρκετόν ἐστιν.

Th 248e A 2 R 1 XcΞa τῶνδε βουλεύειν πέρι] περὶ τούτων συμβουλὰς ποιεῖν.

Th 248f BHPPdYa Yb βουλεύειν] βουλεύεσθαι.

Th 248g CV δέδοικ’] φοβοῦμαι.

Th 249a AbCHHaRaYaYb ἀραγμὸς] προσκρουσμός.

Th 249b BCHXcYaYb ἀραγμὸς] κτύπος, κροῦσις τῶν πυλῶν.

Th 249c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

PPd ἀραγμὸς] κροῦσις {τῶν θεῶν}.

Th 249d YaYb ἀραγμὸς] ἦχος.

Th 249e AbCHaI 2 Na ἀραγμὸς] κτύπος.

Th 249f A 2 NaNcQθT ὀφέλλεται] αὐξάνει.

Th 249g BHR 1 ὀφέλλεται] αὔξει.

Th 249h A 2 AbHaYaYb ὀφέλλεται] αὔξεται.

Th 249i CKNcVΞa ὀφέλλεται] αὐξάνεται.

Th 249j θTXc οὐ] οὐδαμῶς ὀφέλλεται ἀραγμὸς ἐν ταῖς πύλαις.

Th 250a AbHa γρ.

Th 250b οὐ σῖγ α, ὅ ἐστιν οὐκ ἐν σιγῇ ἔσῃ. I 1 οὐ σῖγα μηδὲν] αἱ δύο ἀποφάσεις ἀντὶ μιᾶς.

Th 250c B + οὕτω χρὴ γράφειν κατ' ἐρώτησιν· οὐ σῖγα; ἵν' εἴη ἀντὶ τοῦ ἐπιρρήματος τὸ σῖγ α, ὥστε εἶναι καὶ τὸ γα βραχύ· τὸ γὰρ σίγα τὸ ῥῆμα μακρὸν ἔχει τὸ α ὡς ἀπὸ κράσεως ὄν.

Th 250d T οὐ σῖγα] + ἤγουν οὐ σιωπηλῶς ἕξεις, ἤτοι οὐ σιωπᾶς; T οὐ σῖγα] οὐ σιγήσεις; A 2 Ξa τὸ σίγα τὸ μὲν προστακτικὸν σπονδειακὸν ὂν παροξύνεται ὡς καὶ Σοφοκλῆς (Ai.

Th 250g 87): σίγα νῦν ἑστώς, τὸ δὲ ἐπίρρημα τροχαϊκὸν ὂν προπερισπᾶται ὡς ὁ αὐτός φησιν (Ai. 75): οὐ σῖ γ ' ἀνέξ ῃ. κἀνταῦθα οὖν οὐ χρὴ λέγειν οὔ · σίγα ὡς ἐν πολλοῖς εὕρηται, ἵνα μὴ εἴη τὸ γα μακρόν, ἀλλὰ οὐ σῖγ α, ἤγουν οὐ σιωπηλῶς ἕξεις, ἵν' εἴη τὸ σῖγα ἐπίρρημα καὶ τὸ γα βραχὺ ὡς εἴρηται. A 2 AbΞa σίγα] σιώπα. [5]

Th 250h PPd τῶνδ'] ὧν ἀκούεις.

Th 250i YaYb τῶνδ'] ὧν λέγεις.

Th 250j PPdθTX ἐρεῖς] λέξεις.

Th 250k A 2 HaTVΞa ὢ ξυντέλει α· τὸ κοινὸν ἄθροισμα τῶν θεῶν, μεταφορικῶς.

Th 251a κυρίως γὰρ ἡ τῶν στρατιωτῶν ἄθροισις· τέλος γὰρ τὸ τάγμα. καὶ Ὅμηρος (Κ 56)· ἐλθεῖν ἐς φυλάκων ἱερὸν τέλο ς. I 1 M ὢ ξυντέλει α· τὸ κοινὸν ἄθροισμα τῶν θεῶν ξυντέλειαν εἴρηκεν ἐκ μεταφορᾶς τῆς τῶν στρατηγῶν ἀθροίσεως· τέλος γὰρ τὸ τάγμα τὸ ὁποιονοῦν λέγεται εἴτε ἀρχόντων ἢ στρατηγῶν εἴθ' ἑτέρων τινῶν.

Th 251b καὶ Ὅμηρος (Κ 56)· ἐλθὼν εἰς φυλάκων ἱερὸν τέλο ς. φησὶν οὖν ὁ χορὸς πρὸς τὸ πλῆθος τῶν θεῶν· μὴ προδῷς τὴν ἡμετέραν πόλιν. BCD HNcNdP 1 PdSjVWXaXcYYaYb ξυντέλεια] συνέλευσις τῶν θεῶν. [5]

Th 251c BCDHNcPPdXcYaYb ξυντέλεια] ἄθροισμα τῶν θεῶν.

Th 251d AbFdVX 2 ξυντέλεια] τῶν θεῶν.

Th 251e I 2 XYaYb ξυντέλεια] φρόνησις τοῦ Διός.

Th 251f NaP ξυντέλεια] συνάθροισις τῶν θεῶν.

Th 251g HaNaY ἄθροισμα τῶν θεῶν ἐκ μεταφορᾶς τῆς εἰς τὸ κοινὸν εἰσφορᾶς ἣν καλοῦσι ξυντέλειαν.

Th 251h θT ξυντέλεια] συνάθροισμα.

Th 251i HaPT ξυντέλεια] τὸ πλῆθος τῶν θεῶν.

Th 251j A 2 προδῷς] + τοῖς ἐχθροῖς.

Th 251k T πυργώματα] τοὺς πύργους.

Th 251l CFb πυργώματα] τὴν πόλιν.

Th 251m A 2 PPdθTΞa οὐκ ἐς φθόρον] ἀπέλθῃς εἰς ἀπώλειαν καὶ φθοράν.

Th 252a NaYa οὐκ ἐς φθόρον] ἀπελθοῦσα εἰς φθοράν.

Th 252b FdP φθόρον] ἀπώλειαν.

Th 252c BCHXc φθόρον] φθοράν.

Th 252d A 2 PPdθTΞa σιγῶς'] ἀπελθοῦσα.

Th 252e A 2 BFbKNc σιγῶς'] σιωπῶσα.

Th 252f A 2 YbΞa ἀνασχήσῃ] ὑπομείνῃ.

Th 252g BCDHI 1 NcXcYYaYb ἀνασχήσει] ὑπομενεῖς, ἤγουν οὐκ εἰς φθορὰν ἀπελθοῦσα ἄφωνος μενεῖς; εἰώθαμεν δὲ τοιούτοις λόγοις πρὸς τοὺς ἐνοχλοῦντας κεχρῆσθαι.

Th 252h θT ἀνασχήσει] οὐχ ὑπομενεῖς.

Th 252i A 2 Ξa θεοὶ πολῖτα ι· τοὺς ἰδίους καὶ πατρῴους ἐπικαλοῦνται θεούς, μὴ εἰς δουλείαν ἐμπεσεῖν.

Th 253a M λείπει τὸ εὔχομαι ἢ τὸ δότε ἤ τι τοιοῦτον.

Th 253b καθόλου δὲ τὸ σχῆμα Ἀττικόν. I 1 θεοὶ πολῖτα ι· θεοὶ πατρῷοί εἰσιν οἱ ἐφ' ἑστίας ἐγγενεῖς οὓς ἐτίμων οἱ συγγενεῖς καὶ ἐν τοῖς οἴκοις αὐτῶν εἶχον· θεοὶ δὲ ἐγχώριοι οὓς ἐτίμα πᾶσα ἡ χώρα καὶ πάντες οἱ ἐν τῇ χώρᾳ.

Th 253c P 1 PdSjVYa θεοὶ πολῖται] ἐγχώριοι· ὁ Ἄρης καὶ ἡ Ἀφροδίτη.

Th 253d NaPPd θεοὶ πολῖται] ἐγχώριοι.

Th 253e BCHNcXcYYa θεοὶ πολῖται] + ἔνοικοι τῆς πόλεως.

Th 253f T θεοὶ πολῖται] ἤτοι ἔφοροι τῆς ἡμετέρας πόλεως.

Th 253g A 2 Ξa τὰ διὰ τοῦ ιτης μακρὸν ἔχουσι τὸ ι ἀείποτε πλὴν τοῦ κριτὴς δικαιοκρίτης.

Th 253h Ξa μὴ] παραχωρήσητε.

Th 253i BCHP μὴ] ἐάσατε.

Th 253j DHaNaXcYYa μὴ] θελήσατε.

Th 253k A 2 θTΞa αὐτὴ] θρηνοῦσα δηλονότι καὶ κράζουσα σὺ ἡμᾶς δούλους ποιεῖς.

Th 254a M αὐτὴ σὺ δουλοῖς ἐμ έ· θρηνοῦσα δηλονότι καὶ ὀλοφυρομένη σὺ ἡμᾶς καὶ τὴν πόλιν δουλοῖς ἅπασαν τῷ φόβῳ τῷ σῷ καταπονουμένους.

Th 254b VYa τῷ φόβῳ καταπονουμένη καὶ θρηνοῦσα κἀμὲ καὶ πᾶσαν 〈τὴν〉 πόλιν δουλοῖς.

Th 254c P 2 Pd αὐτὴ σὺ] θρηνοῦσα.

Th 254d BHaNa αὐτὴ σὺ] ἐκ παραλλήλου.

Th 254e FbT δουλοῖς] δουλοποιεῖς.

Th 254f A 2 BHΞa δουλοῖς] δοῦλον ποιεῖς.

Th 254g HaNaT ὦ παγκρατὲς Ζε ῦ· ὦ Ζεῦ κρατῶν καὶ κυριεύων τῶν ὅλων, τρέψον εἰς ἐχθροὺς τὸ βέλος, ἤτοι τὸν πόλεμον ποίησον αὐτὸν κατ' αὐτῶν ἤτοι τὸν κεραυνόν.

Th 255a βέλος δὲ πᾶν τὸ βαλλόμενον. BHNcP 1 PdSjVW YYb παγκρατὲς] ὁ τὰ πάντα κρατῶν.

Th 255b CHaVXc τὸ παγκρατὲς εἰ μὲν πρὸς τὸ ὦ Ζεῦ συνάψεις, ἀρσενικὴ κλητική ἐστιν, εἰ δὲ πρὸς τὸ βέλος, οὐδέτερος εὐθεῖα.

Th 255c θ παγκρατὲς] πανίσχυρον.

Th 255d θ τὸ παγκρατὲς εἰ μὲν πρὸς τὸ ὦ Ζεῦ συνάψεις, ἀρσενικὴ κλητική ἐστιν, ἧς εὐθεῖα ἡ παγκρατή ς· εἰ δὲ πρὸς τὸ βέλος, οὐδέτερος εὐθεῖα οὕτως· ὦ Ζεῦ, τρέψον εἰς ἐχθροὺς τὸ παγκρατὲς βέλος, ἤτοι τὸ πάνυ ἰσχυρὸν τουτέστιν τὸν κεραυνόν.

Th 255e οὗτος γάρ ἐστιν τοῦ Διὸς βέλος καὶ ὅπλον. T παγκρατὲς] ὁ πάντων κρατῶν καὶ ἄρχων. [5]

Th 255f Τ παγκρατὲς] ἤτοι ὁ κρατῶν πάντων καὶ πάντα ἰσχύων.

Th 255g A 2 Ξa τρέψον] ἤγουν κατὰ τῶν πολεμίων τρέψον τὸν πόλεμον.

Th 255h FbHa τρέψον] κίνησον.

Th 255i HaNa βέλο ς· νῦν τὸν πόλεμον· βέλος δὲ πᾶν τὸ βαλλόμενον.

Th 255j M βέλο ς· τὸν πόλεμον ὧδε νοητέον.

Th 255k ἢ τὸν Διὸς κεραυνόν. βέλος δὲ πᾶν τὸ βαλλόμενον. I 1 βέλος] τὸν κεραυνόν.

Th 255l BHNaNcPPdRbTYa βέλος] πόλεμον, κεραυνόν.

Th 255m PYa ὦ Ζε ῦ , γυναικῶ ν· ὁ Ἐτεοκλῆς ἀκούων τῶν παρθένων πολλὰ λεγουσῶν φησι πρὸς τὸν Δία· ὦ Ζεῦ, ποδαπὸν τὸ γένος τῶν γυναικῶν τοῖς ἀνθρώποις ἔδωκας; ὁ δὲ χορός φησι· τοιοῦτον ἔδωκεν τοῖς ἀνδράσι τὸ γυναικεῖον φῦλον μοχθηρόν, οἷόν εἰσιν οἱ ἄνδρες ὧν κρατηθῇ ἡ πόλις.

Th 256-259 καὶ ὁ Ἐτεοκλῆς πρὸς αὐτὸν εἰπόντα ‘ὧν ἁλῷ πόλισ‘· παλινστομεῖς αὖ; ἤτοι καὶ πάλιν δυσφημεῖς καὶ τὰ αὐτὰ πάσχεις τοῖς πρίν; ὁ δὲ χορὸς πρὸς αὐτόν· ἐν δειλίᾳ ὁ φόβος ἁρπάζει τὴν γλῶσσαν, τουτέστιν ἐκ δειλίας κινεῖ με ὁ φόβος φθέγξασθαι ἃ μὴ αἱροῦμαι. BCDHNcNdP 2 PdSjVWXa XcYYaYb ὤπασας] παρέσχες τοῖς ἀνδράσιν. [5]

Th 256a CHHaNcPdRbYa ὤπασας] ἔδωκας.

Th 256b BHaNcYa ὤπασας] παρέσχες τῷ βίω.

Th 256c A 2 θTΞa τὸ ὀπάζω πολύσημόν ἐστι· ποτὲ μὲν γὰρ δηλοῖ τὸ διδόναι ὡς ἐκεῖ· Τρωσὶ μὲν καὶ Ἕκτορι κῦδος ὀπάζει (Ο 327), ποτὲ δὲ τὸ καταφέρεσθαι ὡς ἐν ἐκείνοις· χειμάρρους κα τ ’ ὄρεσφιν ὀπαζόμενος Διὸς ὄμβρῳ (Λ 493), ποτὲ δὲ τὸ ἐπιλέγεσθαι ὡς ἐκεῖ· ἦ καὶ νεώτερον υἱὸν ὀπάσσατο κυδαλίμοιο (Τ 238), ποτὲ δὲ τὸ διώκειν ὡς ἐν τούτοις· ἀλ λ ’ ὅ δ ’ ἀνὴρ κίχανε πολὺν κα θ ’ ὅμιλον ὀπάζων (Ε 334). [5]

Th 256d ὥσπερ δὲ ἀπὸ τοῦ πέμπω γίνεται πομπός, οὕτω καὶ ἀπὸ τοῦ ἕπω ἀχρήστου γίνεται ὀπός, ἐξ οὗ παραγωγὸν ὀπάζω ὡς γυμνὸς γυμνάζω, μόνος μονάζω. ψιλοῦται δὲ διότι τὸ ο πρὸ τοῦ π ψιλοῦται· ὄπα ὀπώρα ὀπὴ ὀπαδὸς ὀπάων τὸ αὐτό, πλὴν τῶν ἐχόντων ἐπαγόμενον τὸ λ, οἷον ὅπλον ὁπλὴ ἡ ὄνυξ, καὶ τῶν ἀναφορικῶν ὁποῖος. A 2 Ξa γένος] τοῖς ἀνθρώποις. [10]

Th 256e DP μοχθηρὸν] περίφοβον.

Th 257a BDHNcPRbXcYa μοχθηρὸν] ἄθλιον.

Th 257b FbPPdT μοχθηρὸν] θρηνῶδες.

Th 257c NaP μοχθηρὸν] κακόν.

Th 257d AbHaNa μοχθηρὸν] ὤπασε.

Th 257e θT μοχθηρὸν] ἐπίμοχθον.

Th 257f A 2 FdΞa ἄνδρας] μοχθηροὺς ὤπασεν.

Th 257g θT ἄνδρες] ὤπασε δῆλον γένος μοχθηρόν.

Th 257h A 2 Ξa ὧν] τῶν ἀνδρῶν.

Th 257i HaYa ἁλῷ] κρατηθῇ.

Th 257j BCHHaNaVX 2 XcYa ἁλῷ] πορθηθῇ.

Th 257k T παλινστομεῖς] δυσφημεῖς καίτοι τῶν ἀγαλμάτων ἐχομένη.

Th 258a M παλινστομεῖ ς· βάζεις πολλὰ καίτοι τῶν ἀγαλμάτων ἐχομένη.

Th 258b I 1 παλινστομεῖς] ὀχλεῖ, περισσὰ λαλεῖς.

Th 258c BHNc παλινστομεῖς] περιττογλωττεῖς.

Th 258d NaP παλινστομεῖς] παρεπιγραφή.

Th 258e P παλινστομεῖς] δυσφημεῖς.

Th 258f HaPdVYYa παλινστομεῖς] ἤγουν πάλιν στωμυλεύῃ.

Th 258g θT παλινστομεῖς] πάλιν τὰ αὐτὰ λαλεῖς καὶ πολυλογεῖς.

Th 258h A 2 Ξa θιγγάνους’] προσψαύουσα.

Th 258i VYa θιγγάνους’] ἁπτομένη.

Th 258j AbHaPΞa θιγγάνους’] ψαύουσα.

Th 258k BθTX ἀγαλμάτων] εἰδώλων.

Th 258l BFd ἀψυχίᾳ γά ρ· ὑπὸ φόβου συναρπάζομαι.

Th 259a I 1 M ὁ φόβος κινεῖ τὴν γλῶσσαν μου λαλεῖν ἃ 〈μὴ〉 θέλω.

Th 259b DYa + ἤγουν ὑπὸ δειλίας ὁ φόβος τοιαῦτα ποιεῖ με φθέγγεσθαι.

Th 259c T ἀψυχίᾳ] ὀλιγοψυχίᾳ.

Th 259d BHNcXc ἀψυχίᾳ] φιλοψυχίᾳ.

Th 259e DYa ἀψυχίᾳ] ὀλιγοθυμίᾳ.

Th 259f SjYb ἀψυχίᾳ] δειλίᾳ.

Th 259g A 2 AbDHaI 2 PPdR 1 θTXcYaΞa ἀψυχίᾳ] ψαύω.

Th 259h θ ἁρπάζει] ποιεῖ κινεῖσθαι.

Th 259i BCHNcXc ἁρπάζει] ἤγουν κινεῖ.

Th 259j SjYb ἁρπάζει] ἀσκέπτως κινεῖ, βιαίως ποιεῖ κινεῖσθαι.

Th 259k A 2 Ξa ἢ εἰ ἕνι εἴ δοίης, συντάσσεται οὕτως· εἴθε ἀποπληρώσαις τὸ αἴτημά μου μετ’ εὐκολίας.

Th 260-261 εἰ δὲ ἕνι εἰ δοίης χωρὶς τόνου, οὕτως· ἐὰν δοίης μοι αἰτοῦντι τέλος τῆς αἰτήσεως κοῦφον, ἤτοι ἐλαφρῶς καὶ μετ’ εὐπειθείας· εἶτα λάμβανε ὡς λεῖπον τὸ καλῶς ποιήσει ς . ἢ εἰδοίης ἀντὶ τοῦ· ἐὰν γνώσῃς τὸ αἴτημά μου κοῦφον, ὡς δῆλον ἐκ τῆς τοῦ χοροῦ ἀπολογίας ‘τάχ’ εἴσομαι‘. CNdXa αἰτουμένῳ μο ι· ἐὰν δοίης καὶ παράσχοις τὸ τέλος τῇ αἰτήσει μου, ἀβαρές σοί ἐστιν, ἤτοι ἐὰν ἐμοὶ ζητοῦντί σοι τὸ σιωπᾶν παράσχῃς τέλος καὶ ποιήσῃς τὸ ἐμὸν θέλημα, ἀβαρές σοί ἐστιν. [5]

Th 260a BCHI 2 NcNdP 2 PdSjVWXaYYa εἰ παράσχοις ἐμοὶ αἰτουμένῳ τι κοῦφον καὶ ἀβαρές σοι τέλος μοι δοίης, τὸ πεπληρῶσθαι λέγω τὴν αἴτησιν.

Th 260b ἢ οὕτως· εἰ αἰτουμένῳ ἐμοὶ δοίης τέλος τῆς αἰτήσεως, κοῦφον καὶ ἀβαρὲς ἔσται σοι. θT αἰτουμένῳ] ζητοῦντι.

Th 260c AbCHaI 2 Ya αἰτουμένῳ] σοί.

Th 260d A 2 Ξa κοῦφον] ἐλαφρόν.

Th 260e CHHaVYb κοῦφον] ἀβαρές.

Th 260f BHaQRbVY κοῦφον] εὔκολον.

Th 260g BH κοῦφον] ἀβαρές σοί ἐστιν.

Th 260h PPdYa κοῦφον] ἀβαρὲς ἔσται σοι.

Th 260i LcT δοίης] παράσχοις.

Th 260j A 2 BFdHaR 1 SjΞa τέλος] τῇ αἰτήσει μου.

Th 260k BVYa τέλος] τῆς αἰτήσεως.

Th 260l

Eulogikon public reading copy · View original HTML at eulogikon.org

A 2 FbLcPPdTΞa λέγοις ἂν ὡς τάχιστ α· λέγε, φησί, ταχέως, καὶ ἐὰν δυνατὸν ᾖ γνώσομαι σιγᾶν ἢ ὑπακούειν.

Th 261a γνώσομαι, φησίν, εἰ δυνατόν ἐστιν ἐμοὶ ποιεῖν ὃ κελεύεις. I 1 MV λέγοις] λέγε.

Th 261b A 2 CHaPPdTXcΞa λέγοις] τὴν αἴτησιν.

Th 261c θT τάχ'] ταχέως.

Th 261d CFbHaI 1 PTVYa τάχ'] ἴσως.

Th 261e FbR 1 τάχιστα] συντόμως.

Th 261f A 2 Ξa εἴσομαι] ἐὰν δυνατόν μοι ποιῆσαι ὃ ζητεῖς.

Th 261g PPd εἴσομαι] γνώσομαι.

Th 261h CTVY εἴσομαι] γνωρίσω.

Th 261i BHaNaORb εἴσομαι] εἰ κοῦφον τὸ τῆς αἰτήσεως τέλος.

Th 261j θT εἴσομαι] γνώσομαι εἰ κοῦφον δῆλον τὸ τῆς αἰτήσεως τέλος.

Th 261k A 2 Ξa τάλαινα] ἀθλία.

Th 262a HaRaTYaYb μὴ] τουτέστι τὸ κοῦφον αἴτημα.

Th 262b HNcXc φόβει] τάρασσε.

Th 262c HaPPdSjYb φόβει] θρόει.

Th 262d BYa φόβει] εἰς φόβον ἔμβαλε.

Th 262e A 2 HaPΞa φόβει] + ἤγουν ἐκφόβει.

Th 262f T σιγῶ · σὺν ἄλλοι ς· ἐπὶ τοῦ παρόντος, φησί, σιγῶ· σὺν ἄλλοις γὰρ τὸ είμαρμένον πείσομαι.

Th 263a M οὐχ ἁπλῶς ἐσίγησεν, ἀλλὰ μετὰ φόβου τοῦ βασιλέως ἐπαπειλησαμένου.

Th 263b καί φησι· σὺν ἄλλοις πείσομαι ὅπερ ἀπόκειται. I 1 σιγ ῶ· ὁ χορός φησι πρὸς τὸν Ἐτεοκλέα ὅτι· τὸ σὸν βούλημα ποιῶ· ἰδοὺ σιγῶ· σὺν τοῖς ἄλλοις πᾶσι πείσομαι τὸ μόρσιμον καὶ τὸ πεπρωμένον, τουτέστι μετὰ πάντων τῶν ἄλλων πάθω καὶ ἐγὼ εἴ τι μοι ἀπόκειται.

Th 263c BHNcP 2 PdSjVWW bis YYaYb οὐχ ἁπλῶς ἐσίγησεν ἀλλὰ μετὰ φόβου.

Th 263d MW πείσομαι] πάθω.

Th 263e AbBCDHaNaOPPdR 1 Ya πείσομαι] ὑπομενῶ.

Th 263f A 2 HaNaPVΞa τὸ μόρσιμον] τὸ πεπρωμένον.

Th 263g BHHaNcOPYa τὸ μόρσιμον] τὸ μεμοιρασμένον.

Th 263h A 2 AbCHaNaNcθTVΞa τοῦ τ ' ἀν τ ' ἐκείνω ν· εἰπόντος τοῦ χοροῦ 'σὺν ἄλλοις πείσομαι τὸ μόρσιμον' φησὶν ὁ Ἐτεοκλῆς πρὸς αὐτὸν ὅτι· τοῦτο τὸ ἔπος, τὸ ὅτι σὺν τοῖς ἄλλοις πείσομαι τὸ μόρσιμον, μᾶλλον προκέκρικα ἀντ' ἐκείνων, ἤτοι τῶν σῶν ἐπῶν ὧν εἴρηκας.

Th 264-268 σὺν τούτοις δὲ οἷς τὴν ψυχήν μου κατέθελξας ἐκστὰς ἀπὸ τῶν ἀγαλμάτων τῶν θεῶν καὶ μὴ ἐχόμενος αὐτῶν ὡς περὶ τὸ θανεῖν δεδοικώς, εὔχου τοὺς θεοὺς βοηθεῖν ἡμῖν, καὶ πρῶτον ἐμοῦ εὐξαμένου, εἶτα σὺ ὕμνησον ὀλολυγμὸν ἱερόν, ἤτοι ὕμνον καὶ εὐχὴν ἱερὰν ἐξευμενίζουσαν τοὺς θεούς. BCDHNcNdP 2 PdSjVW 1 W bis Xa XcYYaYb εἰπὼν ὁ χορὸς τὸ σιγῶ θεραπεύει τὸν Ἐτεοκλέα. [5]

Th 264a διὸ καί φησι· τοῦτο μᾶλλον ἢ τὰ προειρημένα ἐπαινῶ. ἢ καὶ οὕτως· ἀνθ' ὧν ἄλλων δυσφήμων εἴρηκας, τοῦτο μᾶλλον παρὰ σοῦ αἱροῦμαι. I 1 τοῦ τ ' ἀν τ ' ἐκείνω ν· ἀνθ' ὧν ἄλλων δυσφήμων εἴρηκας, τοῦτο μᾶλλον παρὰ σοῦ αἱροῦμαι.

Th 264b M τοῦτο μᾶλλον ἢ τὰ προειρημένα ἐπαινῶ.

Th 264c M τοῦτ’] τὸ σὺν τοῖς ἄλλοις πείσομαι τὸ μόρσιμο ν.

Th 264d NaP τοῦτ’] ὅπερ ἔλεξας κρεῖττον τῶν προλεχθέντων σοι.

Th 264e X τοῦτ’] ὃ λέγεις.

Th 264f θT ἐκείνων] ὧν εἶπας.

Th 264g BHNcRb ἐκείνων] ὧν προείρηκας.

Th 264h CXc ἐκείνων] ἀνθ’ ὧν εἶπας λόγων πρώην.

Th 264i DPdYa ἐκείνων] τῶν λόγων ὧνπερ ἔλεγες πρώην.

Th 264j AbHa ἐκείνων] ὧν ἐποίεις κλαίουσα πρὸς τὰ ἀγάλματα.

Th 264k θT ἐκείνων] ὧν ἐποίεις δῆλον.

Th 264l A 2 Ξa αἱροῦμαι] προκρίνω.

Th 264m AbBCDFbHaNaPPdTYYa αἱροῦμαι] προτιμώτερον ἡγοῦμαι.

Th 264n Ξa τούτοις] σὺν τούτοις οἷς ἔλεξας ἐμοί.

Th 265a CXc τούτοις] οἷς νῦν ποιεῖς σιγῶσα.

Th 265b HaRb τούτοις] οἷς νῦν προὔκρινας.

Th 265c θT τούτοις] σὺν τούτῳ τῷ λόγῳ.

Th 265d Ξa ἐκτὸς οὖς’] πόρρω στᾶσα A 2 Ξa ἐκτὸς] πόρρω.

Th 265f NaPX 2 ἐκτὸς] μακράν.

Th 265g R 1 V ἀγαλμάτων] εἰδώλων.

Th 265h NaPYa ἀγαλμάτων] τῶν θεῶν.

Th 265i AbFbHaT εὔχου] + τῇ πόλει.

Th 266a T τὰ κρείσσω] τὰ ἐπικρατέστερα.

Th 266b CSjYb τὰ κρείσσω] + τὰ βέλτιστα.

Th 266c T τὰ κρείσσω] τὰ κάλλιστα.

Th 266d A 2 Ξa συμμάχους] βοηθούς.

Th 266e A 2 AbCFdHHaYaΞa συμμάχους] ἡμῖν.

Th 266f BPPdX εὐγμάτων] εὐχῶν.

Th 267a AbBCFbHHaLcNaNcOPPdR 1 RbTVX XcYYaYbΞa ἔπειτα σὺ] καθὼς ἀκούσῃ παρ’ ἐμοῦ εὔχου καὶ σύ.

Th 267b CXc ἔπειτα] μετὰ ταῦτα.

Th 267c AbHa ἔπειτα] μετὰ τὴν ἐμὴν εὐχὴν δῆλον.

Th 267d A 2 Ξa ὀλολυγμὸν ἱερό ν· διέστειλεν τὸν ὀλολυγμὸν τοῦ παιῶνος.

Th 268a καὶ γὰρ μόνῃ τῇ Ἀθηνᾷ, δαίμονι οὔσῃ πολεμικῇ, ὀλολύζουσι, τοῖς δὲ ἄλλοις θεοῖς παιανίζουσιν. ὁ γοῦν ποιητής φησιν ἐπὶ τῶν Τρωιάδων (Z 301)· αἱ δ ’ ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον καὶ ἐπὶ τῶν Ἑλληνίδων (γ 450)· αἱ δ ’ ὀλόλυξαν θυγατέρες τε νυοί τ ε. ἡ δὲ διάνοια ἁπλῆ· φησὶν οὕτως· κἀμοῦ, φησίν, εὐχομένου ἀκούσασα· πῶς δέ, ἐπιφέρει. νικήσας φησὶ τρόπαια ἀναθήσειν αὐτὸς τοῖς θεοῖς καὶ θυσίας ποιήσειν· οὐ γὰρ ματαίας οὐδὲ γυναικείας εὐχὰς ἐπιτελέσειν, ἀλλὰ παρὰ ταῖς θυσίαις δεῖ σε ὀλολύζειν, ὡς ἔθος Ἑλληνικόν. I 1 M ὀλολυγμὸν] ὀλολυγμὸς λέγεται ἡ εὐχὴ μετὰ τοῦ οἴκτου. [5]

Th 268b CDVW bis Xc ὀλολυγμὸν] εὐχήν.

Th 268c

BHHaNaNcOPRbX 2 Xc ὀλολυγμὸν] ὕμνον.

Th 268d BPdVW ὀλολυγμὸν] μετὰ θρήνου καὶ συντριβῆς εὐχήν.

Th 268e θT ὀλολυγμὸν] ἤτοι μετὰ θρήνου ὕμνον.

Th 268f A 2 Ξa ἱερὸν] εὐμενείας ποιητικόν.

Th 268g BPPd ἱερὸν] ἐξευμενίζοντα τοὺς θεούς.

Th 268h AbHa εὐμενῆ] ἐξιλαστικόν.

Th 268i θT εὐμενῆ] εὔφημον.

Th 268j FdΞa εὐμενῆ] ὡς ἐξευμενίζων ὁ θρῆνος τοὺς θεούς.

Th 268k Ξa παιάνισον] ὕμνησον.

Th 268l CFdHaI 2 NaPPdRbTVXYaΞa παιάνισον] κρότησον.

Th 268m A 2 BΞa παιάνισον] ᾆσον.

Th 268n BHθTYa ἡμέτερον + ὅτι καὶ παιὼν παιῶνος γράφεται καὶ παιὰν παιᾶνος.

Th 268o ἐκ τούτων οὖν καὶ παιωνίζειν εὕρηται καὶ παιανίζειν. ἐκ τοῦ παιωνίζειν τοίνυν τὸ παιώνισον γίνεται. T Ἑλληνικὸν νόμισμα θυστάδος βοῆ ς· ἤγουν κατὰ τὸν νόμον τὸν Ἑλληνικὸν τῆς βοῆς τῆς περὶ τὰς θυσίας γινομένης, ἤγουν ὡς νενόμισται τοῖς Ἕλλησι παρὰ ταῖς θυσίαις ὀλολύζειν.

Th 269a BCHNcNdP 2 PdSj VW 1 W bis XaYYaYb Ἑλληνικὸν νόμισμα] ἤγουν ὡς εἰώθασι ποιεῖν Ἕλληνες.

Th 269b θT Ἑλληνικὸν νόμισμα] + ἤγουν κατὰ νόμους Ἑλληνικούς.

Th 269c T νόμισμα] τὸν νόμον.

Th 269d AbBHHaI 1 PPdWXc νόμισμα] ἔθος.

Th 269e BHaNaP νόμισμα] κατὰ τὸν νόμον τῶν εὐχῶν τῶν ἐπὶ τὰς θυσίας.

Th 269f A 2 Ξa θυστάδο ς· τῆς παρὰ ταῖς θυσίαις γινομένης, ἀφ’ ἧς ἐνίοτε καὶ ἡ βάκχη.

Th 269g σημαίνει γὰρ καὶ τοῦτο καὶ τὴν καθαρὰν ἐσθῆτα, ὡς παρ’ Εὐριπίδῃ (fr. 1101 N.). ἢ ᾗ νενόμισται τοῖς Ἕλλησιν ἐν μάχαις. ἢ ὡς νενομισμένον Ἕλλησι παρὰ τὰς θυσίας ὀλολύζειν. M θυστάδος] ἐνθουσιαστικῆς.

Th 269h BHI 1 MY θυστάδος] τῆς γινομένης ἐπὶ τῆς θυσίας.

Th 269i BHHaPX 2 θυστάδος] τῆς παρὰ τῆς θυσίας λεγομένης.

Th 269j CXc θυστάδος] ἤγουν ὁρμητικῆς ἢ τῆς περὶ τὴν θυσίαν γινομένης.

Th 269k PPdWXaYa θυστάδος] τῆς περὶ τὰς θυσίας γινομένης.

Th 269l θTVΞa θυστὰς βοὴ ἡ περὶ τὰς θυσίας γινομένη.

Th 269m Ξa θάρσος φίλοι ς· τὸ γὰρ εὔχεσθαι τοῖς θεοῖς θάρσος ἐμποιεῖ τοῖς φίλοις.

Th 270a πολέμιον δὲ φόβον τὴν ὀλολυγὴν ἐξηγήσατο ἐν τῷ λύουσα πολέμιον φόβο ν. M διὰ τῶν τοιούτων εὐχῶν λύουσα τὸν τῶν πολεμίων φόβον.

Th 270b M τὸ δὲ θάρσος φίλοι ς· ἤτοι διὰ τῶν τοιούτων εὐχῶν θάρσος ἐμποιοῦσα τοῖς φίλοις καὶ λύουσα τὸν ἐν αὐτοῖς ἐνόντα τῶν πολεμίων φόβον· τὸ γὰρ εὔχεσθαι τοῖς θεοῖς θάρσος ἐμποιεῖ τοῖς φίλοις.

Th 270c τινὲς δὲ πολέμιον φόβον λέγουσι τὴν ἣν ἐποίει ὁ χορὸς πρὸς τοὺς θεοὺς θρηνώδη ὀλολυγὴν ἣ τοὺς πολίτας δεινῶς κατεπολέμει καὶ ἐξετάραττε. BHNcP 2 PdSjVW 1 W bis YYaYb τὸ γὰρ μετὰ σιγῆς ὕμνους πρὸς τοὺς θεοὺς ποιεῖσθαι καὶ ἐξευμενίζειν διὰ θυσίας αὐτοὺς τῇ πόλει, ὥσπερ εἰώθασι ποιεῖν Ἕλληνες καιρῶν ὁμοίων ἐπιστάντων, τοῦτο θάρσος ἐστὶ τοῖς οἰκείοις καὶ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολεμίων ἀπαλλαγὴ φόβου, ὥσπερ ἐστὶ τοὔμπαλιν δειλίας ἐμποιητικὸν τὸ χωρεῖν ἄνω καὶ κάτω θρήνοις καὶ ὀδυρμοῖς καὶ τὸ ζῆν ἀπολέγεσθαι.

Th 270d θT θάρσος] ἐμποιοῦσα.

Th 270e A 2 BDHHaPPdVWXaXcYaΞa λύουσα] ἐλευθεροῦσα.

Th 270f DXaYa τινὲς πολέμιον φόβον εἶπον τὸν θρῆνον ὃν ὁ χορὸς ἐποίει τὸ πρίν.

Th 270g Fb ἐγὼ δ’ ἐπεύχομαι καὶ ὑπόσχομαι τοῖς θεοῖς τῆς χώρας τοῖς πολισούχοις καὶ τοῖς πεδιονόμοις καὶ τοῖς ἐπισκόποις τῆς ἀγορᾶς καὶ τοῖς ἐν ταῖς πηγαῖς τῆς Δίρκης, οὐδὲ λέγω τῆς ἐπ’ Ἰσμηνοῦ —τί ποιήσειν ὑπόσχομαι; —ἡμᾶς τοὺς τὴν πόλιν κατοικοῦντας—τί ποιοῦντας; — αἱμάσσοντας τὰς ἑστίας τῶν θεῶν ἐν μήλοισιν—ἄλλο τί ποιοῦντας; — ταυροκτονοῦντας τοῖς θεοῖς ὧδε καὶ οὕτως, ἤγουν διὰ τῶν τοιούτων θυσιῶν, θύσειν καὶ ἀναθήσειν τρόπαια, ἐν τοῖς ἁγνοῖς δὲ δόμοις, τῶν θεῶν δηλαδή, θήσειν τὰ ἐσθήματα τῶν πολεμίων καὶ τὰ λάφυρα τῶν δαΐων τὰ δορίπληκτα.

Th 271-278 Sj πρῶτον καθολικῶς εἶπε τοῖς τῆς χώρας θεοῖς, εἶτα μερικῶς ἐπήνεγκε πολισσούχοις λέγων καὶ πεδιονόμοις καὶ ἀγορᾶς ἐπισκόποι ς.

Th 271-273 ἐπεὶ δὲ καὶ τοὺς ἐκτὸς τῆς πόλεως εἰπεῖν ἔδει—περιεκτικὸν γὰρ ἡ χώρα τῆς πόλεως—οὐκ εἴρηκε καὶ τοῖς ἐν ταῖς πηγαῖς τῆς Δίρκης θεοῖς, ἀλλὰ ταῖς πηγαῖς τῆς Δίρκης μόνον ἔφη, τουτέστι ταῖς ἐν αὐτῇ κατοικούσαις νύμφαις, εἶτα πάλιν ἐνήλλαξε τὴν σύνταξιν καί φησιν· οὐδ’ ἀπ’ Ἰσμηνοῦ λέγω, τουτέστιν οὐκ ἀφαιρῶ τοῦ λόγου καὶ τῆς εὐχῆς τὸν Ἰσμηνὸν καὶ τοὺς ἐν αὐτῷ θεούς. θT θεοὶ πατρῷοί εἰσιν οἱ ἐφ’ ἑστίας ἐγγενεῖς οὓς ἐτίμων οἱ συγγενεῖς καὶ ἐν τοῖς οἴκοις αὐτῶν εἶχον· ἐγχώριοι δὲ οὓς ἐτίμα πᾶσα ἡ χώρα καὶ πάντες οἱ ἐν τῇ χώρᾳ.

Th 271a NcW bis ἐγὼ] ἀναθήσω.

Th 271b PdR 1 χώρας] κατὰ τόπους.

Th 271c NaP πολισούχοις] Ἄρει, Ἀθηνᾷ, Ἀφροδίτῃ.

Th 271d I 1 πολισσούχοις] τοῖς φύλαξιν.

Th 271e QVY πολισσούχοις] τοῖς τῆς πόλεως φύλαξιν.

Th 271f A 2 θTΞa τὸ δὲ πεδιονόμοις τε ἤτοι τοῖς κλῆρον τῶν ἀλσῶν καὶ τῶν πεδίων ἀφωρισμένον ἔχουσιν ἑαυτοῖς.

Th 272a ἄλση γὰρ καὶ παραδείσους καὶ πεδία λιπαρόγεα οἱ πολῖται ἐκτέμνοντες τῶν ἰδίων κτημάτων, ταῦτα τοῖς θεοῖς ἀνετίθεσαν. BCHNcNdP 2 PdSjVW 1 W bis XaYYaYb πεδιονόμοις] οἷον ὁ Πᾶν καὶ ἡ Δημήτηρ.

Th 272b I 1 πεδιονόμοις] τοῖς κατοικοῦσιν ἐν τῷ πεδίῳ.

Th 272c θT πεδιονόμοις] τοῖς τιμωμένοις ἐν τοῖς πεδίοις.

Th 272d A 2 Ξa ἀγορᾶς ἐπισκόποις] τοῖς ἐν ἀγορᾷ τοὺς ναοὺς ἔχουσιν.

Th 272e A 2 θTΞa ἐπισκόποις] οἷον Ἑρμῆς, Θέμις.

Th 272f I 1 Δίρκης] τοῖς ἐπισκόποις.

Th 273a CXc Δίρκης τε πηγαῖς] ἤγουν ταῖς ἐν αὐτῇ νύμφαις.

Th 273b A 2 θTΞa οὐ δ ’ ἀ π ’ Ἰσμηνοῦ λέγ ω· ἀντὶ τοῦ σὺν τῷ Ἰσμηνῷ· κατὰ σχῆμα δὲ ἡ φωνή, οἷον λέγω ὅτι σὺν τῷ Ἰσμηνῷ.

Th 273c θύω οὖν αὐτοῖς πᾶσι τῶν πραγμάτων εὐτυχῶς ἀποβάντων. ἄλλως· καινῶς εἶπε· οὐκ ἀριθμῶ τὸν Ἰσμηνόν, ὡς δήλου ὄντος ὅτι τιμᾶται καὶ ἐγγράφεται τοῖς τιμωμένοις. M οὐ δ ’ ἀ π ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰσμηνοῦ λέγ ω· καλῶς εἶπεν· οὐκ ἀριθμῶ τοὺς ἀπὸ Θηβῶν, τῆς ἐμῆς δηλαδὴ πόλεως—Ἰσμηνὸς γὰρ ποταμὸς Θηβῶν— ὡς δήλου ὄντος ὅτι τιμῶνται καὶ ἐγγράφονται τοῖς τιμωμένοις.

Th 273d πῶς γὰρ οὔ; ὅτι τοῖς ἀπὸ Ἰσμηνοῦ θύω πᾶσιν αὐτοῖς τῶν πραγμάτων εὐτυχῶς ἀποβάντων. BCDHNcNdP 2 PdSjVWXaXcYYaYb ἄλλως· οὐδὲ λέγω τοὺς θεοὺς τοὺς ἀπὸ τοῦ Ἰσμηνοῦ, ἀλλὰ μόνον τοὺς ἀπὸ τῆς Δίρκης· ἐτιμῶντο γὰρ καὶ αὐτοὶ οἱ παρὰ τοῦ Ἰσμηνοῦ παρὰ τοῖς Θηβαίοις.

Th 273e κατέλειψε δὲ εἰπεῖν ἅπαντας διὰ τὸ θαρρεῖν καὶ ἐν ὀλίγαις δεήσεσιν εἰσακουσθῆναι. CNcNdP 2 PdSjVWXaYa ἡμέτερός ἐστι καὶ οὗτος· ἐπεὶ τοῖς ἔξωθεν μέλλομεν θυσιάσειν, γινώσκω ὅτι καὶ τοῖς ἡμετέροις.

Th 273f X οὐδ’ ἀφαιρῶ τοῦ λόγου τὸν Ἰσμηνὸν καὶ τοὺς ἐν αὐτῷ θεοὺς τοῦ μὴ εὔχεσθαι καὶ αὐτοῖς.

Th 273g ὅμοιον δὲ τῷ παρὰ Πινδάρῳ (Ol. I 37) τῷ ὁπό τ ’ ἐκάλεσε πατὴρ τὸν εὐνομώτατον ἔρανον φίλαν τε Σίπυλον, ἤγουν καὶ τοὺς ἐν αὐτῷ κατοικοῦντας θεοὺς ἀπὸ τοῦ τόπου δηλῶν αὐτοῦ. A 2 LcΞa οὐδ’ ἀπ’ Ἰσμηνοῦ λέγω] οὐδ’ ἀφαιρῶ τοῦ λόγου καὶ τῆς εὐχῆς τὸν Ἰσμηνὸν καὶ τοὺς ἐν αὐτῷ θεούς.

Th 273h θT οὐδ’ ἀπ’ Ἰσμηνοῦ λέγω] διὰ μέσου τοῦτο.

Th 273i A 2 Ξa Ἰσμηνοῦ] ποταμοῦ.

Th 273j NaVY εὖ ξυντυχόντων τῶν πραγμάτων δηλονότι καὶ τῆς πόλεως σεσωσμένης, τουτέστιν ἐὰν ἀποβῇ τὰ τοῦ πολέμου καλῶς τό γε εἰς ἡμᾶς ἧκον, καὶ ἐὰν σωθῇ ἡ πόλις ἡμῶν.

Th 274a Sj εὖ ξυντυχόντων] ἀποβάντων τῶν πραγμάτων.

Th 274b A 2 BHHaΞa εὖ ξυντυχόντων] καλῶς ἀποβάντων τῶν πραγμάτων.

Th 274c CPPdXcYa εὖ ξυντυχόντων] καλῶς ἐλθόντων.

Th 274d T εὖ] καλῶς.

Th 274e HaV ξυντυχόντων] τῶν πραγμάτων.

Th 274f HaNcR 1 θT σεσωσμένης] ἤγουν σωθείσης.

Th 274g A 2 TΞa μήλοισιν] προβάτοις.

Th 275a CFbFdHaNaPPdTX 2 Ya αἱμάσσοντας] αἵματι πληροῦντας.

Th 275b DPPdYa αἱμάσσοντας] ἡμᾶς.

Th 275c CDFdXcY αἱμάσσοντας] αἱματοῦντας.

Th 275d BFb αἱμάσσοντας] ἤτοι αἱματηρὰς ποιοῦντας.

Th 275e A 2 Ξa ἑστίας θεῶν] τοὺς ναοὺς τῶν θεῶν.

Th 275f A 2 ἑστίας] τοὺς βωμούς.

Th 275g DNaθTYaYbΞa ἑστίας] κατοικίας.

Th 275h CFd ἑστίας] τὰς οἰκίας.

Th 275i VX 2 ταυροκτονοῦντας] ταύρους σφάττοντας.

Th 276a AbCFdHaNaPPdTV ταυροκτονοῦντας] ἡμᾶς.

Th 276b A 2 LcΞa ταυροκτονοῦντας] θύοντας ταύρους.

Th 276c A 2 Ξa ὧ δ ’ ἐπεύχομα ι· ὧδε καὶ οὕτως ἐπεύχομαι θήσειν τοῖς θεοῖς τρόπαια, ἤγουν τοιαῦτα ὑποσχόμενος.

Th 276d P 2 PdSj ὧδ’] ὡς ἔφην.

Th 276e θT ἐπεύχομαι] λείπει ἡμᾶς· ἡμᾶς ἐπεύχομαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 276f M θήσειν τρόπαι α· παρατηρητέον ὅτι οὐδέπω ἦν ἡ τῶν τροπαίων ὀνομασία κατὰ τὸν Ἐτεοκλέα, ὥστε ἀνεβίβασε τὰ κατὰ τὸν χρόνον ὁ Αἰσχύλος.

Th 277a I 1 M θήσειν] ποιήσειν.

Th 277b CFbFdHaTV θήσειν] ἀναθήσειν.

Th 277c DXc θήσειν] ἡμᾶς.

Th 277d BθT τρόπαια] νικητήρια.

Th 277e VWYa τρόπαια] νίκας.

Th 277f FdPPd τρόπαιον λέγεται τὸ ἐπὶ τῆς τροπῆς ἱστάμενον σημεῖον.

Th 277g AbHaNa τρόπαια] τῆς νίκης.

Th 277h CθT τρόπαια] τῆς νίκης ἔπαθλα.

Th 277i A 2 Ξa ἐσθήμασι ν· ἐσθήματα ἀναθήσω πρὸ τῶν ναῶν τὰ λάφυρα.

Th 277j M ἐσθήματα] ἀπὸ κοινοῦ τὸ θύειν.

Th 277k DWYa ἐσθήματα] τὰ ἱμάτια.

Th 277l HaNaPVW ἐσθήματα] ἐσθήσεις.

Th 277m CXc ἐσθήματα] ἐνδύματα.

Th 277n AbFbT ἐσθήματα] τὰ ὅπλα.

Th 277o NaP ἐσθήματα] τὰς πανοπλίας.

Th 277p A 2 θTΞa λάφυρα] ἀκροθίνια.

Th 278a DYa λάφυρα] κοῦρσα.

Th 278b HaSjYb λάφυρα λέγει τὰ ἐκ τῶν πολεμίων σκηνῶν καὶ πόλεων ἐκκενούμενα παρὰ τὸ λάπτειν τὸ ἐκκενοῦν· τινὲς δὲ αὐτὰ παρὰ τὸ λαῷ φύρεσθαι συντιθέασιν.

Th 278c A 2 Ξa δαΐων] τῶν πολεμίων.

Th 278d BCHaNaPPdRaV δαΐων] πολεμικῶν.

Th 278e SjYb δαΐων] σύναπτε τὸ δαΐων πρὸς τὸ πολεμίω ν.

Th 278f θTΞa δαΐων] τῶν ὁρμητικῶν.

Th 278g FbT δορίπληχθ’] τρωθέντα ὑπὸ τοῦ δορός.

Th 278h HaNa δορίπληχθ’] τὰ πληττόμενα ὑπὸ τοῦ δορός.

Th 278i SjYb δορίπληχθ’] διὰ τοῦ ἡμῶν δουρὸς σκυλευθέντα· θήσειν ἀπὸ κοινοῦ.

Th 278j θTΞa δορίπληχθ’] ἤτοι τὰ ἀπὸ τῶν πολεμίων ληφθέντα.

Th 278k A 2 Ξa ἁγνοῖς] καθαροῖς.

Th 278l CV δόμοις] ἐν τοῖς ναοῖς.

Th 278m Pd δόμοις] ἤγουν τοῖς βωμοῖς.

Th 278n FbT ἔν τισι τῶν ἀντιγράφων μετὰ τὸν στίχον τοῦτον κεῖται τὸ στέψω πρὸ ναῶν παλεμίων ἐσθήματα, καὶ οὐ δήπου κατὰ λήθην ὁ τοιοῦτος στίχος εἰκῇ παρεγγέγραπται.

Th 278o ἡ δὲ τελευταία λέξις τοῦ πρὸ τούτου στίχου ἐσθήμασι ἔχει· εἰ γοῦν τοῦθ’ οὕτως ἔχει, συμβιβά(ζοι) ἄν τις ταῦτα, ἀντὶ τοῦ ἐσθήμασι πτώμασι μεταγράψας, καὶ ἔχει τὸ ὅλον καλῶς, λέγοντος τοῦ Ἐτεοκλέους ὅτι· πεσόντων τῶν πολεμίων ἀναθήσω πρὸ τῶν ναῶν τὰς τῶν πολεμίων στολάς. I 1 τοιαῦτ’] οἷα ἐμοῦ ἤκουσας. [5]

Th 279a A 2 θTΞa μὴ φιλοστόνως] ἀλλὰ μὴ ἐν θρήνοις καὶ οἰμωγαῖς.

Th 279b DPPdYa φιλοστόνως] θρηνητικῶς.

Th 279c A 2 BHaNaR 1 θTΞa φιλοστόνως] θρηνωδῶς.

Th 279d AbP ματαίοις] ἀνωφελέσι.

Th 280a A 2 θTΞa ἀγρίοις] τοῖς δυναμένοις ἐκπλῆξαι.

Th 280b PPd ἀγρίοις] θρηνητικοῖς.

Th 280c HaNa ἀγρίοις] μεγάλοις.

Th 280d A 2 Ξa οἷον ἐκφοβήμασι τοῖς δυναμένοις ἐκπλῆξαι τοὺς ἀκούοντας.

Th 280e I 1 M ποιφύγμασ ι· φυσήμασι οἷον ἐκφοβήμασι τοῖς δυναμένοις ἐκπλῆξαι τοὺς ἀκούοντας.

Th 280f DYaW ποιφύγμασι] φυσήμασι.

Th 280g BCFbHPPdXc ποιφύγμασι] στεναγμοῖς.

Th 280h BH ποιφύγμασι] ἐν φοβήμασιν.

Th 280i PYYa ποιφύγμασι] θρήνοις, βοαῖς.

Th 280j θT ποιφύγμασι] θορύβοις καὶ θρήνοις.

Th 280k A 2 Ξa τὸ θέμα ποιφύσσω ὃ δηλοῖ τὸ φύσσω.

Th 280l γίνεται δὲ παρὰ τὸ φῶ φύω κατὰ ἀποβολὴν καὶ κατὰ ἀναδιπλασιασμὸν τροπῇ τοῦ φ εἰς π καὶ πλεονασμῷ τοῦ ι ποιφύω, ὁ μέλλων ποιφύσω, καὶ μετάγεται εἰς ἐνεστῶτα προσλαμβάνον καὶ ἕτερον ς. A 2 Ξa οὐ γάρ τι μᾶλλον] οὐ γὰρ διὰ τοῦτο τὸ κλαίειν ἐκφύγῃς τὸ πεπρωμένον σοι.

Th 281a DPPdYa οὐ γὰρ θρηνοῦσα μᾶλλον ἢ μὴ θρηνοῦσα ἐκφύγῃς ὅ σοι παθεῖν πέπρωται, ἀλλ’ εἰ καὶ διαπαντὸς θρήνοις ἐκδοίης σαυτήν, οὐδέν σοι τοῦτο λυσιτελήσει πρὸς τὸ μὴ παθεῖν σε τὰ πεπρωμένα.

Th 281b A 2 θTΞa οὐ γάρ τι μᾶλλον] + διὰ τὸ μέτρον.

Th 281c T οὐ γάρ τι μᾶλλον] οὐδὲν μᾶλλον.

Th 281d A 2 Ξa μᾶλλον] ἐν τοῖς στεναγμοῖς.

Th 281e NaP μὴ] αἱ δύο ἀρνήσεις ἀντὶ μιᾶς ἢ τὸ μὴ παρέλκον.

Th 281f DP μὴ] τὸ μὴ καὶ τὸ οὐ ἐκ παραλλήλου.

Th 281g FbFdT τὸ μόρσιμον] τὸ πεπρωμένον.

Th 281h BHa τὸ μόρσιμον] τὸ μεμοιρασμένον.

Th 281i A 2 AbFdRaSjTXYbΞa ἐγὼ δ ’ ἐ π ’ ἄνδρα ς· ἐγὼ δὲ σὺν ἐμαυτῷ ἄλλους ἕξ, ὥστε ἐστὶν αὐτὸς ἕβδομος, ἀντιστάτας τοῖς πολεμίοις ποιήσομαι ταῖς ἑπτὰ πύλαις καὶ σπεύσω ἐγὼ τάξαι λοχαγοὺς πρὶν ἢ τὰ πράγματα κατεπείξῃ, ὥστε δι’ ἀγγέλων συχνῶν ἐξάγειν τὸ στράτευμα.

Th 282-286a M ἐγὼ δ ’ ἐ π ’ ἄνδρα ς· ἐγὼ δὲ παραγενόμενος ἐπὶ ἄνδρας ἓξ σὺν ἐμοὶ ἑβδόμῳ τάξω εἰς ἑπτατειχεῖς ἐξόδους, ἤτοι εἰς τὰς ἑπτὰ πύλας τῆς πόλεως, ἀντηρέτας καὶ ἀντιμάχους τοῖς ἐχθροῖς—ἀπὸ τοῦ ἀνταίρω ῥήματος—πρὶν ἱκέσθαι καὶ παραγενέσθαι πρὸς ἡμᾶς λόγους μηνυτὰς συνεχεῖς καὶ κατεπείγοντας ἡμᾶς ἐκεῖσε ἀπελθεῖν. [5]

Th 282-286b BCHNcNdP 2 PdSj VWXaYYaYb οὕτω σύντασσε· ἐγὼ δὲ μολὼν ἐπὶ ἄνδρας ἕξ, τάξω αὐτοὺς τὸν μέγαν τρόπον σὺν ἐμοὶ ἑβδόμῳ εἰς τὰς ἑπτατειχεῖς ἐξόδους ἀντηρέτας τοῖς ἐχθροῖς.

Th 282-284 μὴ λάβῃς δὲ εἰς τὸν μέγαν τρόπον ἔξωθεν κατ ά, ἀλλ’ ὥσπερ φαμὲν τάξω τάξιν, οὕτω καὶ τοῦτο. A 2 θTΞa ἐπ’] ἡ ἐπὶ πρὸς τὸ ἐχθροῖσ ι.

Th 282a MPd ἐπ’] τὸ ἐπὶ παρέλκον.

Th 282b CDWXcYa κυρίως ἀντηρέτης ὁ ἀντικωπηλάτης· νῦν δὲ καταχρηστικῶς ὁ ἀντιστάτης.

Th 283a Xa 2 Ya ἀντηρέτας κυρίως τοὺς ἀντικωπηλάτας· νῦν δὲ τοὺς ἀντιστάτας.

Th 283b P 2 Sj ἀντηρέτας] ἀντιστάτας.

Th 283c I 1 Y ἀντηρέτας] ἀντιμάχους.

Th 283d BCDHNcOPdXcYa ἀντηρέτας] ἐναντίους.

Th 283e AbHaP ἀντηρέτας] ἀντιπάλους.

Th 283f A 2 θΞa ἀντηρέτας] ἀντιπάλους τροπικῶς· ἀντηρέτης γὰρ ὁ κωπηλάτης.

Th 283g T τὸν μέγαν τρόπον] ὡς βασιλεῖ πρέπει.

Th 283h I 1 τὸν μέγαν τρόπον] κατὰ τὸν βασιλικόν.

Th 283i A 2 AbBHHaKNaNcO R 1 TXXcYΞa τὸν μέγαν τρόπον] κατὰ τὸν πρέποντα καὶ βασιλικόν.

Th 283j PPdWYa τὸ γὰρ διατάττειν τοὺς στρατηγοὺς καὶ στρατεύματα μέγιστόν ἐστι καὶ τοῦ βασιλέως ἄξιον.

Th 283k θT εἰς ἑπτατειχεῖς ἐξόδους] εἰς τὰς ἑπτὰ πύλας τῆς πόλεως.

Th 284a AbBHaP ἑπτατειχεῖς] + ἑπταπύργους ὤφειλεν εἰπεῖν.

Th 284b T ἐξόδους] τὰς πύλας.

Th 284c CNaPPdSjTWX 2 Yb ἐξόδους] ἐξελεύσεις.

Th 284d AbHa τάξω] κοσμήσω.

Th 284e BYa τάξω] καταστήσω.

Th 284f DYa μολὼν] ἐλθών.

Th 284g CSjTX 2 YaYb μολὼν] παραγενόμενος.

Th 284h AbBHHaNa πρὶν] καὶ τάξω δῆλον.

Th 285a AbHa ἀγγέλους] μηνυτάς.

Th 285b AbHaPV ἀγγέλους] λόγους ἀγγελτικούς.

Th 285c A 2 Ξa ἀπὸ τοῦ σπέρχνω τὸ σπουδάζω κατὰ πλεονασμὸν τοῦ ν.

Th 285d NaP 2a σπερχνοὺς] καὶ κατεπείγοντας ἡμᾶς ἐκεῖσε ἀπελθεῖν.

Th 285e NaP σπερχνοὺς] τοὺς συνεχεῖς καὶ κατεπείγοντας τὴν ἀφ’ ἡμῶν ἔξοδον.

Th 285f MP σπερχνοὺς] συνεχεῖς.

Th 285g AbDHaYa σπερχνοὺς] πυκνούς.

Th 285h PdX σπερχνοὺς] σπουδαίους.

Th 285i BCHI 2 NaNcOXc σπερχνοὺς] συχνούς.

Th 285j HaNa σπερχνοὺς] ταχεῖς.

Th 285k NaPPdR 1 σπερχνοὺς] ταχεῖς, σπουδαίους.

Th 285l A 2 θTΞa ταχυρρόθους] ταχεῖαν ποιοῦντες τὴν ἀγγελίαν.

Th 285m BHNc ταχυρρόθους] συντόμους.

Th 285n CY ταχυρρόθους] σπουδαίους.

Th 285o DVYa ταχυρρόθους] πολλούς, ταχυτάτους.

Th 285p AbHa ταχυρρόθους] + ταχὺν ἦχον ἔχοντας, ἤτοι ταχεῖς.

Th 285q T ταχυρρόθους] ταχεῖαν ἀγγελίαν ἔχοντας.

Th 285r A 2 Ξa ἱκέσθαι] παραγενέσθαι.

Th 286a

BCHV ἱκέσθαι] καταλαβεῖν.

Th 286b PPd ἱκέσθαι] πρὸς ἡμᾶς.

Th 286c BP ἱκέσθαι] ἀφικέσθαι.

Th 286d HaTΞa ἱκέσθαι] ἐλθεῖν.

Th 286e FdTYa φλέγειν] ἀνάπτειν.

Th 286f BHNcX 2 Ya φλέγειν] κινεῖν.

Th 286g AbDHaNaPPdYYa φλέγειν] ἐκκαίειν, δαμάζειν.

Th 286h A 2 θTΞa φλέγειν] ἐκκαίειν, διεγείρειν ἡμᾶς.

Th 286i T χρείας ὕπο] ὑπὸ τοῦ πόνου.

Th 286j BH χρείας] ἀνάγκης.

Th 286k BCVXcYa στίχοι με′.

Th 286l F pc μέλει φόβῳ δ’· οὗτος ὁ χορὸς συνίσταται ἐκ κώλων χοριαμβικῶν πδ′ ὧν τὰ μέν ἐστι τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά, τὰ δὲ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ ἤτοι ἑφθημιμερῆ, τὰ δὲ ἡμιόλια.

Th 287-374 εἰσὶ δὲ ἀναπαιστικά τινα δίμετρα ἀκατάληκτα ὧν τελευταῖον (374)· ἀλγέων ἐπίρροθο ν. ἐν ἐκθέσει δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ἕξ. F pc οὕτως εὑρέθη τὰ κῶλα τοῦ χοροῦ ἐν ἑτέροις παλαιοῖς.

Th 287-368 F pc στροφὴ κώλων ιζ′.

Th 287-303a T ἡμέτερον + μέλει φόβῳ δ ’ οὐχ ὑπνώσσε ι· τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται, ὡς εἴρηται, κατὰ σχέσιν· ἔστι δὲ τὰ παρόντα στροφῶν τριῶν.

Th 287-303b τῆς πρώτης οὖν στροφῆς τὰ κῶλα ιζ′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α′ χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐκ διιάμβου, ἐπιτρίτου δευτέρου καὶ ἰάμβου ἢ πυρριχίου διὰ τὴν ἀδιάφορον. τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον κοινὴν ἔχει συλλαβὴν κατὰ τὸν πρῶτον πόδα. τὸ β′ τροχαϊκὸν ἑφθημιμερές. τὸ γ′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου πρώτου, [δι]ιάμβου καὶ συλλαβῆς. τὸ δ′ ὅμοιον δίμετρον καταληκτικὸν ἐκ διιάμβου καὶ κρητικοῦ Φερεκράτειον, τὸ ε′ ὅμοιον κατὰ πάντα· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον ἀνάπαιστον ἔχει τὸν δεύτερον πόδα. τὸ ς′ ὅμοιον κατὰ πάντα· ἔχει δὲ κατὰ τὸν δεύτερον πόδα συνίζησιν. τὸ ζ′ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου πρώτου καὶ συλλαβῆς· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς καθαρὸν ἔχει τὸν ἀντίσπαστον. τὸ η′ τροχαϊκὸν ἰθυφαλλικόν. τὸ θ′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς διτρόχαιον ἔχει τὸν πρῶτον πόδα. τὸ ι′ ὅμοιον κατὰ πάντα· τὸ δὲ τῆς ἀντιστροφῆς κῶλον ἀντίσπαστον ἔχει καθαρόν. τὸ ια′ ὅμοιον ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου. τὸ ιβ′ ὅμοιον ἐκ διτροχαίου καὶ βακχείου ἢ ἀμφιβράχεος διὰ τὴν ἀδιάφορον. τὸ ιγ′ ὅμοιον ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου ἢ ἀμφιβράχεος. τὸ ιδ′ ὅμοιον ἐκ διτροχαίου καὶ ἀμφιβράχεος· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον ἐπίτριτον ἔχει καὶ βακχεῖον. τὸ ιε′ χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ παίωνος δευτέρου, τὸ ις′ ἰαμβικὸν ἑφθημιμερὲς καθαρόν. τὸ ιζ′ χοριαμβικὸν καθαρὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ ἀμφιβράχεος. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. T μέλει φόβῳ δ ’ οὐχ ὑπνώσσει κέα ρ· φησὶν ὁ χορός· μέλει ἡ ψυχή μου, ἤτοι φροντίζει ὧν εἶπεν ὁ Ἐτεοκλῆς, ἀλλ’ ὁ ἐν ἐμοὶ φόβος οὐκ ἠρεμεῖν ἀφίησι καὶ ἡσυχάζειν ἐμέ.

Th 287-290a αἱ δὲ ἐν τῇ καρδίᾳ μου μέριμναι τὸν ἐν ἐμοὶ φόβον ἀνάπτουσιν τὸν ἀμφιτειχῆ λεών. BCDHNc NdP 2 PdSjVWXaXcYYb οὐ καταρρυθμήσει καὶ οἱονεὶ τοῦ φροντίζειν χαλάσει, νήφειν τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φόβου πείθοντος καὶ πρὸς δάκρυα καὶ οἰμωγὰς ἔχειν παρασκευάζοντος· αἱ γὰρ ἐν τῇ ψυχῇ μου φροντίδες φόβον ἀνάπτουσι τὸν ἀμφιτειχῆ λεών, τουτέστι φοβοῦμαι.

Th 287-290b ἔστι δὲ ὁ φόβος οὐχ ἕτερος, ἀλλ' ἢ ὁ πέριξ τῶν πολεμίων λαός· οὗτος γὰρ ἐμβάλλει τὸν φόβον περιιστάμενος καὶ πολιορκῶν τὴν πόλιν. οὕτω λέγε καὶ μὴ λάμβανε ἔξωθεν ἀμαθῶς τὸ δι ά, λέγων διὰ τὸν ἀμφιτειχῆ λεών. θΤ ὁ νοῦς· μέλει μοι, φησίν, ὧν εἶπεν ὁ Ἐτεοκλῆς, ἀλλ' ὁ ἐν ἐμοὶ φόβος οὐκ ἠρεμεῖν με ποιεῖ καὶ ἡσυχάζειν.

Th 287-289 I 1 M μέλει] φροντίζει ὧν εἶπεν ὁ Ἐτεοκλῆς.

Th 287a BCI 2 Xc μέλει] φροντίζει ἡ ψυχή.

Th 287b DHHaR 1 V μέλλει] βραδύνει ὁ ἄγγελος ἢ περὶ τῆς εὐχῆς.

Th 287c X μέλει] φροντίς ἐστί μοι ὧν εἶπες.

Th 287d θΤΞa μέλει] + φροντίζει τὸ κέαρ.

Th 287e T μέλει] βραδύνει ὁ ἄγγελος δῆλον.

Th 287f A 2 Ξa οὐχ ὑπνώσσει] οὐκ ἠρεμεῖ.

Th 287g A 2 BHI 2 PPdTVXcΞa οὐχ ὑπνώσσει] οὐ καταρρυθμήσει καὶ οἱονεὶ τοῦ φροντίζειν ἀμελήσει.

Th 287h Ξa ὑπνώσσει] ἠρεμήσει.

Th 287i CHaX 2 κέαρ] ἐμοῦ.

Th 287j DYa κέαρ] ἡ ψυχή μου.

Th 287k BCHaNaOTY γείτονες δὲ καρδ ( ία ς)· αἱ δ' ἐν τῇ καρδίᾳ μέριμναι ἀνάπτουσι τὸν ἐν ἐμοὶ φόβον.

Th 288-294 ἡ καρδία μου, φησί, δέδοικε τὸν πολιορκοῦντα στρατὸν ὡς δράκοντα ὑπὲρ τῶν νεοσσῶν πελειάς. M τὰ μέρη τῆς ψυχῆς λογιστικόν, θυμικόν καὶ ἐπιθυμ[η]τικόν.

Th 288a τὸ δὲ λογικὸν ἐν τῷ [ἐγ]κεφάλῳ, τὸ δὲ θυμικὸν ἐν τῇ καρδίᾳ, τὸ δὲ ἐπιθυμητικὸν ἐν τῷ ἥπατι. αἱ μέριμναι γοῦν διὰ τοῦ λογικοῦ γίνονται· διότι δὲ πλησιάζει ἡ καρδία τὸ λογιστικόν, διὰ τοῦτο εἶπε· μέριμναι γείτονες καρδίᾳ. X γείτονες] συγγενικαί.

Th 288b BHNc γείτονες] αἱ πλησιάζουσαι καὶ ἐν αὐτῇ τῇ ψυχῇ μου οὖσαι.

Th 288c DPPd Ya γείτονες] τῆς γὰρ ψυχῆς ἴδιον τὸ φροντίζειν.

Th 288d T καρδίας] ἤγουν τῆς ψυχῆς.

Th 288e T μέριμναι] φροντίδες.

Th 289a AbHaTYa τὸ ζωπυροῦσι τάρβος τί ἄλλο σημαίνει ἢ τὸ φοβοῦμαι; ὅπερ τὸ φοβοῦμαι μεταλαμβάνει καὶ εἰς τὰ ἑξῆς καί φησι· φοβοῦμαι ὡς πελειάς.

Th 289b Xc ζωπυροῦσι] κρύπτουσιν ἐντός.

Th 289c I 1 ζωπυροῦσι] ἀναφλέγουσι.

Th 289d DPd ζωπυροῦσι] ἀνάπτουσιν.

Th 289e A 2 BCHHaNaNcPQR 1 SjθTVXXc YaYbΞa τάρβος σημαίνει τὸν φόβον· τρισσῶς λέγει ὁ Ἡρωδιανός (2, 241, 5—9).

Th 289f πρῶτον ἐκ τοῦ ταράσσω, τάραβος καὶ ἐν συγκοπῇ τάρβος παρὰ τὸ ταράσσειν τὴν ψυχήν. δεύτερον ἐκ τοῦ τρέπω, ὁ δεύτερος ἀόριστος ἔτραπον, τράπος καὶ τάρβος· οἱ γὰρ εὐλαβούμενοι φεύγουσι. τρίτον ἐκ τοῦ τείρω τὸ καταπονῶ, ὁ δεύτερος ἀόριστος ἔταρον, τάρος καὶ πλεονασμῷ τοῦ β τάρβος. NcWYa τάρβος σημαίνει τὸν φόβον· τρισσῶς δὲ λέγει ὁ Ἡρωδιανὸς (2, 241, 5—9) τοῦτο· ἐκ τοῦ τρέπω, ὁ δεύτερος ἀόριστος ἔτραπον, τράπος καὶ τάρβος· οἱ γὰρ εὐλαβούμενοι φεύγουσι.

Th 289g

ἐκ τοῦ τείρω τὸ καταπονῶ, ὁ δεύτερος ἀόριστος ἔταρον, τάρος καὶ πλεονασμῷ τοῦ β τάρβος, καὶ ἐκ τοῦ ταράσσω. P 2 PdSj τάρβος] φόβημα. [5]

Th 289h BH τάρβος] φόβος.

Th 289i CNaYb τάρβος] ἢ τὸ ταράσσειν τὴν βοὴν ἢ τὸ ταγρον τὴν βοήν.

Th 289j D τάρβος] φόβον.

Th 289k AbFdTVX 2 Xc δράκοντα δ ’ ὥς τις τέκνων ὑπερδέδοικ ε· δέδοικε γὰρ ἡ καρδία μου—τὸν γὰρ δὲ σύνδεσμον ἀντὶ τοῦ γὰρ νοητέον—τὸν ἀμφιτειχῆ λεώ, ἤτοι τὸν ἀμφοτέρωθεν τῶν τειχῶν λαόν, ὥς τις καὶ ὥσπερ ἡ πάντροφος πελειὰς δέδοικε τὸν δράκοντα ὑπὲρ τῶν ἑαυτῆς τέκνων, ἡ δυσευνήτειρα τῶν λεχέων, ἤτοι ἡ διὰ τὸν φόβον τῶν ἑαυτῆς νεοσσῶν προσκαθημένη τῇ καλιᾷ αὐτῆς ἄγρυπνος· πάντροφος δὲ ἡ διηνεκῶς ἐκτρέφουσα τὰ τέκνα, ἐπειδὴ πάντα τὰ ὄρνεα ἅπαξ τοῦ ἔτους τίκτει, ἡ δὲ περιστερὰ ἀεί· διὸ καὶ ἀνάκειται τῇ Ἀφροδίτῃ. [5]

Th 290-294a BCDHNcNdP 2 VWXa XcYYb ὥσπερ δέ τις πάντροφος πελειὰς δέδοικε τὸν δράκοντα ὑπὲρ τῶν ἑαυτῆς τέκνων δυσευνάτειρα οὖσα τῶν λεχέων, ἤγουν διὰ τὸν φόβον τῶν ἑαυτῆς τέκνων ἤτοι τῶν νεοσσῶν προσκαθημένη τῇ καλιᾷ ἄγρυπνος.

Th 290-294b πάντροφος δὲ ἡ διηνεκῶς ἐκτρέφουσα τὰ ἑαυτῆς τέκνα, ἐπειδὴ πάντα τὰ ὄρνεα ἅπαξ τοῦ ἔτους τίκτει, ἡ δὲ περιστερὰ ἀεί· διὸ καὶ ἀνάκειται τῇ Ἀφροδίτῃ. P 2 PdSj τὸν ἀμφιτειχῆ λεὼν] ἢ διὰ τὸν ἔξωθεν τὸν πολιορκούμενον ἡμᾶς· δέδοικε γὰρ ἡ καρδία μου. [5]

Th 290a BH ἡ ἀμφὶ ἀντὶ τοῦ περί· ἡ δὲ περὶ δηλοῖ τὸ κύκλῳ δηλονότι, ἤγουν 〈τὸν〉 κύκλωθεν τῶν τειχῶν λαόν.

Th 290b I 2 τὸν ἀμφιτειχῆ λεὼν] τὸν ὑπάρχοντα κύκλῳ τοῦ τείχους.

Th 290c CSjYb τὸν ἀμφιτειχῆ λεὼν] δέδοικα.

Th 290d HaNaX τὸν ἀμφιτειχῆ λεὼν] τὸν περὶ τὰ τείχη ὄντα λαὸν τῶν πολεμίων.

Th 290e T τὸν ἀμφιτειχῆ λεὼν] ἤγουν τὸν περικυκλοῦντα τὴν πόλιν.

Th 290f A 2 Ξa ἀμφιτειχῆ] ἱστάμενον.

Th 290g HaNa δράκοντα] τὸν ὄφιν· τὸ εἶδος γὰρ ἔλαβεν ἀντὶ τοῦ γένους.

Th 291a PPd δράκοντα] ὄφιν.

Th 291b AbHaT δράκοντα] δέδοικα οὕτως δῆλον.

Th 291c A 2 Ξa ὥς] ὥσπερ τις πελειάς.

Th 291d T ὥς] καθὰ δέδοικε δῆλον.

Th 291e A 2 Ξa τέκνων] τῶν νεοσσῶν.

Th 291f DYa ὑπερδέδοικε] φοβεῖται.

Th 292a AbCHaTYa ὑπερδέδοικε] ἀπὸ τούτου λάμβανε ἔξωθεν τὸ δέδοικα, ἵν’ ᾖ οὕτως· δέδοικα δὲ ὑπὲρ τοῦ λαοῦ.

Th 292b θΞa ὑπερδέδοικε ν· ἀπὸ τούτου λάμβανε ἔξωθεν τὸ δέδοικα, ἵν’ ᾖ οὕτως· δέδοικα δὲ ὑπὲρ τοῦ λαοῦ ὥσπερ πελειὰς πάντροφος δυσευνήτειρα δέδοικε τὸν δράκοντα ὑπὲρ τῶν τέκνων τῶν λεχέων, τουτέστι τῶν ἐν τῇ χιᾷ αὐτῆς ὄντων καὶ μὴ δυναμένων πέτεσθαι καὶ διαδρᾶναι τὸν κίνδυνον. [5]

Th 292c T λεχέω ν· τουτέστι νεμομένων ἐπὶ τῆς καλιᾶς· ταύτην γὰρ λέχος εἶπεν, οἷον τῶν ἐν ὡρισμένῳ τόπῳ μενόντων καὶ μήπω δυναμένων ἵπτασθαι.

Th 292-294 δυσευνήτορας δὲ δυσευνήτους διὰ τὸν φόβον τοῦ δράκοντος. πάντροφον δὲ τὴν πελειάδα φησίν, ὅτι πάντα τὰ ὄρνεα ἅπαξ τοῦ ἔτους τίκτει, ἡ δὲ περιστερὰ ἀεί· διὸ ἀνάκειται τῇ

Ἀφροδίτῃ. περιστερὰ δὲ εἴρηται ἡ περισσὰ ἐρῶσα, πλεοναζοντος τοῦ τ κατὰ τὸ μέσον. M τῶν νεωστὶ γεννηθέντων καὶ μηδέπω πέτεσθαι δυναμένων, ἀλλὰ ἐν τῇ καλιᾷ καθημένων. [5]

Th 292d ἢ λεχέων δυσευνήτειρα ἡ μὴ ἀναπαυομένη τοῖς λέχεσιν, ἀλλ' ἀεὶ γρηγοροῦσα πελειάς. P 2a Pd λεχέων ἤτοι τῶν μενόντων ἔτι ἐν τῇ καλιᾷ· ταύτην γὰρ λέχος εἶπε 〈.

Th 292e ..〉 καὶ μὴ δυναμένων ἵπτασθαι. I 1 λεχέων] κοίτης.

Th 292f BH λεχέων] + τῶν ἐν τῇ λέχει ὄντων ἤτοι τῇ χιᾷ.

Th 292g T λεχέων] συνίζησις.

Th 292h T ἡ κακῶς ἐπικαθημένη τῇ φωλεᾷ διὰ τὸν φόβον τοῦ δράκοντος, ἢ ἡ μὴ ἀναπαυομένη ἐν τοῖς λέχεσιν, ἀλλ' ἀεὶ γρηγοροῦσα.

Th 293a WYaXa 2 δυσ[ευνή]τοραν ὀνομάζει τὴν περιστερὰν διὰ τὸ προσκαθῆσθαι ἀεὶ τῇ καλιᾷ καὶ τὸ ἀγρυπνεῖν [.

Th 293b ....] τῶν ἑαυτῆς νεοσσῶν. I 2 δυσευνήτειρα] μὴ ἀναπαυομένη ἐν τοῖς λέχεσιν, ἀλλ' ἀεὶ γρηγοροῦσα.

Th 293c BHNcXc δυσευνήτειρα] κακῶς κοιμωμένη.

Th 293d PPd δυσευνήτειρα] ἄγρυπνος διὰ τὸν φόβον.

Th 293e A 2 I 1 θTΞa δυσευνήτειρα] ἡ ἄγρυπνος.

Th 293f NaV ἡμέτερον· + δυσευνήτειραν αὐτὴν εἴρηκε διὰ τὸ κακὴν καὶ χαλεπὴν κτήσασθαι εὐνὴν ἀναιρεθέντων αὐτῆς τῶν τέκνων ὑπὸ τοῦ ὄφεως· δυσκόλως γὰρ ἔχει πρὸς αὐτὴν καὶ βλέπουσα αὐτὴν ἀποστρέφεται καὶ ἐκφεύγει, οἰόμενος ἔτι τὸν ὄφιν ἐν αὐτῇ κεῖσθαι.

Th 293g οὐ μόνον δὲ πελειὰς γράφεται ὡς ἐνταῦθα, ἀλλὰ καὶ πέλεια ὡς ἐν ἑτέρῳ (Pr. 857): κίρκοι πελειῶν οὐ μακρὰν λελειμμένο ι. T πάντροφον καλεῖ τὴν πελειάδα ὅτι πάντα τὰ ὄρνεα ἅπαξ τίκτει τοῦ ἐνιαυτοῦ, αὕτη δὲ ἀεί· διὸ καὶ περιστερὰ λέγεται ὡς περισσὰ ἐρῶσα πλεονάζοντος τοῦ τ κατὰ τὸ μέσον, ὅθεν καὶ τῇ Ἀφροδίτῃ ἀνάκειται. [5]

Th 294a I 1 περιστερὰ εἴρηται ἡ περισσὰ ἐρῶσα πλεονάζοντος τοῦ τ κατὰ τὸ μέσον.

Th 294b P 2a πάντροφος ἡ διηνεκῶς τρέφουσα τὰ τέκνα, ἐπειδὴ πάντα τὰ ὄρνεα ἅπαξ τοῦ ἐνιαυτοῦ τίκτει, ἡ δὲ περιστερὰ ἀεί· διὸ καὶ ἀνάκειται τῇ Ἀφροδίτῃ.

Th 294c περιστερὰ δὲ γίνεται παρὰ τὸ περισσῶς ἐρᾶν. Ya ἐπεὶ ἡ περιστερὰ μόνη τῶν πτηνῶν δι' ὅλου τοῦ ἔτους ὀχεῖται καὶ νεοττοποιεῖ, διὰ τοῦτο καὶ πάντροφον αὐτὴν ἐνταῦθα εἴρηκεν ὁ Αἰσχύλος.

Th 294d A 2 Ξa πάντροφος] πολύτεκνος.

Th 294e BDHNcXcYYa πάντροφος] πολύτοκος.

Th 294f PR 1 πάντροφος] ἡ παντελῶς τρέφουσα τὰ τέκνα.

Th 294g XY πάντροφος] ἡ δι' ὅλου τοῦ ἔτους τίκτουσα· διὸ καὶ ἀνάκειται τῇ Ἀφροδίτῃ.

Th 294h θT πάντροφος] ἤτοι δι' ὅλου τοῦ ἔτους τίκτουσα.

Th 294i A 2 Ξa πελειάς] περιστεράς.

Th 294j BPd πελειάς] περιστερά.

Th 294k A 2 CHNaPTYa τοὶ μὲν γὰρ ποτὶ πύργου ς· οὗτοι μὲν γάρ, ἤγουν οἱ πολῖται, πανδημεὶ στείχουσι πρὸς τοὺς πύργους, τοὶ δέ, ἤγουν οἱ πολέμιοι, ἰάπτουσι καὶ πέμπουσι ἐπὶ τοῖς πολίταις τοῖς ἀμφιβόλοις, ἤτοι τοῖς πάντοθεν παρὰ τῶν πολεμίων βαλλομένοις ἢ τοῖς ἀμφοτέρωθεν ἀμφίβολον ἔχουσι—πρὸς γὰρ τὸ ἔξωθεν στράτευμα καὶ ἔσωθεν ὁμοίως ἕτερον πρὸς αὐτὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντετείνετο—χερμάδα ὀκριόεσσαν, ἤγουν χειροπληθῆ λίθον τραχεῖαν· ἀρχὴ γὰρ τοῦ πολέμου τῶν πετρῶν αἱ καταρραγαὶ γίνονται. [5]

Th 295-300 C NcNdP 2 PdSjVWXaYYa τοὶ μὲν] οἱ πολῖται.

Th 295a AbBCDHHaNaM 2 OPR 1 VXcYa τοὶ μὲν] οὗτοι.

Th 295b AbBCFdHaI 2 NaPV τοὶ μὲν] ἄλλοι μέν.

Th 295c A 2 θΤΞa τοὶ μὲν] οἱ μέν, ἤγουν ἄλλοι μὲν τῶν πολεμίων.

Th 295d T πανδημεὶ πανομιλεὶ] ἤγουν ὅλος ὁ δῆμος καὶ ὅλος ὁ ὅμιλος.

Th 296a PPd πανδημεὶ πανομιλεὶ] κατὰ συστήματα καὶ πλήθη.

Th 296b A 2 θΤΞa πανδημεὶ] μετὰ παντὸς λαοῦ.

Th 296c BHYa πανομιλεὶ] μετὰ ὁμιλίας.

Th 296d CYa πανομιλεὶ] ἐκ παραλλήλου.

Th 296e T στείχουσι] πορεύονται.

Th 296f A 2 BCHHaNaXcYaΞa στείχουσι] προσέρχονται.

Th 296g T τί γένωμαι] τῆς τύχης δηλονότι.

Th 297a M τί γένωμαι] διὰ μέσου.

Th 297b BT τί γένωμαι] τί ποιήσω.

Th 297c CX τί γένωμαι] εἰς ὕστερον.

Th 297d DYa τοὶ δὲ] οἱ ἐχθροί.

Th 298a BCDHO τοὶ δὲ] οὗτοι δέ.

Th 298b AbCHaI 2 V τοὶ δὲ] ἤγουν οἱ πολέμιοι.

Th 298c AbHaPR 1 XcYa τοὶ δὲ] οἱ ἐναντίοι.

Th 298d XY τοὶ δὲ] ἄλλοι δέ.

Th 298e A 2 θΤΞa ἀμφιβόλοισι ν· πάντοθεν βαλλομένοις, ἢ ἀμφοτέρωθεν.

Th 298f M ἐ π ’ ἀμφιβόλοισι ν· πάντοθεν βαλλομένοις, ἢ ἀμφοτέρωθεν.

Th 298g ἡ δὲ χρῆσις καὶ παρὰ Ἀρριανῷ (anab. Alex. 3, 18, 8). I 1 ἢ γράφεται ἐ π ’ ἀμφοτέροισιν, ἤτοι τοῖς ἀμφοτέρωθεν ἀμφίβολον ἔχουσι τὸν νοῦν· πρὸς γὰρ τὸ ἔξωθεν στράτευμα καὶ τὸ ἔσωθεν διεμέριζον ἑαυτούς.

Th 298h P 2a ἀμφιβόλοισιν] τοῖς βαλλομένοις ἀμφοτέρωθεν.

Th 298i CXc ἀμφιβόλοισιν] ξυλοτεύχοις ὀργάνοις.

Th 298j PPd ἀμφιβόλοισιν] τοῖς κύκλωθεν βαλλομένοις.

Th 298k BH ἀμφιβόλοισιν] τοῖς ἔχουσι ἀμφιβολίαν.

Th 298l X ἀμφιβόλοισιν] ἤγουν τοῖς μὴ οὖσιν ἐντοπίοις, ἀλλὰ μετοικήσασιν ἀπὸ ἑτέρας πόλεως καὶ ἐλθοῦσιν ἐνταῦθα.

Th 298m Ha τὸ ἀμφιβόλοισιν οὐχ ὥς φασί τινες τοῖς ἀμφοτέρωθεν βαλλομένοις, ἀλλὰ ἀμφιβόλοις πολίταις τοῖς ἀμφίβολον καὶ οὐ βέβαιον ἔχουσι τὸ εἶναι πολίταις, ἀλλὰ μέσοις οὖσι καὶ κινδυνεύουσιν ἐκπεσεῖν τοῦ προσρήματος διὰ τὸν ἐπηρτημένον τῇ πόλει κίνδυνον.

Th 298n A 2 θΤΞa ἀμφιβόλοισιν] τοῖς ἀμφίβολον τὸ ὄνομα τοῦτο ἔχουσιν.

Th 298o T ἀμφιβόλοισιν] ἤγουν ἐπὶ τοῖς τείχεσι τοῖς ἀμφοτέρωθεν γενομένοις.

Th 298p

Eulogikon public reading copy · View original HTML at eulogikon.org

A 2 Ξa ἰάπτουσι ν· μετὰ βλάβης βάλλουσιν ἐπιπέμποντες τοῖς πολίταις μου τὴν ὀκριόεσσαν χερμάδα.

Th 299a M ἰάπτουσι] πέμπουσιν.

Th 299b A 2 CI 1 NaPPdR 1 θTVXXcΞa ἰάπτουσι] μετὰ βλάβης πέμπουσιν.

Th 299c BHNc χειροπληθῆ λίθον, τραχεῖαν· ἀρχὴ γὰρ τοῦ πολέμου τῶν πετρῶν αἱ καταρραγαὶ γίνονται.

Th 300a NdXaYYa χερμάδ'] πέτραν καταχρηστικῶς τὴν μεγάλην· κυρίως δὲ τὴν χειροπληθῆ.

Th 300b PPd χερμάδ'] λίθον.

Th 300c CNaXc χερμάδ'] χειροπληθῆ λίθον.

Th 300d A 2 PθTYaYbΞa ὀκρυόεσσαν] τὴν θανατηράν, τὴν ποιοῦσαν κρύος κατὰ τροπὴν τοῦ βραχέος εἰς βραχύ.

Th 300e BDHNcXcYaΞa ὀκρυόεσσαν] τραχεῖαν.

Th 300f I 2 M 2 NaPTVYa ὀκρυόεσσαν] θανατηράν.

Th 300g A 2 NbXΞa ὀκρυόεσσαν] χαλεπήν.

Th 300h θT παντὶ τρόπῳ διογενεῖ ς· ἐν πάσῃ μηχανῇ, ὦ διογενεῖς θεοί, ῥύεσθε τὴν πόλιν καὶ στρατὸν τὸν Καδμογενῆ καὶ τὸν ἀπὸ τοῦ γένους τοῦ Κάδμου καταγόμενον.

Th 301-303 διογενεῖς δὲ τοὺς θεοὺς λέγει ὅτι ἐκ Διὸς τὸ γένος ἕλκουσι· πατὴρ γὰρ ἀνδρῶν τε θεῶν τε (Hom. A 544) ὁ Ζεὺς ὀνομάζεται κοινῶς. ἰδίᾳ δὲ καὶ κατ' ἐξοχὴν διογενεῖς θεοί εἰσιν ἡ Ἀθηνᾶ καὶ ὁ Ἀπόλλων καὶ ἡ Ἄρτεμις. BCDHNcNdP 2 PdSjVWXa XcYYaYb παντὶ τρόπῳ] ἐν πάσῃ μηχανῇ. [5]

Th 301a BCDHI 2 NaPPdQR 1 PdSjYYa Yb παντὶ τρόπῳ] πάσῃ μηχανῇ καὶ σπουδῇ.

Th 301b θT διογενεῖς] οἱ ἔχοντες τὸ γένος ἀπὸ τοῦ Διός.

Th 301c BC διογενεῖς] οἱ ἐκ Διὸς ἔχοντες τὸ γένος ἅτε πατρὸς ἀνδρῶν τε θεῶν τε (Hom.

Th 301d A 544). θTΞa ἡμέτερον· + διογενεῖς κυρίως εἰσὶ θεοὶ Ἀπόλλων καὶ Ἄρτεμις, Ἀθήνη καὶ Διόνυσος καὶ Ἑρμῆς καὶ εἴ τις ἕτερος.

Th 301e καταχρηστικῶς δὲ πάντας Ὅμηρος ἐκ Διὸς εἶναι λέγει· φησὶ γὰρ (A 544)· πατὴρ ἀνδρῶν τε θεῶν τ ε. T πόλιν] τὴν ἡμετέραν.

Th 302a T Καδμογενῆ] ἀπὸ Κάδμου γὰρ οἱ Θηβαῖοι.

Th 303a M Καδμογενῆ] τὸν ἀπὸ τοῦ γένους τοῦ Κάδμου καταγόμενον.

Th 303b BPTYa Καδμογενῆ] τὸν Θηβαϊκόν.

Th 303c A 2 VΞa ῥύεσθε] κινδύνου.

Th 303d A 2 θTΞa ἀντιστροφὴ κώλων ιζ'.

Th 304-320 T ποῖον δ ' ἀμείψεσθε γαίας πέδ ( ο ν)· ἀντὶ τοῦ ποῖον οἰκήσετε δάπεδον ἐντεῦθεν μεταστάντες· εἴρηται δὲ καὶ ἐν Ξοανηφόροις Σοφοκλέους (fr.

Th 304a 452 Radt), ὡς οἱ θεοὶ ἀπὸ τῆς Ἰλίου φέρουσιν ἐπὶ τῶν ὤμων τὰ ἑαυτῶν ξόανα εἰδότες ὅτι ἁλίσκεται ἡ πόλις. ἐὰν ταύτην, φησί, τὴν γῆν προδῶτε τοῖς πολεμίοις, ποίαν βελτίονα αὐτῆς εὑρήσετε; I 1 M ποῖον δ ' ἀμείψεσθ ε· ποῖον δὲ πέδον καὶ γήδιον ἕτερον ἀμείψεσθε ἄρειον καὶ βέλτιον καὶ κρεῖττον ταύτης τῆς γῆς, ἀντὶ τοῦ ποῖον ἄλλο γῆς δάπεδον οἰκήσετε, ἐχθροῖς ἀφέντες καὶ καταλείψαντες καὶ δόντες τὴν αἶαν καὶ τὴν γῆν τὴν βαθύχθονα καὶ λιπαράν, ὕδωρ τε πάλιν τὸ τῆς Δίρκης τῆς πηγῆς ἀφέντες τὸ εὐτραφέστατον τῶν ποταμῶν ὁπόσων ἵησι καὶ ἐκπέμπει ὁ Ποσειδῶν ὁ γαιήοχος οἱ παῖδές τε τῆς Τηθύος, ἤγουν τῆς γῆς. [5]

Th 304-311a CNcNdP 2 PdSjVWXaY ἄλλως· ποῖον δ ' ἀμείψεσθ ε· ἰστέον ὅτι εἴρηται ἐν Ξοανηφόροις Σοφοκλέους (fr.

Th 304-311b 452 Radt), ὡς οἱ θεοὶ ἀπὸ τῆς Ἰλίου φέρουσιν ἐπὶ τῶν ὤμων τὰ ἑαυτῶν ξόανα εἰδότες ὅτι ἁλίσκεται. ἐὰν οὖν ταύτην τὴν γῆν, φησί, προδῶτε τοῖς πολεμίοις, ποίαν βελτίονα ταύτης εὑρήσετε; NcP 2 PdSjWYa ποῖον] οὐδέν. [5]

Th 304b NaP ἀμείψεσθε] ἀνταλλάξεσθε.

Th 304c BCH ἀμείψεσθε] ἀνταλλάξατε.

Th 304d PR 1 SjYb ἀμείψεσθε] ἀλλάξατε.

Th 304e NaYa ἀμείψεσθε] + ἤτοι κατοικήσεσθε.

Th 304f T ἀμείψεσθε] ἀντιλάβετε.

Th 304g A 2 γαίας πέδον] τόπον.

Th 304h BHYa γαίας πέδον] χωρίον.

Th 304i HYa γαίας πέδον] πόλισμα.

Th 304j NaP γαίας πέδον] ἤτοι γῆν.

Th 304k T τᾶσδε] + τῆς ἡμετέρας γῆς.

Th 305a T τᾶσδε] τῆς γῆς δηλονότι.

Th 305b A 2 HΞa ἄρειον] ἄρειον πεδίον προείρηται.

Th 305c M ἄρειον] κρεῖττον.

Th 305d A 2 BCHHaI 2 NaPdR 1 θTVXcYYaYbΞa ἐχθροῖσιν] + ἤτοι τοῖς Ἀργείοις.

Th 305e T ἀφέντες] ἐάσαντες.

Th 306a CYa ἀφέντες] δόντες.

Th 306b PdV ἀφέντες] καταλείψαντες.

Th 306c HaSjX 2 ἀφέντες] καταλιπόντες.

Th 306d A 2 Ξa τρεῖς ἀρεταὶ τῆς γῆς {εἶναι}· τὸ κάρπιμον αὐτὴν εἶναι, βαθύχθονα καὶ πλατεῖαν.

Th 306e X τὰν βαθύχθο (ν')· οἷον τὴν εὔγειον ταύτην καταλείψαντες εἰς τίνα χωρήσετε; M βαθύχθονα] τὴν εἰς βάθος ἐγκειμένην.

Th 306g BDHNcXcYa βαθύχθονα] τὴν λιπαρὰν καὶ εὔκαρπον, τὴν εἰς βαθὺ σπειρομένην.

Th 306h PPd βαθύχθονα] εὔκαρπον.

Th 306i HR 1 βαθύχθονα] τὴν λιπαράν.

Th 306j HaNaXc βαθύχθονα] λιπαράν, τὴν εἰς βάθος δεχομένην τὰ σπέρματα.

Th 306k A 2 θ TΞa αἶαν] γῆν.

Th 306l CHaTVYa Δίρκη πηγὴ ἐν Θήβαις ἐξ ἧς ποταμοὶ δύο ῥέουσι, Ἰσμηνὸς καὶ Διρκαῖος ἔχων τὸ ὄνομα ἀπὸ τῆς πηγῆς.

Th 307a CNdP 2 PdSjXaYa ἄλλως· Δίρκη κρήνη Θηβῶν πλησίον τοῦ Ἰσμηνοῦ ἀπό τινος Δίρκης ὀνομασθεῖσα· οἱ γὰρ περὶ Ζῆθον καὶ Ἀμφίονα ἐκτεθέντες ὑπὸ τῆς μητρὸς Ἀντιόπης καὶ τραφέντες—ἐν γὰρ 〈τοῖσ〉 βουκόλοις Δίρκης ἐβουκόλουν αὐτῇ—, ὕστερον δὲ 〈παρέδωκεν〉 αὐτοῖς τὴν Ἀντιόπην ἐπὶ τῷ διὰ ταύρων σπάσαι· οἱ δὲ γνόντες αὐτὴν μητέρα αὐτῶν αὐτῆς μὲν ἐφείσαντο, τὴν δὲ Δίρκην ἐπὶ τῶν ταύρων διέσπασαν. [5]

Th 307b NcYa ὕδωρ τε Διρκαῖον] ἀφέντες.

Th 307c AbCHaPXc ὕδωρ τε Διρκαῖον] τὸ τῆς Δίρκης.

Th 307d AbCHaV ὕδωρ τε Διρκαῖον] τὸ τῆς Δίρκης ἄριστον ὕδωρ.

Th 307e T εὐτραφέστατον] ποτιμώτατον.

Th 308a A 2 CHHaPPdTYaΞa εἰς δ′ διαιρεῖται τὸ ὕδωρ· εἰς πότιμον, ἐλαφρόν, [με]λιηδὲς καὶ ἥμερον.

Th 308b W καὶ τοῦ ὕδατος τρεῖς· τὸ εἶναι πότιμον, ἐλαφρὸν καὶ ἥμερον.

Th 308c X εὐτραφέστατον] γλυκύτατον.

Th 308d CV εὐτραφέστατον] ἡδύτατον.

Th 308e HaNa ἡμέτερον· + ὅτι εὐτρεφὲς μέν ἐστι τὸ εὖ τρέφον καὶ δυνάμενον τοὺς τρεφομένους πιαίνειν καὶ εὐτραφεῖς δεικνύειν, εὐτραφὲς δὲ τὸ εὖ τεθραμμένον καὶ πιότατον.

Th 308f εὐτραφῆ γάρ φασι ζῷα τὰ περιττὰ ταῖς σαρξὶ καὶ πιότατα. T πομάτων] τῶν ὑδάτων.

Th 308g TVXc ὅσων ἵησι Ποσειδά ν· τὸν Ποσειδῶνα λέγει ἐκπέμπειν τοὺς ποταμοὺς ὅτι τῆς ὑγρᾶς οὐσίας δεσπότης οὗτός ἐστιν, ἢ ὅτι ἐκ τῆς θαλάσσης οἱ ὄμβροι ἀναδίδονται εἶθ’ οὕτως ῥήγνυνται· ἐκ δὲ τούτων οἱ χείμαρροι γίνονται.

Th 309a CNcNdP 2 PdVWXaYYa ἵησι] πέμπει.

Th 309b A 2 CHaNaV ἵησι] ἀφίησι.

Th 309c HaNa ἵησι] ἐκπέμπει.

Th 309d θTYaΞa σπογγοειδοῦς γὰρ οὔσης τῆς γῆς, ἐκ τῆς θαλάττης εἰς τοὺς πόρους αὐτῆς εἰσιὸν ὕδωρ, εἰ μὲν στενοί τινες τύχοιεν ὄντες οἱ πόροι, ὥσπερ διηθίζεται τοῦτο καὶ γλυκὺ ἐκ τῆς γῆς ἀναρρήγνυται· εἰ δ’ αὖ εὐρεῖς, ἁλμυρόν, πλὴν ὅσον οὐχ οἷον ἦν ἐξ ἀρχῆς, ἀλλὰ πολὺ τῆς ἀρχαίας ποιότητος παραλλάττον, ὥστε καὶ οἱ εἰσβάλλοντες εἰς αὐτὴν ποταμοὶ ἐξ ὧν ἔφαμεν πόρων πάλιν εἰς αὐτοὺς ἀποκαθίστανται.

Th 309e A 2 θTΞa Ποσειδῶν ὁ γαιήοχ ( ο ς)· ἢ ὅτι τῆς ὑγρᾶς οὐσίας δεσπότης Ποσειδῶν, ἢ ὅτι ἐκ τῆς θαλάσσης οἱ ὄμβροι ἀφ’ ὧν οἱ χείμαρροι.

Th 310a I 1 M ὁ γαιάοχος] ὁ ἐπὶ τῆς γῆς ὀχούμενος ἢ ὁ τὴν γῆν ἔχων.

Th 310b BHPPdYa ὁ γαιάοχος] ὁ συνέχων τὴν γῆν.

Th 310c CXc ὁ γαιάοχος] ὁ τὴν γῆν ἔχων.

Th 310d NaT Τηθύος δὲ παῖδες· πάλιν τοὺς ποταμοὺς ὀνομάζει· μυθεύεται γὰρ ὅτι ὁ Οὐρανὸς συμμιγεὶς τῇ Γῇ ἀπέτεκε τὸν Ὠκεανὸν καὶ τὴν Τηθὺν καὶ ἄλλους οὐκ ὀλίγους παῖδας τε καὶ θυγατέρας.

Th 311a ὁ δὲ Ὠκεανὸς μιγεὶς τῇ Τηθύι τῇ αὐτοῦ ἀδελφῇ ἐγέννησε τοὺς ποταμοὺς καὶ τὰς πηγὰς τὰς οὔσας ἐν τῷ κόσμῳ, καὶ οὕτως λέγονται οἱ ποταμοὶ παῖδες Τηθύος. CNaNcNd P 2 PdSjVWXaXcYYa παλαιόν.

Th 311b Τηθύος παῖδές εἰσιν οἱ ποταμοί· ὁ Οὐρανὸς γὰρ μιγεὶς τῇ Γῇ ἀπέτεκε τόν τε Ὠκεανὸν καὶ τὴν Τηθὺν καὶ ἄλλους οὐκ ὀλίγους παῖδας καὶ θυγατέρας. Ὠκεανὸς δὲ μιγεὶς τῇ Τηθύι τῇ αὐτοῦ ἀδελφῇ ἐγέννησε ποταμούς τε καὶ πηγάς, καὶ οὕτω λέγονται οἱ ποταμοὶ παῖδες Τηθύος. T φασὶ τὸν Ὠκεανὸν καὶ τὴν Τηθὺν ἐξ Οὐρανοῦ καὶ Γῆς γεγεννῆσθαι, Ὠκεανοῦ τῇ ἑαυτοῦ ἀδελφῇ Τηθύι συγγενομένου πηγάς τε καὶ ποταμοὺς προελθεῖν.

Th 311c A 2 Ξa Τηθύος] τῆς γῆς.

Th 311d A 2 DHaNaOR 1 SjYbΞa παῖδες] οἱ ποταμοί.

Th 311e A 2 BDHaI 1 NaPQTVWYaΞa παῖδες] αἱ πηγαί.

Th 311f NaP πρὸς τά δ ’ ὦ πολιοῦχ ( ο ι)· ἀντὶ τοῦ διὰ ταῦτα· πρὸς ταῦτα γάρ, ὦ πολῖται θεοί, τοῖς μὲν ἔξω τοῦ τείχους Ἀχαιοῖς ἄτην ἐμποιήσατε, ὥστε αὐτοὺς τὰ ὅπλα ῥῖψαι.

Th 312a τούτου δὲ γενομένου πρὸς ὑμῶν πάνυ ἂν ὑμνοῖσθε παρὰ τῶν πολιτῶν. I 1 M πρὸς ταῦτα, ὦ πολιοῦχοι θεοί, τοῖσι μὲν ἔξω πύργων, ἤτοι τοῖς πολεμίοις, ἐμβαλόντες ἄταν καὶ βλάβην τὴν τοὺς ἄνδρας φθείρουσαν καὶ ποιοῦσαν ῥίπτειν τὰ ὅπλα, ἄροισθε κῦδος, ἤτοι ἐπάρετε καὶ ἔξετε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δόξαν, τοῖς δὲ πολίταις στάθητε εὔεδροί τε καὶ καλῶς ἡδρασμένοι, εὐστήρικτοι καὶ ἀμετάκλιτοι καὶ φύλακες τῆς πόλεως οἱονεὶ δυσωπηθέντες ταῖς ὀξυγόοις λιταῖς ἡμῶν. [5]

Th 312-320 P 2 PdSjVWYYa πρὸς τάδ'] ἃ εἶπον.

Th 312b SjYb πολιοῦχοι] οἱ συνέχοντες τὴν πόλιν.

Th 312c CHaNa πολιοῦχοι] φυλακτικοί.

Th 312d SjYb πολιοῦχοι] οἱ τῆς πόλεως φύλακες.

Th 312e T τοῖσι] τοῖς πολεμίοις.

Th 313a CHI 2 OPθTWXcYaYb τοῖσι] τοῖς ἐχθροῖς.

Th 313b BP πύργων] τῶν πολεμίων.

Th 314a HaX 2 ἀνδρολέτειραν .

Th 314b .. ἄταν] + τὴν τοὺς ἄνδρας ὀλλύουσαν δειλίαν. T ἀνδρολέτειραν] τὴν φθείρουσαν τοὺς ἄνδρας.

Th 314c CPYa ἀνδρολέτειραν] φθοράν.

Th 314d HaNa ἀνδρολέτειραν] ἀνδροφόνον.

Th 314e A 2 Ξa τὰν ῥίψοπλον ἄταν] τὴν δειλίαν.

Th 315a AbBCHHaNaPPdTX 2 Y ῥίψοπλον] τὴν ποιοῦσαν ῥίπτειν τὰ ὅπλα.

Th 315b PVXc ῥίψοπλον] τὴν ῥίψαι παρασκευάζουσαν αὐτοὺς τὰ ὅπλα.

Th 315c A 2 θTΞa ἄταν] λέγει τὴν δειλίαν καὶ φόβον καὶ βλάβην.

Th 315d HYa ἄταν] βλάβην.

Th 315e AbCHaV ἐμβαλόντες] ἐνθέντες.

Th 315f AbHaP ἐμβαλόντες] θέντες.

Th 315g CX 2 ἄροισθε] λάβοιτε.

Th 316a A 2 AbBCHHaI 2 NaPPdR 1 θTΞa ἄροισθε] ἐπάρετε.

Th 316b PYa ἄροισθε] + ἤγουν λήψεσθε.

Th 316c T κῦδος] δόξαν.

Th 316d A 2 AbBCHaPR 1 θTYaYbΞa τοῖσδε πολίταις] ἤγουν ἡμῖν.

Th 317a T ῥυτῆρες] φύλακες.

Th 317b A 2 AbBCDHHaI 2 M 2 NaNcθTVXcYYb ῥυτῆρες] ῥῦσται, φύλακες.

Th 317c PPdYa ῥυτῆρες] σωτῆρες.

Th 317d VXc εὔεδροί τ ε· εὔεδροι στάθητε· συναπτέον τῷ ποῖον ἀμείψεσθε γαίας πέδο ν.

Th 319a M εὔεδροι] ἰσχυροί.

Th 319b BHR 1 εὔεδροι] εὐστήρικτοι.

Th 319c VXcYYa εὔεδροι] σταθεροί.

Th 319d PPdQ εὔεδροι] καλῶς ἡδρασμένοι.

Th 319e I 2 P εὔεδροι] στερροί.

Th 319f HaNa εὔεδροι] εὐκάθεδροι.

Th 319g θT εὔεδροι] εὐκάθεδροι, ἤτοι καλῶς ἱδρυμένοι.

Th 319h A 2 Ξa προστάθητε] + ἤτοι πρόστητε καὶ βοηθοὶ γίνεσθε.

Th 319i T ὀξυγόοις λιτ ( αῖσι ν)· διὰ τὰς ὀξυθρηνήτους λιτὰς ἡμῶν.

Th 320a MY ὀξυγόοις λιταῖσιν] δυσωπούμενοι ἐν μεγαλοθρήνοις παρακλήσεσιν ἡμῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 320b BDHYa ὀξυγόοις λιταῖσιν] + ἤγουν διὰ τὰς ὀξὺν θρῆνον ἐχούσας λιτὰς ἡμῶν.

Th 320c T ὀξυγόοις λιταῖσιν] ἤγουν ἕνεκα τῶν ἱκεσιῶν ἡμῶν τῶν ὀξυγόων.

Th 320d A 2 Ξa ὀξυγόοις] δυσωπούμενοι.

Th 320e DHaNcXc ὀξυγόοις] ταῖς γινομέναις ἀπὸ γόων ὀξέων.

Th 320f AbHa λιταῖσιν] παρακλήσεσιν.

Th 320g AbBHaV λιταῖσιν] ἡμῶν.

Th 320h θXc στροφὴ ἑτέρα κώλων ιβʹ.

Th 321-332a T ἡμέτερον· + οἰκτρὸν γὰρ πόλι ν· τῆς βʹ ταύτης στροφῆς τὰ κῶλα ἐστὶ ιβʹ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα.

Th 321-332b τὸ αʹ καὶ βʹ ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα. τὸ γʹ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου καὶ διιάμβου· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἐκ διτροχαίου καὶ διιάμβου σύγκειται διὰ τὴν ἀδιάφορον. τὸ δʹ ἰωνικὸν δίμετρον ὑπερκατάληκτον ἀπὸ μείζονος ἐκ παίωνος δευτέρου, ἰωνικοῦ ἀπὸ μείζονος καὶ συλλαβῆς. τὸ εʹ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ βακχείου. τὸ ϛʹ ὅμοιον τρίμετρον βραχυκατάληκτον ἐκ χοριάμβου, διτροχαίου καὶ σπονδείου. τὸ ζʹ ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος τετάρτου ἀντὶ ἰωνικοῦ, διιάμβου καὶ συλλαβῆς. τοιοῦτο εἶναι χρὴ καὶ τὸ τῆς ἀντιστροφῆς· διὸ καὶ τὸ τρίτον ἒ ὑφ' ἡμῶν προσετέθη. τὸ αὐτὸ δ' ἂν εἴη καὶ τροχαϊκὸν δίμετρον ἀκατάληκτον τοῦ πρώτου ποδὸς χορείου. τὸ ηʹ ὅμοιον τῷ γʹ. τὸ θʹ χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ ἰάμβου· ἔχει δὲ συνίζησιν τὸ τῆς στροφῆς κῶλον κατὰ τὸν ἴαμβον. τὸ ιʹ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ιαʹ ὅμοιον τῷ αʹ ἀναπαιστικόν. τὸ ιβʹ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου πρώτου, διιάμβου καὶ συλλαβῆς. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. T ἀναπαιστικὰ δίμετρα τὰ γʹ. [15]

Th 321-323 F pc οἰκτρὸν] ἐλεεινόν.

Th 321a AbCPdYa οἰκτρὸν] ἄθλιον.

Th 321b NaP οἰκτρὸν] κακόν.

Th 321c BHYa οἰκτρὸν] ἐλέους ἄξιον.

Th 321d HaTX 2 πόλιν] τὴν ἡμετέραν.

Th 321e T ὠγυγίαν] ἀρχαίαν ἢ τὴν μεγάλην ἀπὸ Ὠγύγου τινὸς βασιλεύσαντος ἐκεῖσε.

Th 321f BDHWYa ὠγυγίαν] ἀρχαίαν.

Th 321g HaI 2 NaNcOPPdR 1 θTXXcY ὠγυγίαν] τὴν παλαιάν.

Th 321h AbCV ὠγυγίαν] ἀρχαίαν καὶ παλαιὰν οὖσαν.

Th 321i A 2 Ξa Ἀίδᾳ] τῷ θανάτῳ.

Th 322a PPdR 1 Ἀίδᾳ] ἀφανισμῷ.

Th 322b NaP προιάψαι] πέμψαι.

Th 322c AbCHaNaQYΞa προιάψαι] ἐλθεῖν.

Th 322d DXcYa προιάψαι] προπέμψαι.

Th 322e BV προιάψαι] πρὸ τοῦ καιροῦ πέμψαι.

Th 322f HNcR 1 προιάψαι] πέμψαι, δοῦναι.

Th 322g DPPdYa προιάψαι] δοῦναι.

Th 322h I 2 θT προιάψαι] παραπέμψαι.

Th 322i

Eulogikon public reading copy · View original HTML at eulogikon.org

A 2 δορὸς ἄγραν] διὰ δόρατος ἀγρευθεῖσαν.

Th 322j MPPd δορὸς] πολέμου.

Th 322k HT ἄγραν] αἰχμάλωτον.

Th 322l AbV δουλείαν δουλικὴν ὥσπερ καὶ δεσποτεία χεὶρ ὁ δεσπότης παρὰ Λυκόφρονι (1183).

Th 323a I 1 δουλείαν] δουλεύουσαν.

Th 323b BPPdYa δουλείαν] ὑποχειρίαν γενομένην.

Th 323c PPdYa δουλείαν] δουλικήν.

Th 323d CXc δουλείαν] δούλην.

Th 323e DNaY ψαφαρᾷ σποδῷ] λεπτῇ κόνει.

Th 323f PPd ψαφαρᾷ σποδῷ] γῇ, ἤτοι τῷ Ἄργει· λεπτόγειον γὰρ τοῦτο, διὸ καὶ διψηρόν.

Th 323g θT διὰ τὸ λεπτόγειον καὶ Ἀζανὴς ἐκαλεῖτο διὰ τὴν ἄζην ὅ ἐστι τὴν ξηρασίαν· καὶ ἔθνος οἱ Ἀζᾶνες αὐτόθι καὶ πάλιν ἐν Ἀρκαδίᾳ μέχρι καὶ νῦν οὕτω καλούμενοι.

Th 323h καὶ Ἀπίαν δέ φασι τὴν χώραν κληθῆναι καὶ Ἀπιδανεῖς τοὺς ἐγχωρίους κατὰ στέρησιν τοῦ πιεῖν καὶ τῶν τέως πιδάκων, ἐπεὶ οὐκ εἶχεν ἡ χώρα πίδακας τὴν ἀρχήν, ὡς δύνασθαι διὰ τοῦτο καὶ πολυδίψιος λέγεσθαι· ἔμελλε δὲ γενέσθαι εὔυδρος (Call. Iou. 20). Ξa ψαφαρᾷ] λεπτότητι εἰς χοῦν λεπτυνθείσῃ ἢ ξηρᾷ καὶ ψαμμώδει. [5]

Th 323i Ya ψαφαρᾷ] εἰς χοῦν λεπτυνθείσῃ ἢ ξηρανθείσῃ, ψαμμώδει· τὸ ψαφαρᾷ ἀπὸ τοῦ ψῶ τὸ λεπτύνω καὶ τοῦ ἁφὴ ἡ χεὶρ ὡς μὴ δυναμένη κρατηθῆναι.

Th 323j D ψαφαρᾷ] ἀσθενεῖ, ἐλαφρᾷ.

Th 323k M ψαφαρᾷ] λεπτῇ.

Th 323l BCHHaNaNcOPR 1 θTVXcY ψαφαρᾷ] ἀσθενεῖ.

Th 323m HP ψαφαρᾷ] λεπτοτάτῃ.

Th 323n AbD ψαφαρᾷ] λεπτῇ, ἤγουν τῷ Ἄργει.

Th 323o A 2 SjYbΞa σποδῷ] σποδιᾷ.

Th 323p HaV ὑπ᾽ ἀνδρὸς Ἀχαιοῦ] ὑπὸ τοῦ Ἀδράστου τοῦ βασιλέως τῶν Ἀργείων ἢ ἀντὶ τοῦ ὑπὸ τοῦ στρατεύματος τῶν Ἀχαιῶν.

Th 324a DHPPdYa ὑπ᾽ ἀνδρὸς Ἀχαιοῦ] τοῦ Ἀδράστου.

Th 324b A 2 AbCHaNaΞa ὑπ᾽ ἀνδρὸς Ἀχαιοῦ] ἤγουν τοῦ Πολυνείκους καὶ τοῦ Ἀδράστου.

Th 324c SjYb ὑπ᾽ ἀνδρὸς Ἀχαιοῦ] + ἤτοι τοῦ Ἀδράστου καὶ τοῦ σὺν αὐτῷ.

Th 324d T θεόθεν] ἀπὸ τοῦ θεοῦ.

Th 324e AbHaSjVYaYb θεόθεν] βουλήσει θεῶν.

Th 324f θT περθομέναν] πορθουμένην.

Th 325a BPPd περθομέναν] + πορθηθεῖσαν.

Th 325b T ἀτίμως] αἰσχρῶς.

Th 325c TYa ἀτίμως] ἀπρεπῶς.

Th 325d AbHa τὰς δὲ κεχειρωμένα ς· τὰς δὲ νέας καὶ τὰς γηραιὰς ἄγεσθαι κεχειρωμένας ἀπὸ τῶν πλοκάμων ἱππηδόν, ἤτοι δίκην ἵππων, τουτέστι μετὰ ἀνάγκης· οἱ γὰρ ἵπποι μετὰ ἀνάγκης ἕλκονται.

Th 326-328 καὶ Ὅμηρος (Ε 366)· ἄκοντε πετέσθη ν. CNcNdP 2 PdSjVWXaYYa τὰς δὲ κεχειρωμένας] οἰκτρὸν ἀπὸ κοινοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 326a OPPd τὰς δὲ κεχειρωμένας] ἤγουν ἡμᾶς.

Th 326b CHNaPXcY τὰς δὲ κεχειρωμένας] τὰς γυναῖκας.

Th 326c AbHaT κεχειρωμένας] κεκρατημένας.

Th 326d AbCHHaNaPPdR 1 θTXcYaYb κεχειρωμένας] δεδουλωμένας.

Th 326e AbHa κεχειρωμένας] δεδεσμωμένας.

Th 326f A 2 Ξa ἄγεσθαι] φέρεσθαι.

Th 326g CR 1 X 2 ἄγεσθαι] ἕλκεσθαι.

Th 326h T ἡμέτερον· + ὅτι ὅσα ἐν ταῖς ἁλώσεσιν εἴωθε συμβαίνειν, ταῦτα Αἰσχύλος ἐνταῦθα ἐξέθετο, πῶς τε τὰς γυναῖκας ἕλκουσι καὶ τὰ αὐτῶν βρέφη σφάττουσι, καὶ πῶς θροῦς ἄσημος τούτων τελουμένων γίνεται, καὶ πῶς τὰ αὐτῶν σκυλεύουσι πράγματα ἄλλοθεν ἄλλου ἑκάστου τῶν πολεμίων ἁρπάζοντος, τὰ δὲ μάτην σκορπίζοντος, καὶ πῶς τοὺς οἴκους πιμπρῶσι, καὶ τὰ ἄλλα ὅσα συμβαίνουσιν ἄτοπα. [5]

Th 326i T περὶ τῶν συμβαινόντων ἐν ταῖς ἁλώσεσιν.

Th 326j T ἓ ἕ] διέκοψεν τὸν λόγον τῷ θρήνῳ.

Th 327a M ἓ ἕ] διὰ μέσου.

Th 327b BCDPTXc παλαιὰς] γηραιάς.

Th 327c NaPV παλαιὰς] ἤγουν γραίας.

Th 327d T παλαιὰς] γυναῖκας δῆλον τὰς ἐν αὐτῇ.

Th 327e A 2 Ξa ἱππηδὸν πλοκά ( μω ν)· ἱππηδὸν ἄγεσθαι.

Th 328a M 〈ἱππηδὸν πλοκάμων〉 ] ὑπὸ ἱππέων σύρεσθαι τῶν πλοκάμων ἢ δίκην ἵππων ὅ ἐστιν μετὰ ἀνάγκης· καὶ γὰρ οἱ ἵπποι ἀνάγκῃ τινὶ ἕπονται.

Th 328b I 1 M ἱππηδὸν] ἢ ὑπὸ ἵππων σύρεσθαι τῶν πλοκάμων ἢ διὰ τὸ θρασὺ τῶν ἀγόντων καὶ μανικὸν ἢ διὰ τὸ σύντομον.

Th 328c BCDHNdPPdWXaYa ἱππηδὸν] μανικόν.

Th 328d BH ἱππηδὸν] ταχέως.

Th 328e HOR 1 Ya ἱππηδὸν] δίκην ἵππου.

Th 328f AbCDHaM 2 NaPθTVXc πλοκάμων] ἀπὸ τριχῶν.

Th 328g HYa πλοκάμων] ἀπὸ τῶν βοστρύχων.

Th 328h AbHa πέρι] περισσῶς.

Th 328i HNc ῥηγνυμένων] διασχιζομένων.

Th 328j HX 2 Ya ῥηγνυμένων] σχιζομένων.

Th 328k A 2 PTΞa ῥηγνυμένων] περισχιζομένων.

Th 328l HaNa ῥηγνυμένων] ἐσχισμένων.

Th 328m θ ἐκπιπτόντων καὶ σχιζομένων τῶν φαρέων καὶ σκεπασμάτων τῶν πλοκάμων, ἤγουν τῆς κεφαλῆς.

Th 328n Ξa φαρέων] ἱματίων.

Th 329a AbCHHaNaNcθXcYaYb φαρέων] ἢ ἀπὸ τοῦ φαρῶ ἢ τὸ ἀροῦν καὶ ἁρμόζον τῇ ὑφῇ ἢ τὸ φερόμενον ὡς οἷα λεπτὸν τῷ ἀέρι, ὃ καὶ κρεῖττον· λέγεται καὶ παρὰ τοῖς ῥήτορσι καὶ φέριστρον.

Th 329b W φαρέων] συνίζησις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 329c T φαρέων] + τῶν ἐν ταῖς κεφαλαῖς σκεπασμάτων.

Th 329d T βοᾷ δ ’ ἐκκενουμένα πόλι ς· θρηνεῖ δὲ ἡ πόλις ἐκκενουμένη τῆς λαΐδος, ἤτοι τῆς λείας, τουτέστι τῶν πολιτῶν, ὀλλυμένης καὶ φθειρομένης, τῆς μιξοθρόου, ἤτοι τῆς θροῦν καὶ βοὴν ποιουμένης ἀνάμικτον· γυναῖκες γὰρ καὶ παῖδες ἀκμάζοντες καὶ ἀρτιγενῆ βρέφη καὶ ἄνδρες καὶ γέροντες ἐποιοῦντο τὸν θρῆνον σύμμικτον. [5]

Th 330-331 BCHNcNdP 2 Pd SjVWXaYYaYb βοᾷ] θρηνεῖ.

Th 330a BPV βοᾷ] στένει.

Th 330b DHPPdYa βοᾷ] βοήσει.

Th 330c BY βοᾷ] ἠχεῖ.

Th 330d AbHaNa βοᾷ] ἐν τῇ ἁλώσει.

Th 330e T ἐκκενουμένα] ἀφανιζομένη.

Th 330f PPdY ἐκκενουμένα] πορθουμένη.

Th 330g NcPXc ἐκκενουμένα] ἐλαφρουμένη.

Th 330h SjYb ἐκκενουμένα] ἐξαντλουμένη, τουτέστιν πορθουμένη.

Th 330i A 2 Ξa πόλις] τῆς πληθύος τοῦ λαοῦ.

Th 330j AbBDHHaPPdR 1 Ya λαΐδος ὀλλυμένας] ἤτοι τῆς λείας.

Th 331a BHM 2 NcPV λαΐδος ὀλλυμένας] τῶν πολιτῶν.

Th 331b BHNc λαΐδος] τῆς λαφυραγωγίας.

Th 331c A 2 CYΞa λαΐδος] λαοῦ λαφυραγωγίας.

Th 331d PθT ὀλλυμένας] πορθουμένας.

Th 331e M ὀλλυμένας] φθειρομένας.

Th 331f HaV μιξοθρόου] καὶ ἀναμεμιγμένης Ἑλλήνων καὶ βαρβάρων καὶ διαφόρων οἰκούντων τὰς Θήβας, ἢ γυναικῶν ἀνδρῶν καὶ βρεφῶν.

Th 331g DHWYa ἢ μιξοθρόου λέγει διὰ τὴν ἀναμιγὴν τοῦ λαοῦ τοῦ τε βαρβαρικοῦ, ἤτοι τοὺς περὶ τὸν Ἄδραστον καὶ τοὺς τοῦ κάστρου ἢ διὰ τὸ βαρβάρων καὶ Ἑλλήνων οἰκούντων τὰς Θήβας.

Th 331h CNdXa 2 μιξοθρόου] διὰ τὸ εἶναι ἐκεῖσε πολλαὶ γλῶσσαι διὰ τοῦτο εἶπε τὸ μιξόθροον, ἢ διὰ τὸ εἶναι καὶ νέων φωναὶ καὶ γερόντων.

Th 331i X μιξοθρόου] ἤτοι τῆς θροῦν καὶ βοὴν ποιουμένης.

Th 331j BHNcV μιξοθρόου] τῆς μεμιγμένον θροῦν ἀποτελούσης ἅτε ἐξ ἀνδρῶν καὶ γυναικῶν καὶ γερόντων καὶ παίδων οὔσης.

Th 331k θTΞa βαρείας] τὰς μεγάλας.

Th 332a AbHa βαρείας] τὰς μελλούσας δηλονότι.

Th 332b θT τύχας] δυστυχίας.

Th 332c AbHHa προταρβῶ] φοβοῦμαι.

Th 332d AbCHHaX 2 Ya προταρβῶ] τὸ πρὸ παρέλκον.

Th 332e HYa προταρβῶ] πρὸ τοῦ γενέσθαι φοβοῦμαι, θT ἀντιστροφὴ κώλων ιβʹ.

Th 333-344 T κλαυτὸν δ ’ ἀρτιτρόπ ( οι ς)· εἰ μὲν διὰ τοῦ τ ἀρτιτρόποις, ταῖς νεωστὶ τραπείσαις 〈ἀπὸ〉 τῆς παιδικῆς ἡλικίας καὶ ἡβησάσαις.

Th 333-335a εἰ δὲ διὰ τοῦ δ ἀρτιδρόποις, ταῖς ἄρτι δρεπομέναις. ταῖς δὲ παρὰ τὴν ἀκμήν, φησί, διακορευομέναις ἔσται κλαυθμός· ἤ· ταῖς δὲ διαμειβούσαις τὴν τῆς αἰχμαλωσίας ὁδὸν ἔσται

δάκρυα. M ταῖς νεωστὶ τραπείσαις 〈ἀπὸ〉 τῆς παιδικῆς ἡλικίας καὶ ἡβησάσαις, ἢ ταῖς ἄρτι δρεπομέναις, ταῖς παρὰ τὴν ἀκμὴν διακορευομέναις.

Th 333-335b λέγει δὲ ὅτι κλαυθμοῦ ἄξιον ταῖς νέαις διαμεῖψαι ὁδὸν αἰχμαλωσίας καὶ δωμάτων ὠμοδρόπων, ἤγουν ἐν οἷς ὠμῶς δρεφθήσονται, ἤτοι παρὰ καιρὸν καὶ οὐκ ἐν ὥρᾳ πρὸ τῶν νομίμων γάμων. τὸ δὲ ἁπλούστατον οὕτως· κλαυτὸν ταῖς παρθένοις ἀλλάξαι τοὺς οἴκους νόμῳ πολέμου. τοῦτο γὰρ δηλοῖ τὸ ὠμοδρόπων νομίμων προπάροιθε ν· πόλεμος γὰρ οὐκ ἀναμένει πέπονας γενέσθαι, ἀλλ' ἅμα πάντα δρέπεται. I 1 κλαυτὸν δ ' ἀρτιτρόποι ς· κλαυτὸν δὲ καὶ θρήνου ἄξιον ἔσεται ταῖς ἀρτιτρόποις, ταῖς ἄρτι ἀπὸ τῆς παιδικῆς ἡλικίας ἐπὶ τελεωτέραν τραπείσαις, ἀπὸ τῶν ἑαυτῶν δωμάτων διαμεῖψαι καὶ ὁδεῦσαι ὁδὸν στυγερὰν καὶ μίσους ἀξίαν, ἤτοι διακορηθῆναι καὶ διαπαρθενευθῆναι παρὰ τῶν ἐχθρῶν τῶν ὠμοδρόπων, προπάροιθε νομίμων, ἤτοι τοῦ νενομισμένου καιροῦ, ταύτας ἀνδράσι συμμίγνυσθαι, ἢ τῶν ὠμοδρόπων τῶν ὠμῶν καὶ ἔξω τοῦ καιροῦ δρεπομένων καὶ τρυγωμένων· τὰ γὰρ ἔξω τοῦ καιροῦ δρεπόμενα καὶ μήπω πεπανθῆναι τῷ χρόνῳ φθάσαντα πάντως ἀγλευκῆ τυγχάνουσι καὶ πικρίας πολλῆς ἀνάμεστα.

Th 333-335c BCDHNcNdP 2 PdSjVW XaXcYYaYb κλαυτὸν δ ' ἀρτιτρόποις ὠμοδρόπω ν· ἄξιον μεγάλου κλαυθμοῦ ταῖς κόραις ταῖς ἄρτι δρεπομέναις τὴν παρθενίαν πρὸ τοῦ ἐλθεῖν εἰς ὥραν γάμου αἰχμαλωτισθῆναι καὶ δούλαις εἰς ξένην χώραν ἀπελθεῖν.

Th 333-335d CNcNdVWXaYa [κλαυτὸν] δὲ καὶ ἄξιον κλαῦσαι ταῖς ἀρτιτρόποις, ἤτοι ταῖς τρεπομέναις κόραις ἀπὸ τῆς νεανικῆς ἡλικίας εἰς τὴν ἥβην, {ταῖς} προπάροιθε τῶν νομίμων 〈γάμων〉 διαμεῖψαι καὶ διελθεῖν στυγερὰν ὁδὸν δωμάτων ὠμοδρόπων καὶ ὠμῶς δρεψάντων [.

Th 333-335e ......] [ἔσ]τι συνήθεια κατὰ 〈........〉 ταῖς κόραις ταῖς μελλούσαις ἐλθεῖν εἰς γάμον κ[...]ίον πρὸ τοῦ συζευχθῆναι ἀπήρχοντο πρὸς τὰς ἐσχάρας [........] μετὰ λαμπάδων καὶ λαοῦ πολλοῦ καὶ ἐλούοντο, εἶτα ὑπέστρεφον καὶ συνήρχοντο ἀνδράσιν. Xa 2 τὸ παρθένους ἀτίμως ἐκ τῶν δωμάτων ἑλκομένας διαμεῖψαι στυγερὰν ὁδόν, ἤτοι ἐφθάρθαι, πρὸ τοῦ νενομισμένου χρόνου—ὅπερ ἐστὶ ὠμόδροπον—ἐπειδὴ παρὰ τάξιν γέγονε, ἄξιόν ἐστι θρήνου· ἢ τὸ διαμεῖψαι στυγερὰν ὁδὸν ἀντὶ τοῦ ἀτίμως δημοσίᾳ ἕλκεσθαι, ὅπερ ἐστὶ λυπηρὸν ταῖς οἰκουρούσαις καὶ παρθενευούσαις γυναιξί.

Th 333-335f δέον δὲ εἰπεῖν ὠμοδρόπως, ὠμοδρόπων εἶπε πρὸς τὸ νομίμων. θ τοῦτο οὕτω συντακτέον· κλαυτὸν δὲ καὶ ἄξιον θρήνου ὑπάρχει ταῖς ἀρτιτρόποις, ἤτοι ταῖς νέαις ταῖς ἄρτι τραπομέναις ἀπὸ τῆς παιδικῆς ἡλικίας πρὸς τὴν τελεωτέραν, διαμεῖψαι καὶ διελθεῖν ἀπὸ τῶν δωμάτων, ἤτοι ἐπειδὰν ἀφελκυσθῶσι τῶν δωμάτων ὑπὸ τῶν πολεμίων καὶ δοῦλαι γένωνται, στυγερὰν ὁδόν, ἤτοι διεφθάρθαι, προπάροιθεν καὶ πρόσθεν τῶν νενομισμένων γάμων ὠμοδρόπων, ἤγουν ὅπερ ἐστὶ ὠμόδροπον, ἐπειδὴ παρὰ τάξιν γέγονε· ἢ τὸ διαμεῖψαι στυγερὰν ὁδὸν ἀντὶ τοῦ ἀτίμως δημοσίᾳ ἕλκεσθαι, ὅπερ ἐστὶ λυπηρὸν ταῖς οἰκουρούσαις καὶ παρθενευούσαις γυναιξί.

Th 333-335g δέον δὲ εἰπεῖν ὠμοδρόπως, ὠμοδρόπων εἶπε πρὸς τὸ νομίμων ἐκ μεταφορᾶς τῶν καρπῶν τῶν ἀώρως καὶ πρὸ τοῦ πρέποντος καιροῦ δρεπομένων. T τοῦτο οὕτω συντακτέον· κλαυτὸν καὶ ἄξιον θρήνου ὑπάρχει ταῖς ἀρτιτρόποις, ἤγουν ταῖς παρθένοις, ἐπειδὰν ἀφελκυσθῶσι τῶν δωμάτων ὑπὸ τῶν πολεμίων καὶ δοῦλαι γένωνται, τὸ διαμεῖψαι καὶ διελθεῖν ἀπὸ τῶν δωμάτων στυγερὰν ὁδόν, ἤτοι διαφθαρῆναι, προπάροιθε καὶ πρότερον τῶν νομίμων γάμων δῆλον ὠμοδρόπων· ὠμοδρόπως δὲ εἰπεῖν ἔδει· πρὸς δὲ τὴν προκειμένην γενικὴν ἐπήγαγε τοῦτο.

Th 333-335h ἐκ μεταφορᾶς δὲ τῶν πρὸ καιροῦ δρεπομένων καρπῶν εἴρηκε τοῦτο. A 2 AbΞa ἀναπαιστικὰ τὰ β′ δίμετρα.

Th 333-334 F pc κλαυτὸν] θρήνου ἄξιον ἔσεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 333a BHHaNc κλαυτὸν] θρηνητικόν.

Th 333b DWYa κλαυτὸν] ἄξιον ὑπάρχει θρηνεῖν.

Th 333c CXc κλαυτὸν] ἄξιον κλαυμάτων ἤγουν ἄξιον θρήνου.

Th 333d AbHa κλαυτὸν] ἄξιον θρήνου.

Th 333e A 2 θTVXYΞa γρ.

Th 333f καὶ ἀρτιδρόποις, ἤγουν ταῖς κόραις ταῖς ἄρτι δρεπομέναις τὴν παρθενίαν πρὸ τοῦ ἐλθεῖν εἰς ὥραν γάμου. P 2a ἀρτιτρόποις] γυναιξί.

Th 333g BCDHHaNcR 1 WXXcYaYb ἀρτιτρόποις] παρθένοις.

Th 333h CPXc ἀρτιτρόποις] διότι ἡ κόρη ὅταν γένηται ὀκτὼ ἢ δέκα χρόνων νέους τρόπους ἐπιτηδεύεται.

Th 333i B ἀρτιτρόποις] ταῖς ἄρτι τὴν παιδικὴν ἡλικίαν παραδραμούσαις.

Th 333j Ab HaNa ἀρτιτρόποις] ταῖς νέαις ταῖς ἄρτι τρεπομέναις ἀπὸ τῆς παιδικῆς ἡλικίας πρὸς τὴν τελειοτέραν.

Th 333k θΞa ἀρτιτρόποις] ταῖς νέαις.

Th 333l T ἀρτιτρόποις] ταῖς γυναιξίν, ταῖς παρθένοις.

Th 333m A 2 Ξa ὠμοδρόπω ν· ὑπὸ τῶν ὠμῶς αὐτῶν δρεπομένων τὴν ἥβην πρὸ τῶν νομίμων γάμων.

Th 333n M ἤτοι ὠμὰ τὰ νόμιμα τῆς συνουσίας [.

Th 333o ..................] I 1 ὠμοδρόπων τῶν ὠμῶς δρεπομένων ἢ τῶν ὠμὴν καὶ ἄωρον δρεπομένων τὴν παρθενίαν.

Th 333p CNcNdP 2 VWXa ὠμοδρόπων] ὑπὸ τῶν ὠμῶς αὐτῶν δρεπομένων τὴν παρθενίαν.

Th 333q PPd ὠμοδρόπων] τῶν ὠμῶς δρεπομένων.

Th 333r HaR 1 VXcYa ὠμοδρόπων] ἀνδρῶν.

Th 333s BXXc ὠμοδρόπων] ἀώρων.

Th 333t DLhTW ὠμοδρόπων] ἀώρων, ἔξω τοῦ πρέποντος καιροῦ δρεπομένων.

Th 333u FLc LhNa νομίμων προπάροιθεν] πρὸ τοῦ νενομισμένου καιροῦ.

Th 334a DHYa νομίμων προπάροιθεν] πρὸ τῶν νομίμων γάμων.

Th 334b PPd νομίμων] ἤγουν τῶν γάμων.

Th 334c A 2 DFdNaT νομίμων] τῶν νενομισμένων.

Th 334d AbHa προπάροιθεν] ἔμπροσθεν.

Th 334e AbBCHHaYa προπάροιθεν] πρότερον.

Th 334f T διαμεῖψαι] διαδέξασθαι τὴν στέρησιν τῶν οἰκημάτων.

Th 334g M διαμεῖψαι] διελθεῖν.

Th 334h AbBCHHaNcPR 1 YaYb διαμεῖψαι] ὁδεῦσαι.

Th 334i NaPθTV δωμάτων] ἀπὸ τῶν οἰκείων οἴκων.

Th 335a BDHPPdVWYa δωμάτων] ἀπὸ τῶν ἑαυτῶν.

Th 335b BP δωμάτων] ἀπὸ τῶν οἴκων αὐτῶν.

Th 335c T στυγερὰν] μισητήν.

Th 335d CI 2 Ya στυγερὰν] ὀδυνηράν.

Th 335e PV στυγερὰν] ἄτιμον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 335f A 2 θTΞa τί τὸν φθίμε ( νο ν)· τί γὰρ δεῖ πολλὰ λέγειν; ὁ προτεθνηκὼς εὐτυχῶς πράσσει πλέον τοῦ ζῶντος.

Th 336a οἱ τελευτήσαντες, φησί, καὶ μὴ τοιαύτης πειραθέντες συμφορᾶς ἄμεινον ἡμῶν πράττουσιν. M τὸ ἑξῆς οὕτως· τί γὰρ δεῖ πολλὰ λέγειν; ὁ προτελευτήσας εὐτυχῶς πράσσει πλέον τοῦ ζῶντος· ἢ οἱ προαποθανόντες καὶ μὴ τοιαύτης πειραθέντες συμφορᾶς ἄμεινον ἡμῶν πράττουσι.

Th 336b I 1 τί τὸν φθίμενο ν· τί γὰρ δεῖ πολλὰ λέγειν; τὸν προτεθνηκότα βέλτερα καὶ κρείττω πράσσειν τοῦ ζῶντος λέγω, ἤγουν οἱ τελευτήσαντες καὶ μὴ τοιαύτης πειραθέντες συμφορᾶς ἄμεινον πράττουσιν ἢ οἱ ζῶντες καὶ πορθηθέντες.

Th 336c P 2 PdSj ἄλλως· τί μακρολογῶ; τὸν γὰρ φθίμενον καὶ τὸν προτεθνηκότα προλέγω πράσσειν καὶ πάσχειν βέλτερα καὶ κρείττονα τούτων ὧν εἶπον.

Th 336d P 2 PdSj 〈τί〉 προλέγω; βέλτερα γὰρ πράσσειν 〈προλέγω〉 τὸν φθίμενον τῶνδε.

Th 336e X τί] τί δεῖ με λέγειν πολλά; BDHOXcYa τί] τί δεῖ μακρολογεῖν; PPd τί] λέγω.

Th 336h PdHa τί] τοιαῦτα λέγω.

Th 336i θ τί] ταῦτα λέγω δῆλον.

Th 336j A 2 Ξa φθίμενον] τὸν νεκρόν, τὸν φθαρέντα.

Th 336k BDHTYa φθίμενον] θανόντα.

Th 336l PXc φθίμενον] ἀποθανόντα.

Th 336m AbC φθίμενον] νεκρόν.

Th 336n A 2 HaNaθVΞa προλέγω] + ἀντὶ τοῦ λέγω.

Th 336o T προλέγω] ἡ προ περισσή.

Th 336p M 2 Ξa βέλτερα] κρείττονα.

Th 337a A 2 AbBDFdHHaI 2 R 1 VYaΞa βέλτερα] καλλίω.

Th 337b θT τῶνδε] τῶν ζώντων.

Th 337c BCDHOR 1 X 2 XcYa τῶνδε] τῶν ζώντων ἢ ὧν εἶπον.

Th 337d PPd τῶνδε] τῶν ἐν ταῖς πολιορκίαις.

Th 337e θT πράσσειν] εὐτυχεῖν.

Th 337f BDHYa ἔκφρασις ἁλούσης πόλεως.

Th 338a I 1 πολλὰ γὰρ κακὰ μέλλομεν παθεῖν.

Th 338b ἐνταῦθα ἅλωσιν πόλεως ζωγραφεῖ ὁ Αἰσχύλος. HWYa πολλὰ] κακὰ μέλλομεν παθεῖν.

Th 338c HNcYa πόλις ἄστεος διαφέρει· πόλις μὲν ὁ τόπος καὶ οἱ κατοικοῦντες καὶ τὸ συναμφότερον, ἄστυ δὲ μόνος ὁ τόπος.

Th 338d ἢ καὶ ἄλλως· προεγράφη. Ya δαμασθῇ] κρατηθῇ.

Th 338e DHXcYa δαμασθῇ] ἀφανισθῇ.

Th 338f AbHa δαμασθῇ] πορθηθῇ.

Th 338g θT δυστυχῆ] ἐπίρρημα.

Th 339a I 1 δυστυχῆ] ἄθλια, ἐλεεινά.

Th 339b BHPPdRbWYa πράσσει] πάσχει.

Th 339c NaPPdθT πράσσειν] ἀντὶ τοῦ πράττειν.

Th 339d Ξa ἄλλος] ὁ πολέμιος.

Th 340a

CXc ἄλλος] τῶν πολεμίων δῆλον.

Th 340b A 2 TΞa ἄλλον] τὸν πολίτην.

Th 340c CXc ἄλλον] τῶν πολιτῶν.

Th 340d T ἄλλον] τῶν τῆς πόλεως.

Th 340e A 2 Ξa ἄγει] φέρει.

Th 340f AbHaNaYa ἄγει] ἕλκει.

Th 340g TV τὰ δὲ] τὰ τῆς πόλεως.

Th 341a BCHNaNcPdXc τὰ δὲ] ἄλλα δὲ τῆς πόλεως οἷον οἴκους.

Th 341b θ τὰ δὲ] + ἤγουν ἄλλα τῆς πόλεως μέρη.

Th 341c T πυρφορεῖ] καυθήσεται.

Th 341d BHNc πυρφορεῖ] πυρὶ καίεται.

Th 341e AbHaM 2 PPdYa πυρφορεῖ] καίει.

Th 341f A 2 CNaPPdXc πυρφορεῖ] ἀνάπτεται.

Th 341g AbHaYa πυρφορεῖ] καίει ἢ πῦρ φέρουσι.

Th 341h θ πυρφορεῖ] + πῦρ φέρει ἤγουν καίεται πυρὸς ἐμβληθέντος αὐτοῖς.

Th 341i T χαλεπώτερος γὰρ ὁ καπνὸς ἐν ταῖς πορθήσεσιν.

Th 342a M χαλεπώτερος γὰρ ὁ καπνὸς τῶν ἑλεπόλεων καὶ πετροβολισμῶν· οὕτως γὰρ πόρθησιν πολλῷ δεινοτέραν τῆς ἐκ τῶν τοιούτων πορθήσεως ὑπαινίττεται.

Th 342b VWYYa χραίνεται] μολύνεται.

Th 342c A 2 AbCFdI 2 NaYaYb χραίνεται] μιαίνεται.

Th 342d HaPdRb χραίνεται] μελαίνεται.

Th 342e θT πόλισμ’ ἅπαν] + ἤγουν ἡ πόλις ἅπασα.

Th 342f HaT πόλισμ’] ἡ πόλις.

Th 342g NaV πόλισμ’] τὰ τείχη τῆς πόλεως.

Th 342h AbHa ἀναπαιστικὰ δίμετρα β′.

Th 343-344 F pc μαινόμενος δ ’ ἐπιπνεῖ λαοδάμα ς· Λαοδάμας κύριον· νῦν δὲ ὡς ἐπίθετον Ἄρεος εἴρηται.

Th 343a P 2 Pd μαινόμενος] ἐνθουσιῶν.

Th 343b BDHYa μαινόμενος] μετὰ μανίας.

Th 343c AbHa ὥσπερ χωρὶς πνεύματος πῦρ οὐκ ἀνάπτεται, οὕτως οὐδὲ χωρὶς πολέμου σφάγια καὶ πόλεων πυρπολήσεις· ἐπιδεξίως οὖν τὸ πνεῖ ἔφη.

Th 343d I 1 ἐπιπνεῖ λαοδάμας] ἐπέρχεται ὁ τὸν λαὸν δαμάζων Ἄρης.

Th 343e BDH ἐπιπνεῖ] ἔρχεται.

Th 343f CNcOWXcYa ἐπιπνεῖ] ἐμπίπτει.

Th 343g FdPPd ἐπιπνεῖ] κινεῖται.

Th 343h AbHaNa ἐπιπνεῖ] + ἐπὶ τὴν πόλιν.

Th 343i T ἐπιπνεῖ] ἐπέρχεται.

Th 343j A 2 Ξa λαοδάμα ς· κυρίως τὸ ἐπίθετον Ἄρεως εἴρηται.

Th 343k M λαοδάμας] τὸ κύριον· ἐπίθετον Ἄρεος.

Th 343l I 1 〈λαοδάμασ〉 ] ἐπίθετον Ἄρεος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 343m Y λαοδάμας] ὁ τὸν λαὸν δαμάζων.

Th 343n CHaNaOTYYaΞa λαοδάμας] ὄλεθρος τοῦ λαοῦ.

Th 343o θT μιαίνων εὐσέβ ( εια ν)· διὰ τὸ τοὺς ναοὺς περιυβρίζεσθαι τότε.

Th 344a I 1 μιαίνων] μολύνων.

Th 344b A 2 CHLcRbTX 2 XcYaYbΞa μιαίνων] ἀφανίζων.

Th 344c QV εὐσέβειαν] τὰ ἱερά.

Th 344d DNa εὐσέβειαν] τὰ ἱερὰ καὶ τὴν εἰς τοὺς θεοὺς τιμήν.

Th 344e A 2 QθTΞa Ἄρης] ὁ πόλεμος.

Th 344f CV στροφὴ ἑτέρα κώλων ιγ′.

Th 345-356a T ἡμέτερον + κορκορυγαὶ δ ’ ἀν ά· τῆς τρίτης ταύτης στροφῆς τὰ κῶλα ιγ′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα.

Th 345-356b τὸ α′, τὸ β′ καὶ τὸ γ′ χοριαμβικὰ ἡμιόλια ἐκ χοριάμβων καὶ ἰάμβων· τινὰ δὲ τούτων ἀντὶ μὲν χοριάμβου διίαμβον ἔχουσιν, ἀντὶ δὲ ἰάμβου τροχαῖον ἢ σπονδεῖον, τινὰ δὲ καὶ ἐπίτριτον. τὸ δ′ ὅμοιον τρίμετρον βραχυκατάληκτον ἐξ ἐπιτρίτου πρώτου, χοριάμβου καὶ ἰάμβου· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἀντὶ πρώτου τέταρτον ἔχει ἐπίτριτον. τὸ ε′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου, τὸ δὲ τῆς ἀντιστροφῆς κῶλον διτρόχαιον ἔχει καὶ ἀμφίβραχυν διὰ τὴν ἀδιάφορον. τὸ ς′ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ ἀναπαίστου· εἰ δὲ βούλει, δακτυλικὸν πενθημιμερές. τὸ ζ′ ὅμοιον ἐκ χοριάμβου καὶ βακχείου. τὸ η′ τροχαϊκὸν τρίμετρον καταληκτικόν, [ὃ καλεῖται] Ἀρχιλόχειον. τὸ θ′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ι′ ὅμοιον ἑφθημιμερὲς Εὐριπίδειον. τὸ ια′ ὅμοιον. τὸ ιβ′ ὅμοιον τῷ η′ Ἀρχιλόχειον. τὸ ιγ′ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἐπιτρίτου πρώτου, διιάμβου καὶ πυρριχίου ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον δισπόνδειον ἔχει ἀντ’ ἐπιτρίτου. ἐπὶ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνίς. T κορκορυγαὶ δ ’ ἀ ν ’ ἄστ υ· ταραχαί, θόρυβοι. [15]

Th 345a κεκωμῴδηται δὲ ἡ λέξις. λέγεται γὰρ μᾶλλον ἐπὶ βορβορυγμοῦ κοιλίας. I 1 ταραχαί.

Th 345b κεκωμῴδηται δὲ ἡ λέξις. M κορκορυγα ί· ταραχαί· κεκωμῴδηται ἡ λέξις.

Th 345c κορκορυγὴ δὲ κυρίως τὸ τῆς γαστρὸς ἔσωθεν ἠχοῦν πνεῦμα καὶ ταρασσόμενον. BDHP 3 WYa κορκορυγαὶ] θόρυβοι.

Th 345d I 2 Q κορκορυγαὶ] ταραχαί.

Th 345e AbBHHaNaNcPPdRb κορκορυγαὶ] ταραχαί· κυρίως ἡ ἠχὼ τῶν ἐντέρων.

Th 345f BCHRbWXc Ya κορκορυγαὶ] βοαί.

Th 345g PV κορκορυγαὶ] φωναὶ γοεραί.

Th 345h HRb κορκορυγὴ κυρίως τὸ ἐν τοῖς νεοσφαγέσι τῶν ζῴων ἔσωθεν ἀπὸ τῶν ἐντέρων ἠχοῦν πνεῦμα πρὸς τὴν σφαγὴν ἀπαντῶν ἢ τὸ τῆς ἀρτηρίας πνεῦμα τῆς πλησίον οὔσης τῆς τὴν σφαγὴν δεχομένης φλεβός.

Th 345i A 2 θTΞa κορκορυγαὶ] ἄσημοι βοαί.

Th 345j A 2 θTΞa πτόλιν] + ἐκ παραλλήλου.

Th 345k T ὁρκάνη πυργῶτις] φυλακὴ περικυκλοῦσα τὴν πόλιν ἢ εἰς τὸν πύργον ἱσταμένη.

Th 346a BDHNcPPdYa ὁρκάνη πυργῶτι ς· τοῦτο δηλοῖ ὅτι στάντων τῶν πολεμίων πρὸς ταῖς πύλαις τε καὶ ἀμφὶ τὰ τείχη, ἤγουν πέριξ, οὐχ οἷόν τινας ἀπὸ τῶν ἀστῶν ἐκφυγεῖν.

Th 346b Xc ὁρκάνη πυργῶτις] σκύλευσις δίκην πύργου περιλαμβάνουσα ἢ ἀφανισμός.

Th 346c τοῦτο γὰρ τὸ ὁρκάνη δηλοῖ πυργῶτις, ἤγουν μεγάλη. θ ὁρκάνη τὸ θηρευτικὸν δίκτουν ὃ καὶ σαργάνη καλεῖται.

Th 346d DHI 1 M NdP 2 PdVXcYa ὁρκάνη] φυλακή.

Th 346e AbHHaMORbY ὁρκάνη] ἀσφάλεια, φυλακή.

Th 346f PPd ὁρκάνη γὰρ εἶδος δικτύου ἢ ἀφανισμός.

Th 346g θ ὁρκάνη] εἶδος δικτύου ὃ καλεῖται σαργάνη.

Th 346h T ὁρκάνη] κλῖμαξ.

Th 346i A 2 CΞa πυργῶτις] ὑψηλὴ δίκην πύργου.

Th 346j AbHaXc πυργῶτις] μεγάλη.

Th 346k A 2 AbHaLhTΞa παρὰ τὸ Ὁμηρικὸν ἀνὴρ δ ’ ἄνδ ρ ’ ἐδνοπ ( άλιζε ν ) (Δ 472).

Th 347a M ἀνδρὸς] πολεμίου.

Th 347b TY ἀνὴρ] πολίτης.

Th 347c CTXc καίνεται] κόπτεται.

Th 348a BHFdNaPRb καίνεται] φονεύεται.

Th 348b A 2 AbCHaNaRbYΞa καίνεται] σφάζεται.

Th 348c θ καίνεται] σφάττεται.

Th 348d TYa βλαχαὶ δ ’ αἵματ ( όεσσα ι)· ἐπὶ τῶν ἄσημα φθεγγομένων νέων τὴν βληχὴν ἔθηκεν.

Th 349a ὥσπερ, φησί, τὰ νεογνὰ οὐδέπω τὴν φωνὴν ἔναρθρον ἔχοντα ἀπαγόμενα πρὸς τῶν πολεμίων αἱμάσσεται, ὥστε αὐτὰ ἄναρθρον φωνὴν καὶ ὥσπερ προβατώδη προΐεσθαι. τὸ δ’ ἑξῆς· βλαχαὶ βρέμονται. M τὸ ἑξῆς οὕτως· βληχαὶ βρέμονται.

Th 349b ἐπὶ τῶν προβάτων κυρίως ἡ βληχή· οὗτος δὲ τέθεικε ταύτην ἐπὶ τῶν ἄσημον καὶ ἄναρθρον ἐχόντων τὴν φωνὴν νεογνῶν παιδίων. I 1 βλαχαὶ δ ’ αἱματόεσσα ι· ἡ βληχὴ κυρίως ἐπὶ τῶν προβάτων λαμβάνεται ἠχώ τινα καὶ φωνὴν ποιὰν καὶ ἄσημον ἐκπεμπόντων· ἐξελάβετο δὲ τοῦτο ὁ ποιητὴς καὶ ἐπὶ τῶν νεογνῶν καὶ ἀρτιγενῶν βρεφῶν ὡς τοιᾷδε φωνῇ, ἀσήμῳ δηλαδὴ καὶ ἀνάρθρῳ, χρωμένων, ἃ παρὰ τῶν πολεμίων ἀπαγόμενα αἱμάσσεται, ὡς ἄναρθρον φωνὴν καὶ προβατώδη προΐεσθαι. [5]

Th 349c BCDHNcNdP 2 PdSjVWXaXcYYaYb βληχαὶ] κλαυθμυρισμοί, ἦχοι.

Th 349d AbBCDHHaI 2 NcRbXcYa βληχαὶ] ἐπὶ τῶν ἀνάρθρως φωνουμένων νηπίων τὴν βληχὴν ἔθετο.

Th 349e BHW βληχαὶ] βοαί.

Th 349f A 2 PdR 1 YΞa βληχαὶ] φωναί.

Th 349g HNaP βληχαὶ] ἄσημοι βοαί.

Th 349h θV βληχαὶ] ἄσημοι βοαί· κυρίως δὲ βληχαὶ αἱ τῶν προβάτων βοαί.

Th 349i T αἱματόεσσαι] αἱματηραί.

Th 349j A 2 BYaΞa αἱματόεσσαι δὲ ἀντὶ τοῦ ἐπὶ τῷ φόνῳ φωνούμεναι.

Th 349k P 2 PdSj αἱματόεσσαι] ἀπὸ αἵματος καὶ φόνου γινόμεναι.

Th 349l θT ἐπιμαστιδίων] τῶν θηλαζόντων νηπίων τῶν ἐπὶ τῷ μαστῷ.

Th 350a BHRb ἐπιμαστιδίων] τῶν βρεφῶν.

Th 350b AbCFdHaLcPPdR 1 VX 2 ἐπιμαστιδίων] τῶν θηλαζόντων νηπίων.

Th 350c DYa ἐπιμαστιδίων] τῶν ἄρτι θηλαζόντων.

Th 350d AbHaV ἐπιμαστιδίων] νηπίων.

Th 350e A 2 NcOθΞa ἐπιμαστιδίων] τῶν ἐπὶ τοῖς μαστοῖς νηπίων.

Th 350f T ἀρτιτρεφεῖς] ἄρτι τρεφόμενοι.

Th 350g CHaSjYb ἀρτιβρεφεῖς] νέαι.

Th 350h A 2 AbNbP ἀρτιτρεφεῖς] ἀρτιτρεφῶν ἤτοι νεογνῶν ἔδει εἰπεῖν πρὸς τὸ ἐπιμαστιδίω ν· ἐπήνεγκε δὲ πρὸς τὸ βληχαὶ αἵτινες τῶν νηπίων ἦσαν.

Th 350i A 2 θ TΞa ἀρτιτρεφεῖς] ἤτοι τῶν ἀρτιτρεφῶν βρεφῶν.

Th 350j T βρέμονται] ἠχοῦσιν.

Th 350k A 2 AbBCHHaI 2 NaRbTYaYbΞa τὸ βρέμειν κυρίως ἐπὶ πυρὸς λέγεται καὶ ἀνέμων καὶ ἐπὶ κυμάτων· τροπικῶς δὲ καὶ ὁ ἀλαζὼν βαρὺ βρέμειν λέγεται.

Th 350l A 2 Ξa τὴν ἁρπαγὴν λέγει ἀδελφὴν τῆς διαδρομῆς· οἰκειότητα γὰρ ἡ ἁρπαγὴ ἔχει πρὸς τὰς διαδρομάς.

Th 351a BDHP 3 Ya αἱ ἁρπαγαὶ δὲ αἱ εἰς τὴν καταδρομὴν γεγονυῖαι τῆς πόλεως ὁμαίμονες καὶ συγγενικαί, ἐπειδὴ Ἕλληνες καὶ οὗτοι οἱ πολέμιοι.

Th 351b WYa διαδρομᾶν] φυγῶν.

Th 351c A 2 NbPΞa διαδρομᾶν] φυγῶν· ὁ γὰρ ἁρπάζων τι φεύγει μήπως καταληφθῇ, ὅθεν καὶ ὁμαίμονα τὴν φυγὴν τῆς ἁρπαγῆς εἶπεν.

Th 351d ἢ διαδρομῶν τῶν διὰ τῆς πόλεως συστροφῶν τῶν πολεμίων αἷς χρῶνται πρὸς ἁρπαγάς. A 2 θ TΞa διαδρομᾶν] ἀντὶ μιᾶς.

Th 351e T διαδρομᾶν] ἤγουν φυγῆς.

Th 351f T ὁμαίμονε ς· συγγενεῖς· Ἕλληνες γὰρ πάντες καὶ ἑνὸς γένους.

Th 351g ἢ μετὰ αἵματος γινόμεναι ἢ διαδρομῶν ὁμαίμονες· πολλῆς γὰρ ἐπιδρομῆς καὶ σπουδῆς δεῖ τῷ ἁρπάζοντι. I 1 ὁμαίμονε ς· συγγενεῖς· Ἕλληνες γὰρ πάντες.

Th 351h 〈ἢ〉 οἷον μετὰ αἵματος γινόμεναι. ἢ τῶν ὁμαιμόνων καὶ συγγενῶν καὶ ἐξ ἑνὸς γένους. M ὁμαίμονες] συγγενεῖς.

Th 351i BCHXcYa ὁμαίμονες] αὐτάδελφοι.

Th 351j NaP ὁμαίμονες] ἀδελφαί.

Th 351k A 2 AbBHaLcTX 2 Ξa ξυμβάλλει] συναντᾷ.

Th 352a A 2 AbBCDHHaI 2 M 2 NaNcOPPdθTXc YYaYbΞa ξυμβάλλει] συνέρχεται.

Th 352b DHYa ξυμβαλεῖ] συναντήσει.

Th 352c PV φέρων] ὁ ἔχων λείαν.

Th 352d BPPdR 1 φέρων] λάφυρα.

Th 352e CXc φέρων] λείαν.

Th 352f DT φέρων] βαστάζων.

Th 352g AbHa φέρων] πολέμιος δῆλον.

Th 352h A 2 Ξa φέροντι] τῷ βαστάζοντι.

Th 353a AbHa κενὸς] ὁ μηδὲν φέρων.

Th 353b A 2 Ξa καλεῖ] μετακαλεῖται.

Th 353c SjYb καλεῖ] ὀνομάζει.

Th 353d AbHa καλεῖ] προσκαλεῖται.

Th 353e TΞa ξύννομον] κοινωνόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 354a AbBDHI 1 MOYYa ξύννομον] συμμεριστήν.

Th 354b A 2 BCDFdHPPdRbTΞa ξύννομον] σύντροφον.

Th 354c A 2 AbNbYΞa ξύννομον] συνεργόν.

Th 354d BNcPPdR 1 T οὔτε μεῖον οὔ τ ’ ἴσον λε ( λημμένο ι)· διὰ τούτου τοὺς πλεονέκτας ἐμφαίνει.

Th 355a ὁ γὰρ μήτε ἔλασσον αἱρούμενος μήτε τὸ ἴσον φαίνεται πλείονος ὀρεγόμενος. I 1 M οὔτε μεῖον οὔ τ ’ ἴσον λελημμένο ι· διὰ τοῦτο τοὺς πλεονεκτοῦντας ἐμφαίνει· ὁ γὰρ μήτε ἔλασσον μήτε ἴσον τῷ λαβόντι λαβεῖν αἱρούμενος ἐμφαίνει πλείονος ὀρεγόμενος.

Th 355b τινὲς λελιμμένοι διὰ τοῦ ι γράφοντες λέγουσι· λελιμμένοι καὶ ἐπιθυμοῦντες· ὤφειλε δὲ μείονος τοῦτο καὶ ἴσου γράφεσθαι, ἀλλὰ λαμβάνουσιν ἔξωθεν τὸ λαβεῖν καὶ λέγουσιν· οὔτε μεῖον οὔτε ἴσον ἐπιθυμοῦντες λαβεῖν. BCDHNcNdP 2 PdSjVW XaXcYYaYb οὔτε μεῖον] ἀλλ’ ἕκαστος ἀεὶ τὸ πλεῖον διώκει. [5]

Th 355c θT μεῖον] ἔλαττον.

Th 355d AbCHHaNaVYa ἴσον] δίκαιον.

Th 355e HNc λελημμένο ι· καὶ η καὶ ι· η μὲν ἐκ τοῦ λήβω τὸ λαμβάνω, ι δὲ ἐκ τοῦ λίπτω τὸ ἐπιθυμῶ.

Th 355f CNdP 2 VWXaYa λελημμένοι] βουλόμενοι λαβεῖν, θέλοντες.

Th 355g DYa λελημμένοι] λαβεῖν βουλόμενοι.

Th 355h MPPd λελιμμένοι] θέλοντες λαβεῖν.

Th 355i BHNcO λελιμμένοι] λαμβάνοντες.

Th 355j HR 1 λ [ ελιμμένοι ἀπὸ τ]οῦ λίπτω τ[ὸ ἐπιθυμῶ], γρ.

Th 355k καὶ λε[ληϊμμένοι] ἀπὸ τοῦ λιλαί ω. B a λελιμμένοι] ἐπιθυμοῦντες.

Th 355l A 2 AbBCNaPθTWXcYYaYbΞa τὸ μὲν λελιμμένοι δῆλον ὡς ἀπὸ τοῦ λίπτω τὸ ἐπιθυμῶ· τὸ δὲ λελιημένος παρ’ Ὁμήρῳ (Δ 465) ἀπὸ τοῦ λῶ τὸ θέλω γίνεται κατὰ τοὺς παλαιούς, ὅπερ λῶ κατὰ ἀναδιπλασιασμὸν γίνεται λιλῶ, ὁ μέλλων λιλήσω, ὁ παρακείμενος λελίληκα, ὁ παθητικὸς λελίλημαι, ἡ μετοχὴ ὁ λελιλημένος καὶ ἀποβολῇ τοῦ λι λελημένος. [5]

Th 355m τὸ δὲ τετιημένος, ἤτοι τεταλαιπωρημένος καὶ τετιμωρημένος, ἀπὸ τοῦ τίω τιήσω ἑτεροκλίτως κανονίζεται κατὰ τοὺς παλαιούς· ὁ παθητικὸς παρακείμενος τετίημαι, ἡ μετοχὴ ὁ τετιημένος. ἔνιοι δὲ κατὰ παλαιὸν λέγουσι τοῦτο γίνεσθαι 〈...〉 τοῦ η. A 2 Ξa τί ἐκ τῶν δ ’ εἰκά ( σα ι)· τί δεῖ ὑπονοῆσαι ἐκ τούτων ἢ πένθη καὶ συμφοράς; I 1 M πῶς ὁ λόγος δυνηθῇ παραστῆσαι τὰ γινόμενα τότε καὶ ὑπ’ ὄψιν ἀγαγεῖν; BHYa τίν’] τίνα καὶ ποδαπὰ ἐκ τῶν συμβεβηκότων πάρεστιν εἰκάσαι καὶ νοῆσαι ἐν λόγοις; B a WYa τιν’] ἀνθρώπῳ πάρεστι λόγος ὥστε ὁμοιωθῆναι ἐκ τῶνδε.

Th 356d X τιν’] ἀνθρώπῳ.

Th 356e BLc τῶνδ’] ὧν εἴπομεν.

Th 356f PPd τῶνδ’] τῶν συμβαινόντων.

Th 356g QY τῶνδ’] τῶν ἐν ἁλώσεσι συμβαινόντων· λέγει δὲ ὅτι πάνθ’ ὅσα ἂν εἴπωμεν, ἐλάττω τῶν τότε συμβαινόντων ἐροῦμεν.

Th 356h A 2 θTΞa τῶνδ’] κατὰ τὸ ἁλωθῆναι δῆλον.

Th 356i A 2 Ξa εἰκάσαι] ὁμοιῶσαι.

Th 356j VYa εἰκάσαι] ἀπεικάσαι.

Th 356k A 2 HaNaPPdΞa εἰκάσαι] ὑπολαβεῖν.

Th 356l T λόγος] ἡ φρόνησις.

Th 356m NaP πάρα] παραστῆσαι.

Th 356n AbHa ἀντιστροφὴ κώλων ιγ′.

Th 357-368 T ποδαπὸς δὲ ἤτοι ποικίλος καὶ διάφορος καὶ ἐκ πολλῶν εἰδῶν συνιστάμενος.

Th 357a B a WYa παντοδαπὸς] παντοῖος.

Th 357b AbHaV παντοδαπὸς] ἐκ πολλῶν εἰδῶν συνιστάμενος.

Th 357c PPd δάπεδον ἡ γῆ, ἀλλοδαπὸν τὸ ξένον ὥς φαμεν· ὁ δεῖνα ἄνθρωπος ἀλλοδαπός ἐστιν, ποδαπὸν τὸ ἀπὸ ποίου δαπέδου, παντοδαπὸν δὲ τὸ ἀπὸ παντοίων δαπέδων ἀναδιδόμενον.

Th 357d AbHa παντοδαπὸς] σῖτος, κριθή, κέγχρος, πάνθ' ὁμοῦ χρήματα.

Th 357e θT παντοδαπὸς] διάφορος.

Th 357f Ξa χαμάδις] εἰς τὴν γῆν.

Th 358a AbCDPPdXcVYa χαμάδις] χαμαί, εἰς τὴν γῆν κείμενος, συρόμενος.

Th 358b BHRb χαμάδις] χαμαί.

Th 358c FdQR 1 χαμάδις] ἐπίγειος.

Th 358d θ χαμάδις] ἤγουν χαμαὶ κείμενος.

Th 358e T χαμάδις] κατὰ γῆς.

Th 358f A 2 Ξa πεσὼν] ἐρριμμένος ὑπὸ τῶν πολεμίων.

Th 358g T ἀλγύνει κυρήσα ς· τοῦτο ἄλλως εἰπεῖν ἔδει· ὁ τοῦτον εὑρὼν λυπεῖται· οὐ γὰρ ὁ καρπὸς ἐντυγχάνει τινί, ἀλλά τις τῷ καρπῷ.

Th 358-359 ἐπήνεγκε δὲ οὕτω πως. τὸ δὲ πικρὸν ὄμμα διὰ τοῦτό φησιν, ἢ ὅτι σκυλευόμεναι θρῆνον ἐγείρουσι καὶ τὸ αὐτῶν ὄμμα ἐκτήκουσι γόοις κατ' Εὐριπίδην (Hec. 434), ἢ ὅτι ὁρῶντες αὐτὰς ἕτεροι ἀθλίως ἑλκομένας δακρύων σταλαγμοὺς ἐξ ὀφθαλμῶν καθιᾶσιν. T ἀλγύνε ι· λυπεῖ τοὺς πολεμίους θέλοντας οὐχὶ σῖτον ἀλλ' ὑφάσματα, λυπεῖ τὸν ἐντυχόντα αὐτῷ. [5]

Th 358h P 2 PdWYa ἀλγύνει] τὸν τυγχάνοντα.

Th 358i M ἀλγύνει] εὑρεθείς τινι ἀλγύνει ἐκεῖνον.

Th 358j PPd ἀλγύνει] λυπεῖ.

Th 358k AbCHaθTVYaYb ἀλγύνει] λυπεῖ ἕτερον.

Th 358l A 2 Ξa κυρήσας] εὑρεθεὶς καὶ θεαθείς τινι τῶν ἁρπαζόντων.

Th 358m BDHOYa κυρήσας] εὑρεθείς.

Th 358n AbCI 1 QXcYYa κυρήσας] θεαθείς.

Th 358o HaNcOXc κυρήσας] ἐπιτυχών τινι· τοῦτο δ' ἄλλως εἰπεῖν ἔδει· οὐ γὰρ ὁ καρπὸς ἐντυγχάνει τινί, ἀλλὰ τῷ καρπῷ τις ἐντυγχάνει.

Th 358p θ κυρήσας] θεαθείς, φανείς.

Th 358q A 2 Ξa πικρὸν δ ' ὄμμα θαλα ( μηπόλω ν)· πικρὰ θέα τῶν παρθένων ἀποσπωμένων ἐκ τῶν θαλάμων.

Th 359a BHI 1 MNdP 2 Pd mg Pd gl SjWYa πικρὸν ὄμμα] ἀλγεινὸν ἡ ὄψις.

Th 359b AbHaX 2 τὸ δὲ πικρὸν ὄμμα διὰ τοῦτό φησιν, ὅτι σκυλευόμεναι θρῆνον ἐγείρουσι καὶ τὸ αὐτῶν ὄμμα ἐκτήκουσι γόοις κατ' Εὐριπίδην (Hec.

Th 359c 434), ἢ ὅτι ὁρῶντες αὐτὰς ἕτεροι ἀθλίως ἑλκομένας δακρύων σταλαγμοὺς ἐξ ὀφθαλμῶν καθιᾶσιν. A 2 θΞa θαλαμηπόλων] τῶν γυναικῶν.

Th 359d DHaNa θαλαμηπόλων] τῶν παρθένων.

Th 359e CDOR 1 Y θαλαμηπόλων] νεονύμφων ἢ οἰκουρῶν· θάλαμος γὰρ οὐ μόνον ὁ παστός, ἀλλὰ καὶ ὁ οἶκος.

Th 359f θT θαλαμηπόλων] τῶν νεονύμφων καὶ οἰκουρῶν.

Th 359g A 2 X 2 Ξa πολλὰ δ ’ ἀκριτόφυρτος γᾶς δόσι ς· ἡ πολλὴ δὲ δόσις καὶ καρπὸς τῆς γῆς ἡ ἀκριτόφυρτος καὶ ἀναμεμιγμένη φέρεται ἐν τοῖς τοῦ πολέμου ῥεύμασιν.

Th 360a BCHNcNdP 2 PdSjVWXaYYaYb πολλὰ] καταπολύ.

Th 360b T ἀκριτόφυρτος] ἀναμεμιγμένη.

Th 360c BDHHaI 1 MNaNcPPdR 1 RbV XcYYa ἀκριτόφυρτος] ἀδιαχώριστος.

Th 360d BDHHaYa ἀκριτόφυρτος] ἀδιαίρετος.

Th 360e θT ἀκριτόφυρτος] παμμιγής.

Th 360f A 2 Ξa γᾶς δόσις] ὁ καρπός.

Th 361a BMNaPPdR 1 γᾶς δόσις] σῖτος, κριθή, κέγχρος, πάνθ’ ὁμοῦ χρήματα.

Th 361b θT δόσις] δωρεά.

Th 361c CNc οὐτιδανοῖ ς· ἤτοι ἀνευφράντοις, οὔ τι δάνος καὶ ἡδονὴν ἐμποιοῦσιν.

Th 361-362 οἱ γὰρ Δωριεῖς τὸ γάνος δάνος λέγουσι καὶ τὴν γῆν δᾶν καὶ τὸν γνόφον δνόφον. εὐφυῶς δὲ τὸ ῥοθίοισι προσέθηκε τῷ οὐτιδανοῖ ς· ἐπειδὴ γὰρ τὰ ῥόθια καὶ τὰ τῆς θαλάσσης ὑγρὰ κέλευθα ἐπωφελῆ πᾶσι τυγχάνουσι—δι’ αὐτῶν γὰρ ὁ πλοῦς τὰ ζωαρκῆ κομίζει ταῖς πόλεσιν ἐξ ὧν αὗται συνίστανται—ὁ ποιητὴς ἐνταῦθα εἰπὼν ῥοθίοις, ἵνα μὴ τοῖς ὠφελίμοις νοήσῃ καὶ ζωογόνοις ταῖς πόλεσι, τὸ οὐτιδανοῖς τοῦτο προσέθηκεν, ἤγουν τοῖς ἀνευφράντοις. BCHNcNdP 2 PdSjVWXaYYaYb οὐτιδανοῖς] ἀνευφράντοις, οὔ τι δάνος καὶ ἡδονὴν ἐμποιοῦσιν. [5]

Th 361d BHNc οὐτιδανοῖς] ἀνευφράντοις τοῖς οὔ τι δάνος καὶ χαρὰν ἔχουσι {τῶν δωριέων}· ἢ τοῖς οὐτιγανοῖς τοῖς μὴ ποιοῦσι γάνος.

Th 361e D οὐτιδανοῖς] ἀνευφράντοις.

Th 361f PR 1 XYYa οὐτιδανοῖς] ἀνωφελέσιν.

Th 361g PPd οὐτιδανοῖς] ἀχρείοις.

Th 361h PV οὐτιδανοῖς] + εὐτελέσι· λέγει δέ, οἶμαι, τοὺς τῶν πολεμίων δούλους καὶ τοὺς ἄλλους τοιούτους τροπικῶς.

Th 361i T ἐν ῥοθίοισι φο ( ρεῖτα ι)· ἐπειδὴ τὰ κύματα ἔσθ’ ὅτε ὠφέλειαν παρέχεται ταῖς πόλεσιν—διὰ γὰρ αὐτῶν τὰ ἐπιτήδεια ἄγεται—, τροπικῶς δὲ ῥόθια εἶπεν τὰ συνεχῆ κινήματα τῶν πολεμίων, προσέθηκεν ἐπίτηδες τὸ οὐτιδανοῖς οἷον ἀχρείοις.

Th 362a M ῥοθίοισι ν· ταῖς ὑβριστικαῖς κινήσεσι τῶν πολεμίων· τούτους γὰρ ῥόθιά φησιν ἐπειδὴ πολεμοῦσιν.

Th 362b τὰ γὰρ κύματα ἐπωφελῆ εἰσιν· δι’ αὐτῶν γὰρ ὁ πλοῦς τὰ πρὸς τὸ ζῆν κομίζων ταῖς πόλεσιν. M τροπικῶς ῥόθια εἶπε τὰ συνεχῆ τῶν πολεμίων κινήματα.

Th 362c τὸ δὲ οὐτιδανοῖς τοῖς οὐτιδανοποιοῖς καὶ ἀχρείοις καὶ οὐκ ἐπωφελέσι κατὰ τὰ θαλάττια κύματα δι’ ὧν πολλαῖς πόλεσιν ἄγεται τὰ ἐπιτήδεια. I 1 ῥοθίοις] ῥεύμασι.

Th 362d A 2 BCHHaNaTΞa ῥοθίοις] κύμασι.

Th 362e PPdYa ῥοθίοις] κινήμασι.

Th 362f VYa ῥοθίοισι] ῥόθιόν φασιν τὴν κίνησιν καὶ τὴν ἀταξίαν τῶν πολεμίων.

Th 362g BYa ῥοθίοισι] τουτέστι μάτην ἐν γῇ κέχυται ὑπὸ τῶν παριόντων καταπατουμένη.

Th 362h

θΤ φορεῖται] ὡς ἐπὶ ναυαγίοις.

Th 362i Μ φορεῖται] φέρεται.

Th 362j Α 2 BCHHaI 2 NaOPR 1 XcYYaΞa φορεῖται] ἄγεται.

Th 362k PPd αἱ δμωίδες δὲ αἱ καινοπήμονες νέαι, ἤτοι αἱ νέον πῆμα ἔχουσαι ἤγουν παθοῦσαι, τλήμονές εἰσι διὰ τὴν αἰχμάλωτον εὐνήν, ἤτοι τὴν κυρίαν αὐτῶν τὴν τοῦ ιδα γυναῖκα, τοῦ πρὶν εὐτυχοῦντος ὡς τοῦ δυσμενοῦς ὑπερτέρου γεγονότος.

Th 363-365a Nd ἐν γὰρ τῇ ἁλώσει οὐ μόνον γραῖαι γυναῖκες δουλείας ἀνάγκῃ φέρονται, ἀλλ' ἴδοις ἂν καὶ νέας δούλας ἄρτι πρῶτον δυστυχησάσας τλήμονας καὶ ἀθλίας τὴν αὐτῶν εὐνὴν αἰχμάλωτον, ζώντων τῶν οἰκείων ἀνδρῶν καὶ ὁρώντων αὐτὰς ὑφ' ἑτέρων εἰς μίξιν βιαζομένας ἅτε δυνατωτέρων· ὥσπερ γάρ φαμεν· εὐδαίμων εἰμὶ τοῦτο, οὕτω καί· τλήμων εἰμὶ τοῦτο. [5]

Th 363-365b ἢ οὕτω· δοῦλαι δέ εἰσι τότε νέαι γυναῖκες ἐκ νέου δυστυχήσασαι, τλήμονες καὶ ἄθλιαι εὐτυχούντων τῶν οἰκείων ἀνδρῶν τὴν αὐτῶν εὐνὴν αἰχμάλωτον, τουτέστιν ὁρώντων αὐτὰς ὑπὸ τῶν πολεμίων πασχούσας ἄθεσμα καὶ οὐ δυναμένων ἀμύνειν· μείζω γὰρ αὐτῶν ἰσχύουσιν οὗτοι· ὃ καὶ κρεῖττον. μὴ ξενισθῇς δὲ εἰ τὸ εὐτυχῆσαι ἐπὶ κακοῦ λαμβάνεις, δέον ἐπὶ καλοῦ ὡς καὶ τὸ ὄνομα αὐτὸ μαρτυρεῖ· οὐ γὰρ μόνον εὐτυχῆσαι λέγομεν χρήματα, ἀλλὰ καὶ εὐτυχῆσαι ἵππου ἀπώλειαν οἱονεὶ κτήσασθαι. ἔστι δὲ ἡ τοιαύτη εὐτυχία οὐ κυρίως ἀλλὰ παρακεκινδυνευμένη. θ δμωίδες δ έ· ἐν γὰρ τῇ ἁλώσει οὐ μόνον γραῖαι γυναῖκες δουλείας ἀνάγκῃ φέρονται, ἀλλ' ἴδοις ἂν καὶ νέας δούλας ἄρτι πρῶτον δυστυχήσασας εἰς τὴν αὐτῶν τλήμονα καὶ ἀθλίαν αἰχμάλωτον εὐνήν, ζώντων τῶν οἰκείων ἀνδρῶν καὶ ὁρώντων αὐτὰς ὑφ' ἑτέρων εἰς μίξιν βιαζομένας ἅτε δυνατωτέρων ὡς δυσμενῶν. [5]

Th 363-365c καὶ οὕτω μὲν εἴποις λαμβάνων τὴν εἰς ἔξωθεν εἰς τὸ τλήμονα εὐνή ν. ἑτέρως δὲ οὕτω· γυναῖκες δὲ νέαι καινοπήμονες, ἤγουν ἐκ νέου δυστυχή[σασαι] τὴν αὐτῶν τλήμονα αἰχμάλωτον εὐνήν· οὐ γὰρ μόνον φαμέν· εὐδαίμων εἰμὶ τοῦτο, ἀλλὰ καί· [δυστυχῶ τοῦτο. αἱ νέαι τοίνυν] γυναῖκες δμωίδες καὶ δοῦλαί εἰσι τότε ἀνδρὸς ὑπερτέρου καὶ κρείττονος, εὐτυχοῦντος [καὶ εὐδαιμονοῦντος] ὡς δυσμενοῦς καὶ ἐχθροῦ. Τ νέαι δμωίδες, ἤγουν αἱ νεαρῶς ὑπὸ δουλείαν γεγονυῖαι, καὶ καινοπήμονες, αἱ καινὰ παθοῦσαι νυκτὸς γενομένης μέλλουσαι συνελθεῖν τοῖς πολεμίοις. [10]

Th 363-365d Α 2 Ξa δμωίδες] ἀπὸ κοινοῦ τὸ φοροῦντα ι.

Th 363a I 1 δμωίδες] δοῦλαι.

Th 363b BCHNcPdXcY δμωίδες] δοῦλαί εἰσι τότε.

Th 363c Α 2 θΤΞa καινοπήμονες] νεωστὶ παθοῦσαι τὰ κακά.

Th 363d BHNcOPPdXcYa καινοπήμονες] καινὰ πάσχουσαι.

Th 363e HaNa καινοπήμονες] ἐκ νέου δυστυχήσασαι.

Th 363f θΤ νέαι] γυναῖκες.

Th 363g Α 2 R 1 Ξa μεταστᾶσαι εἰς δουλείαν οἴσουσι τὴν τῶν πολεμίων εὐνήν.

Th 364a Μ γράφεται τλήμονες καὶ ληπτέον τὴν διὰ ἔξωθεν, ἵν' ᾖ διὰ εὐνὴν αἰχμάλωτον.

Th 364b I 1 ἡμέτερον· + οὕτως γράφε τλήμονα εὐνὴν αἰχμάλωτον, ἵνα οἰκείως ἔχῃ [τὸ κῶλον] πρὸς [τὴν στροφήν, καὶ οὕτω] σύντασσε ὡς παρ' ἡμῶν διωρθώθη τόδε τὸ σχόλιον· οἱ γὰρ τλήμονες γράφοντες ἀγνοοῦσι τὰ μέτρα.

Th 364c Τ τλήμονες] ἄθλιαι.

Th 364d HR 1 τλήμον'] + εἰς τὴν ἀθλίαν αὐτῶν αἰχμάλωτον εὐνήν.

Th 364e Τ εὐνὰν] ἕξουσι.

Th 364f DHM 2 PY αἰχμάλωτον] ἕλκονται.

Th 364g CXXc ἀνδρὸς] τοῦ ἀνδρὸς αὐτῶν.

Th 365a T εὐτυχοῦντος] ἤγουν τοῦ πολεμίου.

Th 365b BDHI 2 NcYa εὐτυχοῦντος] εὐδαιμονοῦντος.

Th 365c TYa εὐτυχοῦντος] κτωμένου.

Th 365d θ εὐτυχοῦντος] ἤγουν ζῶντος.

Th 365e FdHaT σόλοικον.

Th 365f Ξa ὡς δυσμενοῦς] ὡς τοῦ πολεμίου κρατήσαντος.

Th 366a MPPd δυσμενοῦς] ἐχθροῦ.

Th 366b HaNaTXcYa δυσμενοῦς] πολεμίου.

Th 366c HaNaR 1 V ὑπερτέρου] ἰσχυροτέρου.

Th 366d HaYa ὑπερτέρου] κρείττονος.

Th 366e R 1 θT ἐλπίς ἐστι νύκτερον τέλος μολεῖ ν· ἐλπίς ἐστι μολεῖν καὶ παραγενέσθαι νύκτερον τέλος—περιφραστικῶς νύκτα—τῶν πολλῶν κλαυθμῶν ἐπίρροθον καὶ αὐξητικήν· νύκτα δὲ εἶπεν ἤτοι ἀθυμίαν καὶ κλαυθμὸν ἄσβεστον.

Th 367-368a BCDHNcNdP 2 PdR 1 SjVWXaXcYYaYb τουτέστι ἐπιστάμεθα τοῦτο, ὅτι μέλλει ἐπελθεῖν εἰς ἡμᾶς τέλος κακόν, τουτέστι πολιορκία.

Th 367-368b I 3 ἡμέτερα· + ἐλπίς ἐστ ι· τοῦτο, οἶμαι, λέγει διὰ τὸ ἀθέσμως αὐταῖς χρῆσθαι τοὺς πολεμίους διὰ πάσης αὐταῖς συγγινομένους τῆς νυκτός, ἢ καὶ πολλῶν συγγινομένων μιᾷ, ὅπερ τὰ ἔθνη ποιεῖν εἰώθασι.

Th 367-368c ληξάσης γὰρ τῆς νυκτὸς καὶ αὗται τῶν τοιούτων ἀπαλλάσσονται λυπηρῶν. T ἐπανάληψις τὸ σχῆμα.

Th 367a BDHNcWYa ἐλπίς] προσδοκία.

Th 367b CR 1 νύκτερον τέλος] ἤτοι δυστυχίαν περιφραστικῶς ἥτις ἀμαυροῖ τοὺς ἔχοντας.

Th 367c θT νύκτερον τέλος] νυκτερινόν, ἤγουν τέλος σχεῖν τὴν νύκτα.

Th 367d T τοῦτο εἴρηκε διὰ τὸ νυκτὸς μὲν συγκαθεύδειν τοῖς δεσπόταις καὶ ὑβρίζεσθαι, ἡμέρας δὲ εἰς μόχθον δουλειῶν σχολάζειν καὶ ὑπὸ τούτων λυπεῖσθαι κἀντεῦθεν θρηνεῖν διόλου.

Th 367e A 2 Ξa νύκτερον] νυκτερινόν.

Th 367f CPYa νύκτερον] σκότους ἄξιον.

Th 367g NaPPdW νύκτερον] θανατηρόν.

Th 367h NaP νύκτερον] κατὰ τὴν νύκτα.

Th 367i A 2 Ξa μολεῖν] ἐλθεῖν.

Th 367j A 2 BCHaPTVYa μολεῖν] εἰς ἡμᾶς.

Th 367k BHP μολεῖν] παραγενέσθαι.

Th 367l HaP παγκλαύστων] ἄξιον κλαυθμῶν.

Th 368a WYa παγκλαύστων] πολυκλαύτων.

Th 368b T ἀλγέων] θλίψεων.

Th 368c CHaX 2 Ya ἀλγέων] λυπῶν.

Th 368d T ἐπίρροθον] αὐξητικόν.

Th 368e

BCI 2 M 2 NaOPPdR 1 θTWXXcYaYb ἐπίρροθον] διάδοχον, βοηθόν.

Th 368f BHNc ἐπίρροθον] βοηθόν.

Th 368g HaI 1 NaPY ἐπίρροθον] κινητικόν.

Th 368h A 2 CΞa ἐπίρροθον] σύμφωνον.

Th 368i Ξa ἰαμβικοὶ τρίμετροι στίχοι ἕξ.

Th 369-374a F pc σύστημα στίχων ϛʹ.

Th 369-374b T + ὅ τοι κατόπτη ς· σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ϛʹ εἰς δύο περιόδους διῃρημένον· διαιρεῖται γὰρ ὁ χορὸς καὶ διαλέγονται πρὸς ἀλλήλας.

Th 369-374c T ὅ τοι κατόπτη ς· ὁ κατόπτης, ὁ ἐπιτηρητὴς τοῦ στρατοῦ, ἤτοι ὁ ἄγγελος, φέρει καὶ ἄγει ἡμῖν, ὦ φίλαι—τὸ ἡμιχόριον τῶν παρθένων τοῦτό φησι πρὸς τὰς ἑτέρας—τινὰ νεαρὰν καὶ πρόσφατον ἀγγελίαν λυπηράν, διώκων καὶ κινῶν ἐν σπουδῇ τὰς πομπίμους καὶ ὁδευτικὰς χνόας καὶ ἐξοχὰς τῶν ποδῶν. [5]

Th 369-371 χνόας δὲ ποδῶν μεταφορικῶς ἐκ τῶν ἁρμάτων τὰ ἄκρα τῶν ποδῶν ἔφησε· τοῦ γὰρ ἄξονος τὸ ἄκρον τὸ ἐντεθειμένον τῇ χοινικίδι χνόη καλεῖται. παραβολικῶς οὖν τὸ συνεχὲς κίνημα τῶν ποδῶν χνόην εἴρηκεν. BCDHNcNdP 2 PdSjVWXaXcYYaYb τοι] περιττόν.

Th 369a NaP κατόπτης] ὁ κατάσκοπος.

Th 369b BCI 2 PPdR 1 V κατόπτης] ὁ σκοπεύς.

Th 369c LcX 2 κατόπτης] ὁ θεατής, ὁ κατάσκοπος.

Th 369d T κατόπτης] ἐπιτηρητής.

Th 369e A 2 Ξa δοκεῖ] φαίνεται.

Th 369f CHaYa στρατοῦ] τῶν πολεμίων.

Th 369g A 2 θTΞa πευθὼ] ἀγγελίαν.

Th 370a ABCDHaI 1 M 2 PdR 1 θTXXcΞa πευθὼ] μάθησιν.

Th 370b VYYa πευθὼ] ἐξαγγελίας, μάθησιν, ἀκοήν.

Th 370c BH πευθὼ] ἀγγελίαν, μάθησιν.

Th 370d NaP πευθὼ] φήμην.

Th 370e PPd ὦ φίλαι] + πρὸς ἀλλήλας αἱ τοῦ χοροῦ ταῦτα λέγουσιν.

Th 370f T τὸ νέον σημαίνει δύο, τό τε πρόσφατον καὶ νεαρὸν καὶ τὸ ἐναντίρρητον καὶ κακὸν καὶ ἀεὶ νεάζον ταῖς συμφοραῖς ὡς Εὐριπίδης (Hec.

Th 370g 178): ἰὼ μᾶτερ μᾶτερ τί βοᾷ ς , τί νέον κηρύξου ς ’ ἦλθε ς. WYa νέαν] νεαράν, πρόσφατον.

Th 370h BP νέαν] νεαροηχῆ.

Th 370i PPdYa φέρει] ἄγει.

Th 370j BCHaP φέρει] κομίζει.

Th 370k HaV διώκων] κινῶν.

Th 371a A 2 BDFdHaI 1 PPdYYaΞa διώκων] ἐλαύνων.

Th 371b CI 1 Q διώκων] φέρων.

Th 371c θT πομπίμους] ὁδευτικάς.

Th 371d BHaI 2 OPQθTVXcYaYb πομπίμους] πορευτικάς.

Th 371e CNaP πομπίμων] συντόμων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 371f A 2 Ξa χνόας ποδ ( ῶ ν)· μεταφορικῶς εἶπεν τὰ ἄκρα τῶν ποδῶν.

Th 371g ἄλλως· τὸ συνεχὲς κίνημα τῶν ποδῶν παραβόλως χνόας εἶπεν. τοῦ μέντοι ἄξονος τὸ ἄκρον τὸ ἐντιθέμενον τῇ χοινικίδι χνόη καλεῖται. M μεταφορικῶς εἶπε χνόας τὰ ἄκρα τῶν ποδῶν διὰ τὸ συνεχὲς κίνημα· χνόαι γὰρ κυρίως τὰ ἄκρα τοῦ ἄξονος τὰ ἐντιθέμενα τῇ χοινικίδι λέγεται.

Th 371h I 1 χνόας] ἤτοι πόδας περιφραστικῶς.

Th 371i A 2 BCHNcΞa χνόας] τὰς ἐξοχάς.

Th 371j PPdYa χνόας] τὰ ἄκρα ἤτοι τοὺς πόδας.

Th 371k θT χνόαι λέγονται αἱ τῶν τροχῶν χοινικίδες ἤγουν αἱ μέσον τῶν τροχῶν ὠπαὶ ἐν αἷς ὁ ἄξων εἰσβάλλεται.

Th 371l A 2 Ξa καὶ μὴν ἄνα ξ· καὶ μὴν αὐτὸς ὁ Ἐτεοκλῆς ἐπείγεται, ἀκουσόμενος τὰ παρὰ τοῦ ἀγγέλου λεγόμενα ὡς ταῦτα ἀρτίως ἀκουσόμενος, ὥστε κολλῆσαι τῇ διανοίᾳ ἢ τοῖς ὠσὶν ἀκούσαντα.

Th 372-373a M καὶ μὴν ἄναξ ὅ δ ’ αὐτό ς· ὅδε τὸ τέκος τοῦ Οἰδίποδος εἶσι καὶ εἰσέρχεται μαθεῖν τὸν λόγον τοῦ ἀγγέλου τὸν ἀρτίκολλον, ἤτοι τὸν ἄρτι τοῦ εἱρμοῦ καὶ τῆς ἐπιπλοκῆς καὶ τῆς κολλήσεως παρὰ τοῦ ἀγγέλου δραξάμενον.

Th 372-373b κατὰ τὸ μέρος γὰρ καὶ μέρος ὄντα διακεχωρισμένα τὰ παρ’ αὐτοῦ θεαθέντα τῆς διηγήσεως οὗτος δραξάμενος τὰ διακεχωρισμένα εἰς ἓν συνῆψε καὶ οἱονεὶ ἓν καὶ ὡς σειρὰν τῇ προσκολλήσει τῆς διηγήσεως τὰ κατὰ μέρος πεποίηκεν ἅπαντα. ἄλλοι δὲ τὸ ἀρτίκολλον οἷον ἄρτι τὸν Ἐτεοκλῆν ἀκουσόμενον ὥστε κολλῆσαι τῇ διανοίᾳ ἢ τοῖς ὠσὶν ἀκούσαντα. BCHNcNdP 2 PdSjVWXaYYaYb ἡμιχόριον. [5]

Th 372a BX 2 ἄναξ] ὁ Ἐτεοκλῆς.

Th 372b HaPPd ἄναξ] ὁ βασιλεύς.

Th 372c TYa ὅδ’] δεικτικῶς.

Th 372d BH ὅδ’] + οὗτος δεικτικόν.

Th 372e T τόκος] ἤγουν ὁ υἱός.

Th 372f T εἶ ς ’ ἀρτίκολλο ν· ἤγουν πορεύεται εὐθέως κολληθῆναι καὶ ἑνωθῆναι τοῖς λόγοις τούτου ἤτοι ἀκοῦσαι τούτους.

Th 373a T εἶς’] ἔρχεται.

Th 373b CHaI 2 NaPPdQR 1 εἶς’] εἰσέρχεται.

Th 373c BDPVYa εἶς’] πορεύεται.

Th 373d A 2 DHθTXXcYaYbΞa ἀρτίκολλο ν· νέον.

Th 373e ἢ σύγκολλον τῇ αὐτοῦ ἐξελεύσει ἢ ἀρτίως κολληθησόμενον τῇ αὐτοῦ διανοίᾳ ἢ τοῖς ὠσίν. I 1 〈ἀρτίκολλον〉 ] ἐν συναφῇ ἁρμόδιον ἢ τὸν ἀρτίως κολλώμενον.

Th 373f M ἀρτίκολλον] τὸν συγκεκολλημένον πρόσφατον ἢ τοὺς ἄρτι κολληθέντας τῷ ἀγγέλῳ.

Th 373g BH ἀρτίκολλον] νέον.

Th 373h HP ἀρτίκολλον] πρόσφατον.

Th 373i PPdQR 1 ἀρτίκολλον] νεαρόν.

Th 373j PQ ἀρτίκολλον] κεκολλημένον.

Th 373k DNcXc ἀρτίκολλον] τὸν νέον, ἤτοι τὸν ἄρτι γεννηθέντα.

Th 373l HaNa ἀρτίκολλον] ἤγουν εὐθέως κολληθῆναι καὶ ἑνωθῆναι τοῖς λόγοις τούτου ἤγουν ἀκοῦσαι τούτους.

Th 373m

Eulogikon public reading copy · View original HTML at eulogikon.org

FFcLh ἀρτίκολλον] ὁλόκληρον.

Th 373n θΤ + ἀρτίκολλο ν· ἄρτι κολληθέντα καὶ ἁρμοσθέντα ἤγουν νεωστὶ γεγονότα.

Th 373o Τ ἀρτίκολλο ν· ὁλόκληρον.

Th 373p κόλλος γὰρ ὁ συντετελεσμένος καὶ ὁλόκληρος λόγος. ἢ ἀρτίκολλον τὸ ἄρτι κολληθὲν καὶ συντεθέν. Α 2 Ξa ἀρτίκολλον] ὁλόκληρον, νεαρόν, πρόσφατον.

Th 373q A 2 Ξa μαθεῖν] [μαθη]σόμενος ὤφειλε εἰπεῖν· ὡς δὲ ποιητὴς εἶπε [ μαθ ]εῖν ἄδειαν ἔχων.

Th 373r Nb ἢ στικτέον εἰς τὸ μαθεῖ ν· τὸ δὲ ἑξῆς οὕτως· καὶ τοῦδε καὶ τούτου τοῦ ἀγγέλου ἡ σπουδὴ οὐκ ἀπαρτίζει καὶ ἑδράζει καὶ ἵστησι τὸν οἰκεῖον πόδα, ἀλλ' ἐκκρεμῆ τοῦτον ἐπιφέρει καὶ ἄστατον.

Th 373-374 P 2a ἡ σπουδὴ οὐκ ἐᾷ τὸν πόδα πατεῖν εἰς γῆν ὥστε καὶ ἴχνος ποιεῖν· παρὰ τὸ (Ψ 504—505) οὐ δ ' ἔτι πολλὴ γίνεται ἁρματοτροχιὴ κατόπισθε ν· ἢ ἡ τούτου σπουδὴ οὔπω τέλος ἔχει ἀλλ' ἔτι γίνεται· τὸ δὲ γινόμενον οὐκ ἀπήρτισται.

Th 374a I 1 σπουδὴ δὲ καὶ τοῦδ (ε)· ἡ τούτου δὲ σπουδὴ οὔπω τέλος ἔχει, ἀλλ' ἐπείγεται· τὸ γὰρ ἀπηρτισμένον καὶ τέλος ἔχει μεθ' ὃ οὐκ ἄλλο πρακτέον.

Th 374b Μ ἡ σπουδὴ τοῦ ἀγγέλου οὔπω τέλος ἔχει, ἀλλ' ἐπείγεται· τὸ γὰρ ἀπηρτισμένον καὶ τέλος ἔχει.

Th 374c Ya τὸ δὲ σπουδὴ δὲ καὶ τοῦδ ε· ἔοικε, φησί, καὶ ὁ ἄγγελος ἐκ τῆς ἄγαν ἐπιφαινομένης σπουδῆς μὴ ἡδρασμένον ἔχειν τὸν πόδα αὐτοῦ, ἀλλ' ἐκκρεμῆ τοῦτον ἐπιφέρειν καὶ ἄστατον.

Th 374d BHI 2 NcP 2 PdSjVWY YaYb τοῦδ'] τοῦ Ἐτεοκλέους.

Th 374e A 2 FdHHaNaYTΞa οὐκ ἀπαρτίζει] ἀλλὰ κινεῖ ταχέως.

Th 374f NaP ἀπαρτίζει] ἰσχυρῶς ἵστησι, τελειοῖ ἢ ἱστᾷ εἰς ἕνα τόπον.

Th 374g BH ἀπαρτίζει] ἵστησι.

Th 374h PPdR 1 SjXYaYb ἀπαρτίζει] ἑδράζει.

Th 374i PPdR 1 ἀπαρτίζει] ἑδραιοῖ.

Th 374j CDHaI 2 XcYa ἀπαρτίζει] τελειοῖ.

Th 374k A 2 CHaSjYbΞa ἀπαρτίζει] ἄρτιον καὶ ὁλόκληρον ποιεῖ καὶ εἰς τὸ καθεστηκὸς ἄγει.

Th 374l θΤ πόδα] ἴχνος.

Th 374m CSjYb λέγοι μ ' ἂ ν· εἴσθεσις διπλῆς καθόλου ἀμοιβαίας περιόδους ἔχουσα καὶ μονοστρόφους ἑπτά.

Th 375-416a οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι· τὰ δὲ καθ' ἑκάστην περίοδον τοῦ χοροῦ κῶλά εἰσιν ἀντισπαστικά. ἐν ἐκθέσει δὲ συνεχής ἐστι διπλῆ μερική. εἰσὶν οὖν τῆς παρούσης περιόδου στίχοι τρίμετροι ἀκατάληκτοι μβ' ὧν τελευταῖος (416)· εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρ υ. F pc ἡμέτερον + λέγοι μ ' ἂ ν· αἱ μονοστροφικαὶ αὗται καὶ συστηματικαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων μβ' ὧν τελευταῖος (416)· εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρ υ. [5]

Th 375-416b ἐπὶ ταῖς ἀποθέσεσιν ἑκάστης περιόδου παράγραφος. Τ λέγοι μ ' ἂν εἰδὼς εὖ τὰ τῶν ἐναντίω ν· ὁ ἄγγελος ὁ παρὰ τοῦ Ἐτεοκλέους ἀποσταλεὶς κατάσκοπος τῶν ἐναντίων ἐλθών φησι· λέγοιμ' ἂν πάντα τὰ τῶν ἐναντίων, καλῶς ταῦτα γινώσκων πῶς τε ἕκαστος ἔλαβε κλῆρον ἐν ταῖς πύλαις.

Th 375-382 ἐπειδὴ γὰρ ἑπτάπυλος ἦν ἡ πόλις τῶν Θηβαίων, κλήρους ἔλαβον οἱ πρώτιστοι τῶν ἄλλων στρατηγοὶ τῶν Ἀργείων ποία ἂν πύλη λάχοι ἑκάστῳ. ἰδὼν οὖν ἅπαντα ἔρχεται ἀπαγγέλλων ταῦτα καί φησιν ὅτι Τυδεὺς μὲν ἄρτι βρέμει καὶ ἠχεῖ ὀργίλον καὶ μανικὸν πνέει πρὸς ταῖς πύλαις ταῖς Προιτίσιν· αἱ γὰρ οὕτω καλούμεναι πύλαι ἔλαχον αὐτῷ. ὁ δὲ Ἀμφιάραος ὁ μάντις οὐκ ἀφίησιν αὐτὸν περᾶν τὸν Ἰσμηνὸν ποταμόν, λέγων ὅτι οὐ καλὰ θύματα γίνεται. ὁ δὲ

Τυδεὺς μαινόμενος βοᾷ καὶ ἐκμαίνεται ὥσπερ ὁ δράκων τῷ τοῦ ἡλίου ὑπεκκαύματι—τότε γὰρ μάλιστα ἐκμαίνεται—, θένει δὲ καὶ τύπτει ἐν ὀνείδει ἤτοι βάλλει ὀνειδισμοῖς τὸν μάντιν τὸν Οἰκλείδην καὶ τὸν υἱὸν τοῦ Οἰκλέος τὸν Ἀμφιάραον. BCDHNcNdP 2 PdSjVWXaXcYYaYb εἰδὼς εὖ λέγοιμί σοι ἄν. [10]

Th 375a M λέγοιμ’ ἂν] ταῦτα.

Th 375b BR 1 λέγοιμ’ ἂν] + εἴποιμι ἂν ἢ λέγω ἤδη.

Th 375c T εἰδὼς] γινώσκων.

Th 375d BHaTVYa εἰδὼς] μαθών.

Th 375e CSjXcYb εἰδὼς] γνωρίσας.

Th 375f YaX 2 εὖ] καλῶς.

Th 375g BHaT εὖ] ἀκριβῶς.

Th 375h CSjVYb εὖ] ἐπισταμένως.

Th 375i SjYb τῶν ἐναντίων] τῶν πολεμίων.

Th 375j A 2 HaYaΞa τῶν ἐναντίων] + τῶν πολεμίων ἡμῶν.

Th 375k T εἴληχε] ἔλαχε.

Th 376a A 2 BHVYaΞa εἴληχε] ἐκληρώσατο.

Th 376b CFdI 2 OSjTYb εἴληχε] ἔλαβε.

Th 376c HaPSjX 2 Yb πάλον] κλῆρον.

Th 376d A 2 BCHHaI 2 LcNaOPPdQTYYaYbΞa Τυδεὺς μὲν ἤδ (η)· αἰδεσθεὶς τὰ Ὁμηρικὰ ἐγκώμια πρῶτον αὐτὸν καταλέγει ὁ Αἰσχύλος.

Th 377a I 1 M περὶ τοῦ Τυδέως.

Th 377b T Τυδεὺς] + οὗτος Οἰνέως ὢν υἱὸς σύγγαμβρος ἦν Πολυνείκους.

Th 377c T πύλαισι] στῆναι.

Th 377d A 2 Ξa Προιτίσιν] Προιτὶς ὀξυτόνως.

Th 377e M Προιτίσι] οὕτω καλουμέναις ἀπὸ Προίτου τινός.

Th 377f BPPdYa Προιτίσι] βασιλεὺς τοῦ Ἄργους ὁ Προῖτος.

Th 377g NaP Προιτίσι] ταῖς ἀπὸ τοῦ Προίτου.

Th 377h CHI 2 OQθTV βρέμει] ἀλαζονεύεται.

Th 378a BCDHPPdYa βρέμει] ἠχεῖ.

Th 378b BCFdHaLcNaVXc βρέμει] μαίνεται, ὁρμᾷ.

Th 378c θT βρέμει] ὁρμᾷ.

Th 378d A 2 Ξa πόρον] ποταμόν.

Th 378e BHNaPV πόρον] τὸν τοῦ Ἰσμηνοῦ ποταμόν.

Th 378f PY πόρον] + ἤγουν τὸν τοῦ Ἰσμηνοῦ ποταμοῦ, τουτέστι τὸν Ἰσμηνὸν περιφραστικῶς.

Th 378g T ἐᾷ] τὸν Τυδέα.

Th 378h PPdR 1 T ἐᾷ] ἀφίησι.

Th 378i CHaPW περᾶν] διελθεῖν.

Th 378j T ὁ μάντις] ὁ Ἀμφιάραος.

Th 379a A 2 BCDHHaNaPPdQR 1 θTWXXc YaYbΞa ὁ μάντις] ὁ Ἀμφιάραος κατ’ ἐξοχήν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 379b I 1 τὰ σφάγια γὰρ καλὰ οὐκ ἐγένοντο, ἀλλὰ βλάβην ἡμῖν δεικνύουσιν.

Th 379c X σφάγια] μαντεῖαι.

Th 379d BHPPdR 1 σφάγια] τὰ μαντεύματα.

Th 379e CXcY σφάγια] τὰ θύματα.

Th 379f HaNaNcPθTWYaYb γίνεται] ἀποβαίνει.

Th 379g HaNb καλά] περὶ τούτων δηλονότι ἢ καὶ τῶν ἄλλων.

Th 379h T μαργῶν] μαινόμενος.

Th 380a A 2 BCHHaI 1 NaNcPPdR 1 θTVXcYa YbΞa μάχης] πολέμου.

Th 380b BPPd λελιμμένος] ἐπιθυμῶν παρὰ τὸ λίπτω.

Th 380c I 1 M λελιμμένος] ἐπιθυμῶν.

Th 380d A 2 BCDHHaNaNcPPdR 1 θTVXcYa YbΞa λελιμμένος] ἐπιθυμίαν ἔχων.

Th 380e NbX κατὰ τοῦτον γὰρ τὸν καιρὸν εἰώθασιν ἐξέρχεσθαι τῶν οἰκείων καταδύσεων ἐπὶ τὸ πλεῖστον τὰ ἰοβόλα τῶν θηρίων καὶ συρίττειν· 〈.

Th 381a ..〉 οὐ γὰρ κλαγγὴ ἐπὶ τούτου λέγεται ἀλλ' ἐπὶ γεράνων καὶ ἀετῶν. I 1 τότε γὰρ μάλιστα μέμηνεν.

Th 381b M λέγεται ὡς ὁ δράκων κατὰ μεσημβρίαν βοᾷ καὶ παρευθὺς οὐδεὶς τῶν ἄλλων ὄφεων φέρει τὸν αὐτοῦ συριγμόν, ἀλλὰ πάντες εὐθέως γίνονται ἀφανεῖς.

Th 381c B κατὰ γὰρ τὸ μέσον τῆς ἡμέρας συμβαίνει τὸν δράκοντα βοᾶν ἀπὸ τῆς δίψης καὶ τοῦ καύματος.

Th 381d DWYa φύσει γὰρ ψυχρὸς ὢν ὁ ὄφις ἐν μεσημβρίᾳ ἀκμάζοντος τοῦ ἡλίου θερμαινόμενος ἀκίνητός ἐστι καὶ συριγμοῖς προσέχει.

Th 381e θ μεσημβριναῖς] + ταῖς κατὰ μέσην ἡμέραν γεγενημέναις.

Th 381f T κλαγγαῖσιν] βοαῖς.

Th 381g A 2 CHaI 2 PPdXcΞa κλαγγαῖσιν] συριγμοῖσιν.

Th 381h BHR 1 κλαγγαῖσιν] κραυγαῖς.

Th 381i NaPd κλαγγαῖσιν] ἤχοις· ἔστι δὲ ποιὰ φωνὴ κυρίως ἐπὶ ὀιστῶν καὶ ἐπὶ γεράνων λεγομένη ὡς Ὅμηρός (Α 46) φησιν.

Th 381j θ κλαγγαῖσιν] ἤχοις.

Th 381k T ἡ κλαγγὴ ποιά ἐστι φωνὴ κυρίως ἐπὶ ὀιστῶν καὶ γεράνων λεγομένη ὡς Ὅμηρός (Α 46) φησιν· οὗτος δὲ καὶ ἐπὶ ὄφεως ταύτῃ ἐχρήσατο.

Th 381l φύσει γὰρ ψυχρὸς ὢν ὁ ὄφις ἐν μεσημβρίᾳ ἀκμάζοντος τοῦ ἡλίου θερμαινόμενος εὐκίνητός ἐστι καὶ συριγμοῖς προσέχει. T δράκων] ὄφις.

Th 381m NaPT θείνει] τύπτει.

Th 382a A 2 BCHHaI 2 M 2 OPPdQR 1 θTVXcYYaYb Ξa ὀνείδει] ἐν ὕβρει.

Th 382b HNaPYa ὀνείδει] ὀνείδεσι.

Th 382c HaX 2 ὀνείδει] ἤγουν ὀνειδίζει.

Th 382d T Οἰκλείδην] τὸν υἱὸν τοῦ Οἰκλέως.

Th 382e CDHaPPdθTV Οἰκλείδην] τὸν Ἀμφιάραον.

Th 382f BHM 2 NaNcOPPdQR 1 RbTYYa σαίνει ν· ἐκκλίνειν, ὑπούλως δέχεσθαι ἐκ μεταφορᾶς τῶν κυνῶν οἳ ὅταν σαίνωσιν οὐκ ἐνδείκνυνται ἀνδρειότητα.

Th 383a I 1 λείπει θέλοντα τὸν Ἀμφιάραον.

Th 383b BH σαίνειν] ἐκφεύγειν.

Th 383c A 2 BDHPΞa σαίνειν] ἐκκλίνειν.

Th 383d CDMPdR 1 RbXcYa σαίνειν] κολακεύειν.

Th 383e CHaNaQRb σαίνειν] παρασύρειν.

Th 383f HaRb σαίνειν] λέγων.

Th 383g BNb σαίνειν] φεύγειν.

Th 383h YYa τὸ σαίνειν ἢ ἀντὶ τοῦ εὐλαβεῖσθαι λέγε, ἐπειδὴ ὁ κολακεύων τινὰ εὐλαβούμενος καὶ αἰδούμενος τοῦτον τοῦτο ποιεῖ.

Th 383i ἢ ὡς ἡ σημασία δοκεῖ τῆς λέξεως, ἀντὶ τοῦ κολακεύειν καὶ σεμνολογεῖν, λέγοντος τοῦ Τυδέως πρὸς τὸν μάντιν· ὡς ὑπὸ τῆς ἀψυχίας σαίνεις καὶ κολακεύεις καὶ σεμνολογεῖς τὸν θάνατον προβαλλόμενος τοῦτον ἐφ’ ᾧ τὴν σὴν συσκιάσαι δειλίαν. θT σαίνειν] εὐλαβεῖσθαι ἢ σεμνολογεῖν.

Th 383j θT μόρον] τὸν θάνατον.

Th 383k A 2 TX 2 YaΞa ἀψυχίᾳ] δειλίᾳ.

Th 383l A 2 BCDHHaNaNcPPdR 1 θTVXcYYaYb Ξa ἀψυχίᾳ] ὑπὸ δειλίας.

Th 383m PX 2 τοιαῦ τ ’ ἀυτῶ ν· τοιαῦτα φωνῶν σείει καὶ κινεῖ τρεῖς κατασκίους λόφους· ἡ γὰρ τούτου περικεφαλαία τρεῖς λόφους ἦν ἔχουσα.

Th 384a CNd P 2 PdRbSjVWXaYa ἀυτῶν] βοῶν.

Th 384b BHNaNbPPdR 1 ἀυτῶν] φωνῶν.

Th 384c CNcPYYa ἀυτῶν] ὁ Τυδεύς.

Th 384d OXXc ἀυτῶν] κατὰ τοῦ μάντεως βοῶν.

Th 384e θT νεωτερικὸν τοῦτο, τοῦ κράνους ἡ τριλοφία, οἷον τῆς περικεφαλαίας τὸ χαίτωμα.

Th 384f εἶπε δὲ τοῦτο διὰ τὸ ἄγαν δεινόν, ὅπου φόβου ἐμποιητικὸν καὶ ὁ εἷς λόφος. I 1 νεωτερικὸν τοῦτο, τοῦ κράνους ἡ τριλοφία.

Th 384g M κατασκίους λόφους] σκιὰν ἔχοντας ἀπὸ τῆς ἐν αὐτοῖς οὔσης ἱππούρεως ἣν καὶ χαίτωμα καλεῖ ἐπειδὴ καὶ κράνος εἶπε· χαίτη γὰρ τῆς κεφαλῆς ἡ θρίξ.

Th 384h θT κατασκίους] σκιὰν ποιοῦντας.

Th 384i T κατασκίους] καλυπτομένους.

Th 384j A 2 Ξa κατασκίους] ἀπὸ ἱππείας χαίτης.

Th 384k A 2 Ξa λόφος ἐστὶν ἡ τρίχωσις τοῦ κράνους· ὃ δὴ κράνος καὶ φάλους ἔχει.

Th 384l φάλος δέ ἐστι μικρὸς ὀμφαλὸς οὗ ἐκδεῖται ὁ λόφος· τινὲς δὲ φάλοι ὀμφαλοί φασιν ἀσπίσι μικραῖς παραπλήσιοι καὶ κεῖνται κατὰ τὸ μέτωπον ὑπερέχοντες τῶν ὀφρύων καὶ ἀποσκιάζοντες τὴν τοῦ ἡλίου αὐγήν. CNdP 2 WXaYa λόφους] τὰ ἐξέχοντα μέρη τοῦ κράνους.

Th 384m DPPdYa λόφους] ἤγουν τὴν τρυφάλειαν.

Th 384n T εἶχον γὰρ αἱ τῶν παλαιῶν στρατηγῶν περικεφαλαῖαι ἐπάνω αὐτῶν ἐν τρισὶ τόποις ὀπάς τινας καὶ ἐν αὐτοῖς ὑποδεσμοὺς χαίτας ἱππίδες τρεῖς σκιάζοντας ἅσπερ χαίτωμα τοῦ κράνους εἴρηκε.

Th 384o A 2 Ξa σείει] κινεῖ.

Th 385a A 2 CHaPPdSjTVYaYbΞa κράνους χαίτωμα· οἷον τῆς περικεφαλαίας τὸ χαίτωμα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 385b M κράνους] περικεφαλαίας.

Th 385c CNaPPdSjTYb κράνους] τοῦ κασσιδίου.

Th 385d FdHLcPX 2 χαίτωμα δὲ ταύτης εἴρηκε διὰ τὸ δίκην χαίτης ἐπικαμπῶς πως ἵστασθαι ἄνωθεν, ἢ διὰ τὸ τρίχας ἐξ ἵππων χαίτης ἔχειν ἄνωθεν.

Th 385e ἀπὸ δὲ τῆς ἀσπίδος τούτου οἱ κώδωνες οἱ χαλκήλατοι καὶ οἱ ἀπὸ τοῦ χαλκοῦ κατεσκευασμένοι κλάζουσι φόβον, ἤγουν ἐν τῷ οἰκείῳ κωδωνισμῷ ποιοῦσι φόβον. CNdP 2 PdSjVWXaYa χαίτωμ’] τρίχωμα.

Th 385f NbV χαίτωμ’] ἤγουν τὰς ἐπ’ αὐτῷ τρίχας τῶν ἵππων.

Th 385g T τῷ] τῷ Τυδεῖ.

Th 385h A 2 FdLcPX 2 Ξa χαλκήλατοι] ἐκ χαλκοῦ κατεσκευασμένοι.

Th 386a A 2 CPTΞa κλάζουσι] ἠχοῦσιν.

Th 386b BCFdHHaNaNcSjVWX 2 YaYb κλάζουσι] ἀποτελοῦσι διὰ τοῦ ἤχου φόβον.

Th 386c PPd κλάζουσι] ἐκπέμπουσιν, ἠχοῦσιν.

Th 386d θ κλάζουσι] ἐκπέμπουσιν, ἠχοῦσιν ἤτοι ἠχοῦντες φόβον ποιοῦσιν.

Th 386e T κώδωνες] κωδώνια.

Th 386f BH φόβον] ποιοῦντες δῆλον.

Th 386g A 2 Ξa ἔχει δ ’ ὑπέρφρον σῆμα ἐ π ’ ἀσπίδος τόδ ε· ἔχει δὲ ἐπὶ τῆς ἀσπίδος ὑπέρφρον καὶ ὑπερήφανον σημεῖον τοῦτο κατεσκευασμένον, οὐρανὸν λάμποντα ἐν ἄστροις.

Th 387a ἡ λαμπρὰ δὲ πανσέληνος, ἤτοι τὸ φέγγος τὸ τιμιώτατον τῶν ἄστρων, πρέπει ἐν μέσῳ τῷ σάκει καὶ ἐν μέσῃ τῇ ἀσπίδι. τὸ δὲ νυκτὸς ὀφθαλμός ἐστιν ἐφερμηνευτικόν· τῆς νυκτὸς γὰρ ὀφθαλμὸς ἡ σελήνη ἐστὶν ὥσπερ καὶ τῆς ἡμέρας ὁ ἥλιος. CNdP 2 PdSjVW XaYa ὑπέρφρον] ὑπερήφανον.

Th 387b CDHaI 1 MOPPdRbTVXcYYa ὑπέρφρον] ὑπέρογκον.

Th 387c BHNc ὑπέρφρον] σοβαρόν.

Th 387d θT ὑπέρφρον] ἀλαζονικόν.

Th 387e A 2 FdDYaΞa σῆμ’] σημεῖον.

Th 387f A 2 CNcθTVYaYbΞa ἰστέον ὅτι ὁ Τυδεὺς ὑποκάτω μὲν τῆς ἀσπίδος κώδωνας εἶχε προσπεπηγμένους, ἵν’ ὄχλον παρέχῃ καὶ φοβερὸς δοκῇ τοῖς ἀκούουσιν, ἐπάνω δὲ τοιοῦτόν τι σημεῖον· ἡ μὲν ἐπιφάνεια πᾶσα μέλαινα ἦν, εἶτα κατεσκεύασε ἐν ἐπιχρύσῳ χαλκῷ πέριξ μὲν κύκλον ἀντ’ οὐρανοῦ, ἐντὸς δὲ δίκην ἄστρων φολίδας διισταμένας ἀπ’ ἀλλήλων, ἐν δὲ τῷ ὀμφαλῷ φολίδα ἑτέραν εὐρεῖαν ἐν ὁμοιώματι σελήνης ὁλοτελοῦς.

Th 387g προσβάλλοντος δὲ τοῦ ἡλίου τῷ τοιούτῳ ἐπιχρύσῳ χαλκῷ αἴγλη τις ἐντεῦθεν ἀπήντα τοῖς ὁρῶσιν καὶ οὐ προσβλέπειν ἠδύναντο. ὅτι δὲ ἦν πᾶσα ἡ ἐπιφάνεια μέλαινα δῆλον ἐκ τοῦ (400) καὶ νύκτα ταύτην ἣν λέγεις ἐ π ’ ἀσπίδο ς. θT φλέγονθ’] λάμποντα.

Th 388a BHaNcPPdRbVY φλέγονθ’] ἐκλάμποντα.

Th 388b A 2 HθTΞa τετυγμένον] κατεσκευασμένον.

Th 388c A 2 BCDHHaI 2 NaNbNcPPdQ θTVWYaYbΞa λαμπρὰ] λάμπουσα.

Th 389a A 2 TΞa πανσέληνος] ὁλόκυκλος.

Th 389b BDHPPd πανσέληνος] τελεία σελήνη.

Th 389c CXc πανσέληνος] ὁλόκυκλος σελήνη.

Th 389d

Eulogikon public reading copy · View original HTML at eulogikon.org

DTYa πανσέληνος] ἤγουν ὁλόκληρος.

Th 389e A 2 Ξa ἐν μέσῳ σάκει] ἐν τῷ μέσῳ τοῦ σάκους.

Th 389f MPPd ἐν μέσῳ σάκει] ἤγουν ἐν τῷ ὀμφαλῷ.

Th 389g A 2 θTΞa ἐν μέσῳ σάκει] τῷ σκουταρίῳ.

Th 389h VX 2 καὶ Πίνδαρος (Ol.

Th 390a I 7) τὸν ἥλιον ἄστρον φησίν. I 1 M οὐ καινὸν εἰ τὴν σελήνην ἄστρον ὁ Αἰσχύλος ἐνταῦθα καλεῖ· καὶ Πίνδαρος γὰρ (Ol.

Th 390b I 7) τὸν ἥλιον ἄστρον καλεῖ. DNdP 2 PdSjXaWYa πρέσβιστον] κρεῖττον ἤτοι τὴν ὁλότητα τῆς σελήνης.

Th 390c BHNc πρέσβιστον] κρεῖττον.

Th 390d HaRbWXc πρέσβιστον] ὑπέρτατον.

Th 390e θT πρέσβιστον] τὸ τιμιώτατον.

Th 390f A 2 NaΞa νυκτὸς ὀφθαλμὸς] ἐφερμηνευτικόν.

Th 390g BH νυκτὸς ὀφθαλμὸς] ὀφθαλμὸς γὰρ τῆς νυκτὸς ἡ σελήνη ὥσπερ τῆς ἡμέρας ὁ ἥλιος.

Th 390h T πρέπει] λάμπει.

Th 390i BCDHI 1 NcPPdQθTWXcYYaYb ἐπανάληψις.

Th 391a BHNc τοιαῦτ’ ἀλύων καὶ φωνῶν ταῖς ὑπερκόμποις καὶ κενοδόξοις σαγαῖς καὶ πανοπλίαις βοᾷ παρὰ τοῖς χείλεσι τοῦ Ἰσμηνοῦ ποταμοῦ· τὸ δὲ ἑξῆς οὕτως· ἀσθμαίνει, ὡς ἵππος πολεμιστὴς σάλπιγγος ἀκούων, ἐπιθυμῶν πολέμου, εἴργεται πρὸς τοῦ ἐπιβάτου.

Th 391b τὸ δὲ ἵππος ὡς κατασθμαίνων μένει ἀντιστροφή ἐστιν ἀντὶ τοῦ ὡς ἵππος. CNdP 2 PdSjVWXaYa ἀλύω γίνεται κατ’ ἐπίτασιν τοῦ α καὶ τοῦ λύω· οἱ γὰρ χαίροντες λελυμένην ἔχουσι τὴν ψυχὴν ἐκ τῶν καλῶν. [5]

Th 391c CDNdXaYa ἀλύω ν· χαίρων, οἷον ἐκλελυμένος· καὶ Ὅμηρος (ς 333)· ἦ ἀλύεις ὅτι Ἶρον ἐνίκησα ς.

Th 391d πολλὴ δὲ ἡ χρῆσις παρὰ Πλουτάρχῳ. I 1 ἀλύω τὸ χαίρω, ὡς καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ (ς 333)· ἦ ἀλύεις ὅτι Ἶρον ἐνίκησας 〈τὸν〉 ἀλήτη ν.

Th 391e γίνεται δὲ ἀπὸ τοῦ ἀλέα ὃ δηλοῖ τὴν θέρμην. Pd ἡμέτερον· + τοιαῦτά τινα Τυδεὺς ἐδόκει πρὸς τὴν πόλιν διὰ τοῦ τῆς ἀσπίδος αἰνίγματος φθέγγεσθαι· ὁρᾶτε τήνδε τὴν νύκτα καὶ τὴν ἐν αὐτῇ σελήνην ἀστράπτουσαν καὶ τὸν τῶν λοιπῶν ἀστέρων χορόν· οὕτως ὑμεῖς μὲν ἀμαυρωθήσεσθε ἡττηθέντες καὶ πορθηθέντες καὶ σκότος ὑμᾶς καλύψει, ἡμεῖς δ’ ἐκλάμψομεν πορθήσαντες καὶ τρόπαια στήσαντες καθ’ ὑμῶν. [5]

Th 391f T ἀλύων] τὸ α κατ’ ἐπίτασιν.

Th 391g BH ἀλύων] γαυρούμενος.

Th 391h BHI 2 Nc ἀλύων] βοῶν.

Th 391i CHNaXc ἀλύων] χαίρων.

Th 391j HM 2 OPYaYb ἀλύων] ἡ χρῆσις ἐν Ὀδυσσείᾳ καὶ παρὰ Πλουτάρχῳ.

Th 391k PPd ἀλύων] φωνῶν.

Th 391l I 2 RbV ἀλύων] ἀδημονῶν, δυσχεραίνων ὅτιπερ οὐκ ἐᾷ ὁ μάντις περᾶν.

Th 391m θT ἀλύων] ἀδημονῶν.

Th 391n A 2 NaSjYbΞa ὑπερκόμποις] ταῖς ἀλαζονικαῖς.

Th 391o BRbSjYaYb ὑπερκόμποις] ὑπέρφροσιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 391p T σαγαῖς] πανοπλίαις.

Th 391q A 2 BCHI 2 M 2 NaNcPPdθTVXcY σαγαῖς] ὁπλίσεσι.

Th 391r HaP ποταμίαις] ἤγουν τοῦ Ἰσμηνοῦ.

Th 392a CPdSjYaYb παρ’ ὄχθαις] ἤγουν παρὰ τοῖς χείλεσι τοῦ Ἰσμηνοῦ.

Th 392b PTV ἐρῶν] ἐπιθυμῶν.

Th 392c BHaI 2 PTYaYb ἐρῶν] ἐφιέμενος.

Th 392d CPSjYb ἵππος χαλινῶ ν· οὕτως ἀσθμαίνει καὶ σπεύδει, ὡς καὶ ἵππος πολεμιστὴς σάλπιγγος ἀκούων καὶ ἐπιθυμῶν πολέμου εἴργεται πρὸς τοῦ ἐπιβάτου.

Th 393-394a I 1 M παρήχησις.

Th 393-394b T ἵππος] πολεμιστής.

Th 393a T χαλινὸν] κατασθμαίνει δηλονότι.

Th 393b T κατασθμαίνων] πηδῶν.

Th 393c BDOYa κατασθμαίνων] σπεύδων.

Th 393d BCPPdYa κατασθμαίνων] φριμάσσων.

Th 393e HaV κατασθμαίνων] καταφρυαττόμενος.

Th 393f θT κατασθμαίνων] μαινόμενος.

Th 393g A 2 Ξa μένει] ἵσταται.

Th 393h A 2 NbOPPdQΞa μένει] κρατεῖται.

Th 393i PPd μένει] ἐν δυνάμει.

Th 393j CPY μένει] ἐκδέχεται τὸν πόλεμον ὁ Τυδεύς.

Th 393k θT ὅστις] ὁ ἵππος.

Th 394a B ac CHHaNcTVXcY βοὴν] ἀκούσας.

Th 394b DO ὁρμαίνει] κινεῖται προθυμούμενος.

Th 394c BHHaNaYa ὁρμαίνων] ὁρμῶν.

Th 394d PPdT ὁρμαίνει] ὁρμᾷ.

Th 394e I 2 Ya ὁρμαίνων] σφαδάζων.

Th 394f θT ὁρμαίνει] ταράττεται.

Th 394g Ξa μένων] ὁ προθυμῶν.

Th 394h DH μένων] καρτερῶν.

Th 394i CNcW μένει] ἐκδέχεται.

Th 394j θT τί ν ’ ἀντιτάξει ς· ἀντὶ τοῦ τίνα, ὦ ’Ετεόκλεες, ἀντιπαρατάξεις καὶ ἀντιστήσεις τούτῳ ἀντίμαχον; τίς βέβαιος καὶ ἀξιόχρεως— τοῦτο γὰρ δηλοῖ τὸ φερέγγυος —προΐστασθαι τῶν τοῦ Προίτου πυλῶν λυθέντων τῶν κλείθρων ἤτοι ἀνοιχθέντων τῶν πυλῶν; ἢ τὸ φερέγγυος οὕτως ῥητέον· τίνα ἀντιτάξεις τούτῳ ὥστε προΐστασθαι τῶν τοῦ Προίτου πυλῶν λυθέντων τῶν κλείθρων ἤτοι ἀνοιγεισῶν τῶν πυλῶν; τὸ δὲ ἑξῆς· τίς φερέγγυος ἀντὶ τοῦ τίς φέρων τὸ ἵστασθαι αὐτοῦ πλησίον· γύη γὰρ λέγεται τὸ πλησίον. [5]

Th 395-396 CNdP 2 PdSjVWYa τί ν ’ ἀντιτάξει ς· τίνα οὖν ἀντιτάξεις τῷ Τυδεῖ; τίς ἄξιός ἐστιν προΐστασθαι τῆς ἐγγύτητος ταύτης; M τίν’] ἄνθρωπον.

Th 395b CH ἀντιτάξεις] ἀντιστήσεις.

Th 395c

NbP ἀντιτάξεις] ἀντιθήσεις.

Th 395d A 2 θTΞa τῷδε] τῷ Τυδεῖ.

Th 395e BDFdHNcPPdTYa Προίτου] ἐντεῦθεν δείκνυσιν ὅτι εἰς ταύτας Τυδεὺς τέτακται.

Th 395f θ λυθέντων] διαλυθέντων.

Th 396a BPPd λυθέντων] ἀνοιχθέντων.

Th 396b CDI 2 PRbVW λυθέντων] + ἤγουν ὅταν ὑπερισχύσας ἀνοίξῃ ταύτας ὁ Τυδεύς.

Th 396c T τὸ ἵστασθαι αὐτῷ πλησίον· γύη γὰρ λέγεται τὸ πλησίον.

Th 396d τὸ δὲ ἑξῆς· τίς φερέγγυος προστατεῖν καὶ ἔμπροσθεν ἵστασθαι τῶν πυλῶν τοῦ Προίτου; I 2 προστατεῖν] φρουρεῖν.

Th 396e BH προστατεῖν] φυλάσσειν, ὑπερμαχεῖν.

Th 396f A 2 θTΞa φερέγγυος] ἀξιόπιστος ἐγγυητής.

Th 396g M φερέγγυος] πιστός, ἐν ἑαυτῷ φέρων τὴν ἐγγύην.

Th 396h I 1 φερέγγυος] ἀξιόπιστος.

Th 396i BCHNcXcYYa φερέγγυος] ἀσφαλής.

Th 396j NaPPd φερέγγυος] βέβαιος.

Th 396k DVYa φερέγγυος] ἱκανός.

Th 396l FdNaNbP φερέγγυος] βέβαιος, ἀξιόχρεως.

Th 396m PRb φερέγγυος] ἀσφαλὴς καὶ ἀξιόχρεως.

Th 396n θT φερέγγυος] ἤγουν πιστός.

Th 396o DTYa φερέγγυος] στερεός.

Th 396p A 2 Ξa κόσμον] πανοπλίαν.

Th 397a BCDHNaPPdWYa κόσμον] καλλωπισμόν.

Th 397b CHaNa κόσμον] διακόσμησιν, καθόπλισιν.

Th 397c A 2 θTΞa τρέσαιμ’] φοβηθείην.

Th 397d HNaPPdRbWYa τρέσαιμ’] φοβηθῶ.

Th 397e BCXc τρέσαιμ’] δειλιάσαιμι.

Th 397f A 2 θTΞa οὐ δ ’ ἑλκοποιὰ γίνε ( τα ι)· ταῦτα παρὰ Ἀλκαίου (fr.

Th 398a Z 104 L.— P.)· οὐ τιτρώσκει τὰ ἐπίσημα ὅπλα οὐδὲ αὐτὰ καθ’ ἑαυτὰ δύναμιν ἔχει, εἰ μὴ ἄρα ὁ φέρων αὐτά, ἐὰν ᾖ ὁ γενναῖος. M οὐ δ ’ ἑλκοποι ά· ταῦτα παρ’ Ἀλκαίου (fr.

Th 398b Z 104 L.—P.) εἴρηται· οὐ τιτρώσκει τὰ ἐπίσημα ὅπλα οὐδὲ αὐτὰ καθ’ ἑαυτὰ δύναμιν ἔχει κἂν γενναῖος ᾖ. BHI 2 NcP 2 PdSjVWYYaYb οὐδ’] τὸ δὲ ἀντὶ τοῦ γάρ.

Th 398c DYa ἑλκοποιὰ] τραυματοποιά.

Th 398d HaNaNbPPdQVXc ἑλκοποιὰ] τραυμάτων ποιητικά.

Th 398e CθT σήματα] τὰ ἐπὶ τῶν ὅπλων σήματα.

Th 398f CD σήματα] τὰ σημεῖα.

Th 398g HaNaPV σήματα] τὰ ἐπὶ τοῖς ὅπλοις.

Th 398h PPd σήματα] + τὰ σημεῖα τὰ ἐν τοῖς ὅπλοις.

Th 398i A 2 TΞa λόφοι] τὰ ὑπερανεστηκότα τοῦ κράνους.

Th 399a CPPdYa δάκνους’] λυποῦσι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 399b HHaPθT δορός] μάχης, ἰσχύος.

Th 399c θT καὶ νύκτα ταύτη ν· καὶ νύκτα ταύτην ἣν λέγεις ἐπὶ τῆς ἀσπίδος κυρεῖν καὶ ὑπάρχειν, τάχα ἂν αὕτη ἡ νύξ τινι γενήσεται.

Th 400-405 οὕτως γὰρ εἰπεῖν ὤφειλεν· εἶπε δέ· τάχα ἂν ἡ ἄνοια μάντις τινὶ γένοιτο, καὶ διὰ τοῦτο πλὴν ἀμυδρῶς ἐκπληρῶν τὸ ὃ ἔφημεν. ἐπιφέρει δὲ ὥσπερ ἐξηγούμενος· εἰ γὰρ τῷ ἐπιφέροντι σῆμα τοῦτο τὸ ἐπίσημον, ἤγουν τῷ ἔχοντι ἐπὶ τῆς ἀσπίδος τὴν νύκτα ἐζωγραφημένην, ἐπ' ὀφθαλμοῖς πέσοι νύξ, ἤγουν καλυφθήσεται τῇ νυκτὶ τοῦ θανάτου, γένοιτο ἂν τοῦτο τὸ σῆμα ἐπώνυμον τῇ αὐτοῦ ἀναιρέσει. BCHNcNdP 2 PdSjVWXaYYaYb καὶ νύκτα ταύτην ἣν λέ ( γει ς)· ὁ νοῦς· ταύτην δὲ ἣν λέγεις εἶναι νύκτα ἐπὶ τῆς ἀσπίδος, τάχα προμαντεύεται τῷ φοροῦντι ὅτι χωρήσει ὑπὸ νύκτα. [5]

Th 400-404a ἐπιφέρει δὲ ὥσπερ ἐξηγούμενος· εἰ γὰρ θανόντι νὺξ ἐ π ' ὄμμασιν πέσο ι. M παροξυτόνως ὀφείλει ἀναγινώσκεσθαι ἡ ἀνοία ἀντὶ τοῦ ἄνοια, διὰ τὸ μέτρον ἐκτεταμένου Ἀττικῶς τοῦ α· ἔστι δὲ τὸ σχῆμα καινοπρεπές· ὁ δὲ νοῦς οὗτος· ταύτην ἣν λέγεις εἶναι νύκτα ἐπὶ τῆς ἀσπίδος, τάχα προμαντεύεται ὅτι χωρήσει ὑπὸ νύκτα ἤγουν ὑπὸ θάνατον ὁ ταύτην φορῶν. [5]

Th 400-404b ἐπιφέρει δὲ ὥσπερ ἐξηγούμενος· εἰ γὰρ θανόντι νὺξ ἐ π ' ὄμμασι πέσο ι. I 1 ἡ σύνταξις· τάχα ἂν καὶ ἴσως γένοιτο ἄν τινι, ἤγουν τῷ Τυδεῖ, ἡ ἄνοια μάντις καὶ προμηνύτριά τινος κακοῦ, ἣν λέγεις νύκτα ὑπάρχειν ἐπὶ τῆς ἀσπίδος ἐν τοῖς ἄστροις τοῦ οὐρανοῦ ἐκλάμπουσαν· ταύτην γὰρ ἄνοιαν καλεῖ ὡς ἀπονενοημένως καὶ δίχα νοῦ ἐνσημανθεῖσαν.

Th 400-402a θ ἡμέτερον· + οὕτως ὀφείλεις συντάσσειν τοῦτο· καὶ τὴν νύκτα ταύτην ἣν λέγεις κυρεῖν καὶ ὑπάρχειν ἐπὶ τῆς ἀσπίδος ἐν ἀνοίᾳ καὶ μωρίᾳ—ὑπὸ ἀνοίας γὰρ ἐνετυπώθη τῇ ἀσπίδι—, τάχα ἂν καὶ ἴσως γένοιτο μάντις τινί, ἤγουν τῷ Τυδεῖ τῷ φέροντι ταύτην.

Th 400-402b πῶς δὲ γενήσεται μάντις προϊὼν λέγει. οὕτω χρὴ γράφειν ἐν ἀνοίᾳ καὶ οὕτω συντάσσειν. τὸ δέ γε γράφειν ἡ ἄνοια πολλῆς τε ἀνοίας ἐστὶ μεστὸν καὶ τῆς τῶν μέτρων ἐπιστήμης μὴ γεγευμένον· βραχὺ γὰρ ἔχει τὸ α ἡ ἄνοια καὶ δῆλον ἀπὸ τοῦ τόνου. T + πρὸς τὸ λέγεις ἐστὶν ἡ αἰτιατική, οὐ πρὸς τὸ γένοιτ ο· εὐθεῖαν γὰρ τοῦτο ἀπαιτεῖ. [5]

Th 400a T νύκτα] ἤγουν τὴν σελήνην.

Th 400b CSjYb ἐπ' ἀσπίδος] + ἐνταῦθα τὸ κυρεῖν.

Th 400c T μαρμαίρουσαν] λάμπουσαν.

Th 401a BCNaQXcYa μαρμαίρουσαν] ἐκλάμπουσαν.

Th 401b θT κυρεῖν] + ὑπάρχειν ἐν ἀνοίᾳ.

Th 401c T τάχ'] ἴσως.

Th 402a CHaNaTVYa γένοιτο] ἡ νύξ.

Th 402b BT ἡ ἀνοία παροξυτόνως Ἀττικῶς ἀντὶ τοῦ ἄνοια διὰ δὲ τὸ μέτρον ἐξέτεινεν.

Th 402c ὁ δὲ νοῦς· τὰ ἐξ ἀνοίας τινῶν γενόμενα τάχα τῶν κακῶν αὐτοῖς ἔσται σύμβολα. M ἄνοια] ἀγνωσία.

Th 402d BC ἄνοια] εὕρηται καὶ ἐν ἀνοίᾳ τιν ί.

Th 402e F pc ἀνοίᾳ] + μωρίᾳ.

Th 402f T τινί] αὐτῷ τῷ Τυδεῖ Ἀττικῶς.

Th 402g BDHPPdTYa θανόντι] τῷ Τυδεῖ.

Th 403a XYYa θανόντι] αὐτῷ.

Th 403b PT νὺξ] θάνατος.

Th 403c CDNaPWXcYa νὺξ] σκότος.

Th 403d DNaPPdTWYa ἤγουν τῷ Τυδεῖ τῷ βαστάζοντι καὶ ἔχοντι ἐπὶ τῆς ἀσπίδος τὴν νύκτα ἐζωγραφημένην.

Th 404a BP τῷ—φέροντι] τῷ ἔχοντι, βαστάζοντι, ἤγουν τῷ Τυδεῖ.

Th 404b DPdYa τῷ—φέροντι] ἐκείνῳ.

Th 404c CXc τῷ—φέροντι] τῷ ἀνθρώπῳ.

Th 404d CNa σῆμ’] τὸ σημεῖον.

Th 404e TV ὑπέρκομπον] ἀλαζονικόν.

Th 404f PPdYa ὑπέρκομπον] αὔθαδες.

Th 404g A 2 CΞa ὑπέρκομπον] σοβαρόν.

Th 404h θT ὀρθῶς] ἀληθῶς.

Th 405a θTV ἐνδίκως] δικαίως.

Th 405b BHaNaNbVYa ἐπώνυμον] τῇ αὐτοῦ ἀναιρέσει.

Th 405c BHNc ἐπώνυμον] νυκτερινόν.

Th 405d NaPPd αὐτὸς] ὅτι φέρει ἐπὶ τῆς ἀσπίδος νύκτα καὶ τὴν πανσέληνον.

Th 406a M αὐτὸς] ὁ Τυδεύς.

Th 406b BNaPPd ὕβριν] τὴν ἀλαζονείαν.

Th 406c BDNaPPdTYa μαντεύεται] δηλοποιήσει.

Th 406d CSjYb ὅρα ὡς εἰκότως αἱρεῖται τοὺς ἀντιπάλους Ἐτεοκλῆς καὶ μαλ’ ἐναντίους οἷς ὁ ἄγγελος περὶ τῶν Ἀργείων διέξεισιν· ὁ μὲν γὰρ ὑπέρφρονας αὐτοὺς καὶ τὰ μεγάλα φυσῶντας ὑπ’ ἀνοίας φησίν, Ἐτεοκλῆς δὲ σώφρονας αὐτοῖς καὶ συνετοὺς ἀντιτάττει.

Th 407a θT κεδνὸν] ἔνδοξον, ἀγαθόν.

Th 407b DPPdYa κεδνὸν] κεδνὸς ἀπὸ τοῦ κενὸς εἶναι δόνου.

Th 407c CXc κεδνὸν] συνετόν.

Th 407d A 2 BNaθTVΞa Ἀστάκου τόκον] ἤγουν τὸν Μελάνιππον.

Th 407e BCHNcOPPdSjXcY YaYb τόκον] τὸν υἱόν.

Th 407f VY καλῶς δὲ ἀντέταξε τὸν μὴ τοῖς ἤθεσιν αὐτοῦ συμφωνοῦντα ἀλλὰ ἐναντίον.

Th 408-410 αἰσχύνης δὲ θρόνον αὐτὴν τὴν αἰδῶ ὀνομάζει· ὑπέρφρονας δὲ λόγους τοὺς ὑπερηφάνους φησίν, οἱονεὶ οὔτε ὑπερηφάνους λέγει ὡς ὁ Τυδεύς, ἀλλὰ μισεῖ τοὺς ὑπερηφάνους. BHNcP 2 PdSjVWYYaYb τόνδ’] τὸν Μελάνιππον.

Th 408a SjTYb ἀντιτάξω] ἀντιτεταγμένως στήσω.

Th 408b A 2 Ξa προστάτην] βοηθόν.

Th 408c BCHNcT προστάτην] ὑπέρμαχον.

Th 408d NaPPd πυλωμάτων] τῶν πυλῶν.

Th 408e BHNaPPdTV πυλωμάτων] ἤτοι τῶν πυργωμάτων.

Th 408f CXc μά λ ’ εὐγενῆ τε καὶ τὸν Αἰσχύ ( νη ς ) καλῶς ἀντέταξεν τὸν μὴ τοῖς ἤθεσιν αὐτοῦ συμφωνοῦντα ἀλλ’ ἀλλότριον.

Th 409-411 M τὸν Αἰσχύνης θρόνον] εἰδότα αἰσχύνεσθαι ἤγουν αἰδεῖσθαι.

Th 409-410a CSjYb ἤγουν οὐκ ἐθέλοντα ὑπὲρ ἄνθρωπον φρονεῖν ἵνα μὴ περιπέσῃ αἰσχύνῃ καταγωνισθείς.

Th 409-410b θT εὐγενῆ] γενναῖον.

Th 409a θT αἰσχύνης θρόνον] ἤγουν αὐτὴν τὴν αἰδῶ.

Th 409b PPd αἰσχύνης θρόνον] ἤγουν τὴν αἰδῶ.

Th 409c OQYaYb αἰσχύνης θρόνον] ἤγουν τὴν αἰσχύνην.

Th 409d T αἰσχύνης] αἰδοῦς.

Th 409e BHNcP ὑπέρφρονας λόγου ς· ἀντὶ τοῦ ὑπερηφάνους· οἷον οὔτε ὑπερήφανα λέγει ὡς ὁ Τυδεύς, ἀλλὰ καὶ μισεῖ τοὺς ὑπερηφάνους.

Th 410a M τιμῶντα] εὐλαβούμενον.

Th 410b BH στυγοῦνθ’] μισοῦντα.

Th 410c BCHaNaSjTVXcYaYb ὑπέρφρονας] ὑπερηφάνους.

Th 410d BDHNcPPdSjTVYaYb ὑπέρφρονας] ἀλαζόνας.

Th 410e CNaP ὑπέρφρονας] κενοδόξους.

Th 410f WYa αἰσχρῶν γὰρ ἀργό ς· ἀργός ἐστι τῶν κακῶν λόγων ἢ τῶν ἔργων· φιλεῖ δὲ τὸ μὴ εἶναι κακὸς ἢ τῷ τρόπῳ ἢ ὡς Ὅμηρος ἀντὶ τοῦ δειλός.

Th 411a I 1 M αἰσχρῶν] ἔργων κακῶν ἢ λόγων.

Th 411b DPPdWYa αἰσχρῶν] τῶν κακῶν λόγων.

Th 411c BH αἰσχρῶν] λόγων.

Th 411d HaPY αἰσχρῶν] ἀπὸ ἔργων.

Th 411e BM 2 ἀργὸς] καθαρός.

Th 411f BHNcWYa ἀργὸς] ἀμέτοχος.

Th 411g DPPdQθTW ἀργὸς] ἄπρακτος.

Th 411h A 2 CHaWXcΞa μὴ κακὸς] ἀλλὰ ἀνδρεῖος.

Th 411i A 2 Ξa κακὸς] δειλός.

Th 411j BCHI 2 M 2 PPdθTVYYaYb φιλεῖ γὰρ εἶναι ἀργὸς τῶν κακῶν, [οὐ] δειλὸς δέ.

Th 411k X φιλεῖ] εἴωθε.

Th 411l HaNa σπαρτῶν δ ’ ἀ π ’ ἀνδρῶν ῥίζω μ ’ ἀνεῖται ὧν Ἄρης ἐφείσατ ο· λέγεται ὅτι ὁ Ἄρης ἐνέσπειρε τῇ γῇ τοὺς ὀδόντας τοῦ δράκοντος καὶ εὐθέως ἄνδρες ἔνοπλοι τῆς γῆς ἀνεδόθησαν καὶ τοῦ σπείραντος κατεξανέστησαν πολεμοῦντες αὐτόν.

Th 412a οὗτος δὲ λίθον μέσον αὐτῶν εἰσπέμψας πρὸς ἔριν ἀλλήλων καὶ φόνον αὐτοὺς ἠρέθισεν, ἔνθα ὑπ’ ἀλλήλων ἀνῃρέθησαν, δέκα μόνον τινῶν ἐναπομεινάντων, οὓς ὁ Κάδμος μετὰ ταῦτα λαβὼν ἐν τάξει τούτους αὐτοῦ ἀπειργάσατο. BCDHNaNcNdP 2 PdRbSjV WXaXcYYaYb δράκων ἦν ἐν τῇ Δίρκῃ πηγῇ καὶ τοὺς κατερχομένους ἐκεῖσε ἔτρωγε. [5]

Th 412b Κάδμος δὲ τοῦτον τοῦ ζῆν ἀπεβάλετο καὶ τοὺς ὀδόντας αὐτοῦ εἰς σπορὰν ἔρριψε, καὶ οἱ γίγαντες ἀνεδόθησαν ὡς πλῆθος πολύ. θεασάμενος δὲ τούτους ὁ Κάδμος καὶ φοβηθεὶς ἔρριψε πέτραν μετὰ αὐτῶν, καὶ πόλεμος ἐκινήθη ἀφ’ ἑαυτῶν καὶ οὕτως ἠφανίσθησαν οὗτοι. μόλις δὲ τούτους ἐλεῶν ὁ Ζεὺς ἔσωσέ τινας ἀφ’ ὧν εἰσι καί τινες τῶν Θηβαίων. X ἡ περὶ τῶν γιγάντων ἱστορία ἐν Φοινίσσαις ἡμῖν Εὐριπίδου εἴρηται. [5]

Th 412c T σπαρτῶν] ἤγουν τῶν γιγάντων.

Th 412d LcTYa ἐφείσατο] φειδὼ ἔλαβεν.

Th 412e PPdTYa ἐφείσατο] ἠλέησεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 412f CHaNaSjVXYaYb ῥίζωμ’] ἡ ἀρχὴ τοῦ γένους αὐτοῦ δίδοται.

Th 413a DPPd ῥίζωμ’] ῥίζα.

Th 413b BYa ῥίζωμ’] ἀρχή.

Th 413c BCH ῥίζωμ’] γένος.

Th 413d M 2 V ἀνεῖται] ἀναδίδοται.

Th 413e CBFdHNbOY ἀνεῖται] ἀπολέλειπται.

Th 413f PQ ἀνεῖται] ἀνέφυσεν, ἀνεβλάστησεν ἢ καταλέλειπται.

Th 413g θT ἀνεῖται] ἀναβεβλάστηκε.

Th 413h A 2 Ξa κάρτα δ ’ ἔσ τ ’ ἐγχώριο ς· ἤγουν λίαν ἐξ ἔργων αὐτῶν ἀποδείξειεν ὅτι γνήσιον γέννημα τῆς πατρίδος ἐστὶ καὶ ἀπ’ ἐκείνων τῶν σπαρτῶν ἀνδρῶν κατάγεται.

Th 413-414 ἐν τοῖς κύβοις δὲ τὸ τοῦ πολέμου ἔργον ὁ Ἄρης κρινεῖ καὶ πῶς αὐτοῖς τὰ τοῦ πολέμου ἐξέλθοι δῆλα ποιήσειεν. BC HNcNdP 2 PdSjVWXaYYb κάρτα—ἐγχώριος] ἀκριβῶς αὐτόχθων. [5]

Th 413i θT κάρτα] κατὰ ἀλήθειαν.

Th 413j A 2 Ξa ἔστ’] φανήσεται.

Th 413k BH ἐγχώριο ς· γνήσιος πολίτης ἐκ τῶν σπαρτῶν, οὐ τῶν μετὰ Κάδμου ἐπηλύδων.

Th 413l M γνήσιος πολίτης ἐκ τῶν σπαρτῶν, οὐκ ἐκ τῶν τοῦ Κάδμου ἐπηλύδων.

Th 413m τοῦτο δέ φησι δηλῶν ὅτι μετὰ σπουδῆς πολλῆς καὶ ἐκ ψυχῆς ὅλης ἀντιστήσεται τῷ ἐχθρῷ τῶν οἰκείων κηδόμενος καὶ τῆς πατρίδος ὑπερμαχῶν. I 1 ἐγχώριος] ἐκ τῶν σπαρτῶν, οὐκ ἐκ τῶν Κάδμου ἐπηλύδων.

Th 413n D ἐγχώριος] ἐντόπιος.

Th 413o BPV ἐγχώριος] γνήσιος πολίτης.

Th 413p PPd ἔργον δ ’ ἐν κύ ( βοι ς)· ἐν τοῖς τοῦ Ἄρεως κύβοις κρινεῖ αὐτοὺς ὁ πόλεμος.

Th 414a M ἔργον] τὴν ἀνδρείαν ἐν ταῖς συμπλοκαῖς τοῦ πολέμου.

Th 414b BDHX ἔργον] τὴν τύχην τοῦ πολέμου.

Th 414c I 1 ἔργον] τὸν πόλεμον.

Th 414d CXc ἔργον] αὐτό.

Th 414e PPd ἐν κύβοις] ἐν τῷ πολέμῳ.

Th 414f PYa ἐν κύβοις] ἐν τοῖς ἀγῶσιν οὓς κύβους καλεῖ διὰ τὸ τῆς νίκης ἀμφίβολον.

Th 414g θT κρινεῖ] διαχωρίσει.

Th 414h CPPdSjYb δίκη δ ’ ὁ δαίμω ν· ἐν δίκῃ δὲ ἤτοι δικαιοσύνῃ ὁ δαίμων καὶ ὁ θεὸς κάρτα καὶ λίαν αὐτὸν προστέλλεται εἴργειν καὶ κωλύειν καὶ ἀποσοβεῖν τὸ πολεμικὸν δόρυ ἀπὸ τῆς τεκούσης μητρὸς ἤγουν τῆς μητρικῆς γῆς.

Th 415a BHNcP 2 PdSjVWYYb τὸ τῆς συγγενείας δίκαιον στέλλει αὐτὸν καὶ κινεῖ πρὸς μάχην.

Th 415b γράφεται δὲ καὶ δίκῃ δ ’ ὁ δαίμων ἢ διὰ τὸ ἀδίκως πολεμεῖσθαι παρὰ τῶν Ἀργείων ὑπολαμβάνει ἢ δι’ ἃ ἔφη ἤγουν τὸ [τὸν Τυδέα] ὑπερήφανον εἶναι, τὸν δὲ Μελάνιππον ταπεινὸν καὶ τὸ πᾶν τοῖς θεοῖς ἀνατιθέμενον οἷς οἱ θεοὶ χαίρουσιν. I 1 δίκη δ ’ ὁμαίμω ν· τὸ τῆς συγγενείας δίκαιον στέλλει αὐτὸν εἰς τὴν μάχην. [5]

Th 415c MPPd δίκη] δικαίως.

Th 415d BCDHPPdQY δίκη] ἐνδίκως.

Th 415e NbV ὁ δαίμων] ἡ τύχη.

Th 415f BHQ ὁ δαίμων] ὁ θεός.

Th 415g BCQT ὁ δαίμων] ὁ Ἄρης.

Th 415h NaPPd γράφεται καὶ ὁμαίμων καὶ ὁ δαίμων, καὶ πρὸς μὲν τὸ ὁμαίμων οὕτως ἐρεῖς· προπέμπει αὐτὸν δίκη ὁμαίμων, τουτέστιν ἐπειδὴ ὑπὲρ τῆς ἐνεγκούσης στρατεύει οἰκείως καὶ δικαίως στρατεύει.

Th 415i τὸ δὲ δαίμων προφανές ἐστιν· ὁ δαίμων γὰρ καὶ ἡ τύχη προπέμπει αὐτὸν ἐν δίκῃ ἢ ἡ δίκη ἡ θεά. θ ἡμέτερον· + ἀνάξιόν ἐστιν, οἶμαι, τοῦ ποιητοῦ τὸ τὴν δίκην εἰπεῖν τοῦ Μελανίππου ὁμαίμονα· διὸ ἁμαρτάνουσιν οἱ γράφοντες δίκη δ ' ὁμαίμω ν. [5]

Th 415j T προστέλλεται] προπέμπει.

Th 415k BHHaNcPPdθTVYaYb προστέλλεται] ἀποπέμπει.

Th 415l PXc προστέλλεται] πέμπει.

Th 415m A 2 PΞa εἴργειν] ἀπὸ τῆς τεκούσης μητρός.

Th 416a BCPdXc εἴργειν] ἤγουν ἀπὸ τῆς πατρίδος.

Th 416b BHNa εἴργειν] κωλύειν.

Th 416c BVYaYb εἴργειν] ἀποσοβεῖν.

Th 416d CSjXXcYb εἴργειν] ἀποδιώκειν.

Th 416e A 2 Ξa τεκούσῃ μητρὶ] ἀντίπτωσις.

Th 416f CDXcYa μὴ εἴπῃς τὸ τεκούσῃ ἀντὶ τοῦ τῆς τεκούσης, ἀλλ' ὥσπερ φαμὲν 'ἀφαιρῶ σοὶ τόδε' οὕτω καὶ 'εἴργω σοὶ τόδε'.

Th 416g θT τεκούσῃ μητρὶ] ἤγουν τῇ αὐτοῦ πατρίδι.

Th 416h T πολέμιον] τὸ πολεμικόν.

Th 416i BV στίχοι μβʹ.

Th 416j F pc ἀντισπαστικὰ κῶλα εʹ.

Th 417-421a τὰ δʹ τρίμετρα βραχυκατάληκτα, τὸ δὲ εʹ ἡμιόλιον. ἔχουσι δὲ καὶ ταῦτα καὶ τὰ ἑξῆς πάντα τοὺς πλείους τῶν ποδῶν καὶ πεντασυλλάβους καὶ ἑξασυλλάβους. διαλύονται γὰρ καὶ τῶν τετρασυλλάβων ποδῶν αἱ μακραὶ συλλαβαὶ εἰς δύο βραχέας. ἔοικε δὲ στροφῇ· ἔχει γὰρ καὶ ἀντίστροφον τὰ κῶλα τὰ ἑξῆς τοῦ χοροῦ. ἴσθι ὅτι οἱ χορίαμβοι οὐκ ἐν τάξει αὐτῶν κεῖνται, ἀλλὰ προστιθεμένης καὶ ἑτέρας συλλαβῆς γίνονται πεντασύλλαβοι καὶ ἀποτελοῦσιν ἐπιτρίτους· ὁμοίως καὶ οἱ λοιποί. F pc ὅμοια χρὴ εἶναι τοῖς ἑξῆς. [5]

Th 417-421b F pc στροφὴ κώλων εʹ.

Th 417-421c T ἡμέτερα + τὸν ἁμόν νυ ν· σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς καὶ στροφὴ κώλων εʹ.

Th 417-421d τὸ αʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, παίωνος πρώτου καὶ κρητικοῦ. τὸ βʹ ὅμοιον ἐξ ἀντισπάστου, ἐπιτρίτου δευτέρου καὶ ἀναπαίστου. τὸ γʹ ὅμοιον ἐκ παίωνος τετάρτου, διιάμβου καὶ κρητικοῦ. τὸ δʹ ὅμοιον δίμετρον ἀκατάληκτον ἐκ διιάμβων καθαρῶν δύο. τὸ εʹ ὅμοιον δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς ἐκ παίωνος τετάρτου καὶ βακχείου· εἰ δὲ βούλει ἔστω παιωνικόν. ἐπὶ τῷ τέλει παράγραφος καὶ δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου ἔξω νενευκυῖα, ἡ δὲ κατὰ τὸ τέλος ἔσω. T τὸν ἁμὸν νῦν ἀντίπαλο ν· ἀντὶ τοῦ ἐμὸν Δωρικῶς, τὸν τοῖς ἐμοῖς ἐχθροῖς ἐναντιούμενον εὐτυχεῖν οἱ θεοὶ δοῖεν ὅτι δικαίως πρόμαχος πόλεως ὄρνυται, ἤγουν προμαχεῖται τῆς πόλεως. [5]

Th 417-419 BCHNcNdP 2 PdSjVWXaYYaYb οὕτω καὶ ἐν τῷ ἑξῆς· μετὰ τὸν σκοπὸν καὶ τὸν Ἐτεοκλέα φθέγγεταί τι πρὸς τὸ πρᾶγμα ὁ χορός.

Th 417a I 1 ἁμὸν] Δωρικόν.

Th 417b BD ἁμὸν] Δωρικῶς.

Th 417c NaP ἁμὸν] + ἤγουν τὸν ἡμέτερον.

Th 417d T ἀντίπαλον] ἤγουν τὸν ἀντιπαλαμώμενον τοὺς ἐχθροὺς ἐμοῦ.

Th 417e BH ἀντίπαλον] τὸν ἀγωνιστικόν, τὸν ὑπὲρ ἐμοῦ ἀγωνιζόμενον καὶ ἀντιπαλαίοντα τοῖς ἐχθροῖς.

Th 417f DPPdYa ἀντίπαλον] τὸν Μελάνιππον.

Th 417g CPXc ἀντίπαλον] ἀνταγωνιστήν.

Th 417h NaHa ἀντίπαλον] ἀντίμαχον, σύμμαχον.

Th 417i SjYb ἀντίπαλον] + ἀντίμαχον, ἤγουν τὸν ὑπὲρ ἐμοῦ ἀνθιστάμενον.

Th 417j T ἀντίπαλον] τὸν ὑπὲρ ἐμοῦ ἀντιμαχόμενον τοῖς ἐχθροῖς.

Th 417k A 2 Ξa δοῖεν] παράσχοιεν.

Th 418a FdLc 〈ὡσ〉] ὅτι δικαίως προμάχεται τῆς πόλεως.

Th 418b M πόλεως] συνίζησις.

Th 418c F pc πρόμαχος] βοηθός.

Th 419a CHHaLcSjXYb ὄρνυται] διεγείρεται.

Th 419b BCHX ὄρνυται] ὁρμᾶται.

Th 419c LcNbPPdT ὄρνυται] ὁρμᾷ.

Th 419d θ τρέμω δ ’ αἱματοφόρου ς· τρέμω δὲ ἰδέσθαι καὶ ἰδεῖν τοὺς αἱματοφόρους τῶν ἀπολλυμένων πολιτῶν μου ὑπὲρ τῶν ἰδίων φίλων.

Th 419-421a BHNcNdP 2 PdRbSjVWXaYYaYb τὸ ἑξῆς· τρέμω ὑπὲρ τῶν φίλων.

Th 419-421b τινὲς δὲ τὸ ὑπὲρ ἀντὶ ἐπιτάσεως λέγουσι, ἵν’ ᾖ· ὑπερτρέμω ἰδεῖν αἵματα, φόνους, θανάτους τῶν φίλων ὀλλυμένων τοῖς ἐναντίοις. ἢ ἀντὶ τοῦ ὀλλύντων τοὺς ἐναντίους· τὸ παθητικὸν ἀντὶ ἐνεργητικοῦ. I 1 τρέμω] δέδοικα.

Th 419e CSjYb τρέμω] ὑπερτρέμω.

Th 419f H τρέμω] φοβοῦμαι.

Th 419g A 2 Ξa αἱματηφόρους] ᾑμαγμένους.

Th 419h CSjYb αἱματηφόρους] + διὰ σφαγῆς γεγενημένους.

Th 419i T 〈μόρουσ〉] οὓς ποιοῦνται ὑπὲρ τῶν φίλων πολιτῶν οἱ Θηβαῖοι.

Th 420a M μόρους] θανάτους.

Th 420b CTYa ὑπὲρ] ἡ ὑπὲρ {δὲ} περισσή.

Th 420c M φίλων] τῶν πολιτῶν.

Th 420d DPYa ὀλομένων] τῶν πολιτῶν.

Th 421a BPPd ὀλομένων] φθειρομένων.

Th 421b CTYa διπλῆς ἑτέρα περίοδος.

Th 422-451a οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λ′. F pc + τούτῳ μὲν οὕτω ς· αἱ μονοστροφικαὶ αὗται καὶ συστηματικαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων λ′ ὧν τελευταῖος (451)· λέ γ ’ ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότ α.

Th 422-451b ἐπὶ τῷ τέλει ἑκάστης περιόδου παράγραφος. T τούτῳ] τῷ Μελανίππῳ.

Th 422a BCDHHaMNaOPPdQXcYYa τούτῳ] τῷ συμμάχῳ.

Th 422b SjYb τούτῳ] τῷ γόνῳ τοῦ Ἀστακοῦ.

Th 422c A 2 Ξa οὕτως] ὡς εὔχῃ.

Th 422d θT εὐτυχεῖν] κατόρθωμα ἀγαθόν, τροπαιούχημα.

Th 422e A 2 Ξa περὶ τοῦ Καπανέως.

Th 423a T ὁ Καπανεὺς δὲ εἶχεν ἐν τῇ ἀσπίδι αὐτοῦ ἐζωγραφημένον γυμνὸν ἄνθρωπον κατέχοντα τῇ χειρὶ λαμπάδα ἀναπτομένην, οὐκ ἄλλο τι δηλοῦντος τοῦ σημείου ἀλλ' ἢ ὥσπερ ὁ γυμνὸς οὐ κώλυσιν ἔχει εἰς τὸ δραμεῖν, οὕτω καὶ ἡμεῖς ἀκώλυτοι καὶ χωρὶς ἐμποδίου ταύτην ἐμπρήσομεν, ἢ γυμνὴν αὐτὴν παντελῶς ἐργασόμεθα, ἔπειτα δὲ καὶ καύσομεν. [5]

Th 423b CNdP 2 PdSjVWXaYa Ἠλέκτρα θυγάτηρ τοῦ Ἄτλαντος ἥτις κατῴκησε πλησίον τῶν πυλῶν τούτων, καὶ οὕτως ἐκλήθησαν Ἠλέκτραι πύλαι.

Th 423c P 2a Ἠλέκτραισιν] ἀπὸ Ἠλέκτρας.

Th 423d BHRb Ἠλέκτραισιν] Ἠλέκτρα θυγάτηρ Ἄτλαντος.

Th 423e NaPd Ἠλέκτραισιν] ταῖς ἀπὸ Ἠλέκτρας καλουμέναις.

Th 423f θT Ἠλέκτραισιν] κατὰ τῶν πυλῶν τῆς Ἠλέκτρας.

Th 423g A 2 AbΞa εἴληχε] ἔλαβε κλῆρον.

Th 423h A 2 BRbYaΞa εἴληχε] κλῆρον.

Th 423i DNcY εἴληχε] ἐκληρώθη.

Th 423j NaP εἴληχε] διὰ κλήρου τέτακται.

Th 423k θT γίγας ὅ δ ' ἄλλο ς· πάνυ ῥητορικὸς ὁ Αἰσχύλος, ῥητορικὸν δὲ λέγω ὅταν τοῖς ῥήτορσι λόγος ἤτοι ἐπαινετικὸς ἢ ψεκτικὸς περί τινων δύο τοῦ μὲν πρώτου εἴπῃ ἔπαινον ἢ ψόγον, παραλείπῃ δὲ τοῦ 〈δευτέρου〉 ἔπαινον.

Th 424a πανηγυρικὸν δὲ καὶ δριμὺ περὶ τοῦ Τυδέως λέγων οὐκ εἶπεν ὅτι γίγας ἐστὶν 〈ἢ〉 γίγασιν ὅμοιος, Καπανέα δὲ ἐγκωμιάζων καὶ τὸ μέγεθος αὐτοῦ φησι γίγας ὅ δ ' ἄλλο ς. φαίνεται οὖν ὅτι ἐνέλιπεν ἐν τοῖς περὶ Τυδέως εἰπεῖν ὅτι γίγας ἐστὶν ἢ γίγασιν ὅμοιος. M πάνυ ῥητορικῶς ἐπὶ μὲν τοῖς περὶ Τυδέως ἐνέλιπεν εἰπεῖν ὅτι γίγας ἢ γίγασιν ὅμοιος, ἐνταῦθα δὲ λαθὼν παρέρριψε τοῦτο καὶ τὸν Τυδέα σεμνύνων καὶ ἐκκλίνων τὸν ἔλεγχον. [5]

Th 424b I 1 γίγας] ἀνδρεῖος.

Th 424c CSjVYb γίγας] ὑπέρσωμος.

Th 424d A 2 Ξa ἄλλος] οὗτος ὁ Καπανεύς.

Th 424e PRb πάρος λελεγμένου] ἤγουν τοῦ Τυδέως.

Th 424f BFdHMOPPdYYa πάρος λελεγμένου] τοῦ πρώην εἰρημένου.

Th 424g CRbSjYaYb πάρος] ἔμπροσθεν.

Th 424h BHaNa πάρος] πρότερον.

Th 424i TV λελεγμένου] εἰπόντος.

Th 424j HaNa λελεγμένου] λεχθέντος.

Th 424k T Τυδεύς τοι μικρὸς μὲν ἔην δέμα ς , ἀλλὰ μαχητής (Hom.

Th 425a E 801). M κόμπος] ἡ ἀλαζονεία.

Th 425b BDHRbYa κόμπος] ἡ ἔπαρσις.

Th 425c CHaNaT κόμπος] αὐτοῦ.

Th 425d θ κόμπος] ἡ αὐθάδεια.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 425e A 2 Ξa οὐ κατ᾽ ἄνθρωπον] ἀλλ᾽ ἄγριος.

Th 425f CXc οὐ κατ᾽ ἄνθρωπον] τουτέστιν οὐ προσήκουσαν ἀνθρώπῳ ἔχει ἀλαζονείαν, ἀλλ᾽ ὑπεράνθρωπον.

Th 425g PPd κατ᾽ ἄνθρωπον] + ἤγουν ὡς χρὴ ἀνθρώπους λογίζεσθαι.

Th 425h T κατ᾽ ἄνθρωπον] κατὰ τὴν αὐτοῦ φύσιν.

Th 425i A 2 Ξa φρονεῖ] διανοεῖται.

Th 425j A 2 Ξa πύργοις] + ἤγουν τῇ πόλει ἀπὸ μέρους.

Th 426a T πύργοις] τοῖς τείχεσι.

Th 426b A 2 Ξa ἡμέτερον· + ὅτε ἀναβιβάζεται ὀξεῖα, πάλιν ὀξεῖα ὀφείλει εἶναι, οὐ περισπωμένη γίνεσθαι· ἄτοπον γάρ.

Th 426c ὀξεῖα τοίνυν ὀφείλει τίθεσθαι καὶ ἐνταῦθα ἐπὶ τῷ δεί ν ' ἃ μὴ κράνοι τύχη καὶ ἐπὶ τῷ φή μ ' ἐγὼ καὶ τοῖς τοιούτοις. T μὴ κράνοι] εἴθε μὴ πληρώσαι.

Th 426d PPdRbYa κράνοι] τελειώσοι.

Th 426e BCHNaPθTXc ἐκπέρσειν] πορθήσειν.

Th 427a CHaSjTYb ἐκπέρσειν] εἰς τέλος ἀφανίσειν.

Th 427b A 2 Ξa φησιν] λέγει.

Th 428a CSjTYb φησιν] διατείνεται.

Th 428b A 2 Ξa οὐδὲ τὴν Διό ς· οὐδὲ τὸν τοῦ Διὸς σκηπτὸν εἰς γῆν κατενεχθέντα, ἢ αὐτὸν τὸν Δία φιλονεικήσαντα, ἐμποδὼν γενέσθαι αὐτῷ λέγει.

Th 428c M ἢ αὐτὸν τὸν Δία εἰς γῆν κατελθόντα πολέμου γεγονότος ἢ τὸν σκηπτὸν κατενεχθέντα λέγει.

Th 428d I 1 οὐδὲ τὴν Διὸς ἔρι ν· ἤτοι οὐδὲ τὴν ὀργὴν καὶ τὸν θυμὸν τοῦ Διὸς τῇ γῇ ἐπελθόντα φησὶν ἐκποδὼν σχεθεῖν καὶ κρατήσειν ἤτοι ποιήσειν μακρὰν τοῦτον τῆς πόλεως.

Th 428-429a BCHNcNdP 2 PdSjVWXaY YaYb τὸ οὐδὲ τὴν Διὸς ἔριν διπλῶς νόει· ἢ τὴν θεὰν Ἔριν τὴν θυγατέρα Διός, ἢ ἀντὶ τοῦ οὐδὲ τὸν Δία αὐτὸν ἐλθόντα ἐξ οὐρανοῦ καὶ ἐρίσαντα αὐτῷ δυνηθῆναι κωλῦσαι αὐτὸν μὴ πορθῆσαι τὴν πόλιν.

Th 428-429b θT ἔριν] ὀργήν.

Th 429a BCHNaNcSjVYaYb ἔριν] τὸν θυμόν.

Th 429b PPdXcYa ἔριν] τὸν κεραυνόν.

Th 429c DY ἔριν] τὴν μάχην.

Th 429d A 2 Ξa σκήψασαν] εἰς γῆν κατελθοῦσαν αὐτὸν σχήσειν.

Th 429e I 1 σκήψασαν] ἐπελθοῦσαν.

Th 429f BHNaNcPPdθTVYa σκήψασαν] ἐμπεσοῦσαν.

Th 429g CPSjYb ἐμποδὼν] ὡς ὁδῷ ἔπι οἰκία ναίων (Hom.

Th 429h Z 15). σημείωσαι ὡς τὸ ἐμποδὼν καὶ ἐπὶ τρισὶ γένεσι συντάσσεται. B ἐμποδὼν] ἤγουν καὶ γένηται ἐμπόδιον ἐμὸς ἡ δύναμις τοῦ Διός.

Th 429i X ἐκποδὼν] μακράν.

Th 429j BCHHaNaOVYa σχέθειν] αὐτόν.

Th 429k BCDHXc σχέθειν] κρατῆσαι.

Th 429l BHNa σχέθειν] κρατήσειν.

Th 429m DNcRbYa σχέθειν] κωλύειν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 429n CFdOSjYb σχέθειν] κωλύσειν αὐτὸν τῆς πορθήσεως.

Th 429o θT σχέθειν] καθέξειν αὐτόν.

Th 429p A 2 AbΞa τὰς δ’ ἀστραπὰς καὶ κεραυνίους βολὰς τοῦ Διὸς προσείκασε καὶ ὡμοίωσε μεσημβρινοῖς θάλπεσι, ἤτοι ἔφησε δύνασθαι φέρειν καὶ ὑπομένειν τὰς τοῦ Διὸς ἀστραπὰς καὶ τοὺς κεραυνοὺς ὥσπερ τὰς μεσημβρινὰς τοῦ ἡλίου φοράς, ἤτοι τὰ μεγάλα καὶ καυστικὰ καύματα.

Th 430-431a BDH NcP 2 PdVWXcYYaYb ὡς δυνάμενος φέρειν ἐπίσης τοῖς μεσημβρινοῖς θάλπεσι τὰς τοῦ Διὸς ἀστραπάς.

Th 430-431b I 1 ἀστραπὰς] αἷς ὁ Ζεὺς πρὸς τοὺς ἀσεβεῖς καὶ ὑπέρφρονας χρῆται.

Th 430a θT βολὰς] τὰς τρώσεις.

Th 430b BC μεσημβρινοῖσι] + τοῖς κατὰ μέσην τὴν ἡμέραν γεγενημένοις.

Th 431a T θάλπεσι] καύμασι.

Th 431b CPPdXc προσείκασεν] ὡμοίωσεν.

Th 431c BCFdHPQXcYa προσείκασεν] προσωμοίωσεν.

Th 431d θT προσείκασεν] ἀφωμοίωσεν.

Th 431e A 2 Ξa ἔχει δὲ σῆμ α· ἡ δὲ ἀσπὶς αὐτοῦ σημεῖον ἔχει ἄνδρα γυμνὸν λαμπάδα βαστάζοντα διὰ χερῶν.

Th 432a ἐν ταῖς χερσὶν αὐτοῦ ἀνθ’ ὅπλου οὖσα ἡ λαμπάς. M ἔχει δὲ σῆμ α· ἡ δὲ ἀσπὶς αὐτοῦ σημεῖον ἔχει ἄνδρα γυμνὸν λαμπάδα βαστάζοντα ἐν ταῖς χερσὶν αὐτοῦ ἀνθ’ ὅπλου, φωνοῦντα καὶ διὰ τῶν ἐν αὐτῷ κεχρυσωμένων γραμμάτων· πρήσω τὴν πόλιν.

Th 432b BDHNcP 2 PdSjVWXcYYaYb ἡμέτερον· + τὸ τοῦ γυμνοῦ ἀνδρὸς αἴνιγμα ἐδήλου μέν, οἶμαι, καὶ τὴν τοῦ Πολυνείκους γύμνωσιν, ὃν τοῦ τῆς ἀρχῆς ἐπιβάλλοντος μέρους ἀδίκως ἐγύμνωσαν, ἐδήλου δὲ καὶ τὴν μέλλουσαν ἴσως γενέσθαι τῶν πραγμάτων τῆς πόλεως γύμνωσιν.

Th 432c τρόπον γὰρ δή τινα πρὸς τὴν πόλιν διὰ τούτου Πολυνείκης ἐβόα ὡς ὃν ὑμεῖς γυμνὸν τῆς τε πατρίδος καὶ τοῦ τῆς ἀρχῆς ἐπιβάλλοντος μέρους ἀπώσασθε, οὗτος ἐγὼ τὴν πόλιν ὑμῶν ἐμπρήσας τε καὶ πορθήσας γυμνοὺς ὑμᾶς καταστήσω τῶν ὑπαρχόντων. T ἔχει] ἡ ἀσπὶς αὐτοῦ.

Th 432d BP ἔχει] κατέχει.

Th 432e CSjYb σῆμα] σημεῖον.

Th 432f A 2 CFdSjTVYaYbΞa πυρφόρον] τὸν Προμηθέα.

Th 432g I 1 NaP πυρφόρον] κρατοῦντα λαμπάδα.

Th 432h BH πυρφόρον] φέροντα πῦρ.

Th 432i CYa πυρφόρον] + πῦρ φέροντα ἐν λαμπάδι.

Th 432j T φλέγει] ἀνάπτει.

Th 433a CQXcYa φλέγει] λάμπει.

Th 433b DNaPT φλέγει] ἀνάπτεται.

Th 433c A 2 BΞa διὰ χερῶν] ἐν ταῖς χερσὶν ἀνθ’ ὅπλου οὖσα.

Th 433d CXc χερῶν] τοῦ ἐν τῇ ἀσπίδι ἀνδρός.

Th 433e θT 〈ὡπλισμένη〉] ἀντὶ ὅπλου οὖσα τῷ γυμνῷ.

Th 433f I 1 ὡπλισμένη] κρατουμένη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 433g PPdY ὡπλισμένη] ἀνθ’ ὅπλου.

Th 433h PV ὡπλισμένη] εὐτρεπισμένη.

Th 433i A 2 CΞa ὡπλισμένη] ὡς ὅπλον κρατουμένη.

Th 433j θT φωνεῖ] + λέγει ὁ ἀνὴρ ἐν γράμμασι γραφεῖσιν ἐν τῇ ἀσπίδι.

Th 434a T πρήσω] καύσω.

Th 434b BCHNaPdSjVXcYaYb πρήσω] + ἐμπρήσω.

Th 434c T φωτὶ] ἀνδρί.

Th 435a BCHNcOTVXcYa ἐξ οὗ καὶ παρὰ τοῖς Αἰολεῦσι πεμπάζειν τὸ κατὰ πέντε μετρεῖν.

Th 435b B πεμπάζειν τὸ κατὰ πέντε μετρεῖν· πεμπάζομαι τὸ ἀναλογίζομαι.

Th 435c I 2 πέμπε] ἀναλογίζου.

Th 435d BCDHI 2 NaXc πέμπε] ἕτερον.

Th 435e PPd πέμπε] ἀντίμαχον.

Th 435f A 2 Ξa ξυστήσεται] ἀντιστῇ.

Th 435g BDHPPdYa ξυστήσεται] ἐναντιωθῇ.

Th 435h BHHaNaOYYa ξυστήσεται] ἀντιπαρατάξεται.

Th 435i NcV ξυστήσεται] ἀντιτάξεται.

Th 435j CXc ξυστήσεται] συμπαρατάξεται.

Th 435k θT ξυστήσεται] σταδαίαν μάχην ἀγωνίσεται.

Th 435l A 2 Ξa τίς ἄνδρα κομπάζοντ α· τινές 〈φασιν〉 τοῦτον τὸν στίχον καὶ τὸν μετὰ αὐτὸν ὑπὸ τοῦ ἀγγέλου λέγεσθαι, εἰς ἀπόδοσιν λέγοντος ὅτι γεννᾶται τῷ κέρδει κέρδος, ἤγουν τῷ μεῖναι τὸ νικῆσαι τὸν ὑπέρκομπον ἄνδρα, ἄλλοι δὲ τοῦ Ἐτεοκλέους φασὶν εἶναι τὸ καὶ τῷδε κέρδει λέγοντος, ὅτι ἐπὶ τῷ κέρδει καὶ ἄλλο κέρδος ἐπιγίνεται ἡμῖν· κέρδος μὲν γὰρ ἓν τὸ ἀντιτάξαι τῷ Τυδεῖ τὸν Μελάνιππον ὡς ἡττήσοντα τοῦτον διά τε τὸ εὐγενὲς αὐτοῦ καὶ αἰσχυν[τηλόν], τὸ δὲ 〈ἕτερον〉 κέρδος τὸ εὑρεῖν καὶ παραστῆναι ἀντίμαχον γενναῖον τῷ Καπανεῖ. [5]

Th 436-437 I 1 κομπάζοντα + τοιαῦτα καθ’ ἡμῶν φθεγγόμενον καὶ ἀλαζονευόμενον.

Th 436a T τρέσας] φοβηθείς.

Th 436b BCH τρέσας] δειλιάσας.

Th 436c θTVYaYb τρέσαι] φοβηθῇ.

Th 436d A 2 Ξa μενεῖ] καρτερήσῃ, ὑπομείνῃ.

Th 436e PPd μενεῖ] ὑπομενεῖ.

Th 436f CXc μενεῖ] ἐναντιωθῇ.

Th 436g BH μενεῖ] στήσεται.

Th 436h A 2 Ξa καὶ τῷδε κέρδει κέρδ ( ο ς)· πρὸς τῷ μεῖναι τὸ νικῆσαι· τοῦτο γάρ ἐστι κέρδει κέρδος.

Th 437a M καὶ τῷδε κέρδε ι· εἰπόντος τοῦ ἀγγέλου πρὸς τὸν Ἐτεοκλέα· τίς τῷ τοιούτῳ ἀνδρὶ ξυστήσεται, ἤγουν τίς ἀντιμαχόμενος ἔσται αὐτῷ καὶ ἀντιπαλαμώμενος; τίς ὑπομενεῖ μὴ πτοηθεὶς ἄνδρα ὑπέρκομπον; — λέγει δὲ τὸν Καπανέα—, φησὶν ὁ Ἐτεοκλῆς πρὸς αὐτὸν ὅτι· σὺν τῷδε τῷ κέρδει καὶ ἄλλο κέρδος τίκτεται, τουτέστι καὶ σὺν τῷ ἔχειν ἄνδρα ἱκανὸν αὐτῷ συστῆναι τῇ μάχῃ καὶ ἀντιπαλαμήσασθαι καὶ πόλεμον ἐπίσης τούτῳ προσαγαγεῖν ἔχομέν τι καὶ ἕτερον κέρδος, δηλαδὴ τὸ νικῆσαι. [5]

Th 437b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ABCDHNcNdP 2 PdSjVWXaXcYYaYb καὶ τῷδε κέρδει ἄλλο τίκτετα ι· διότι τὴν προτέραν μωρίαν τοῦ Τυδέως ὡς κέρδος ἐλογίσατο ὁ Ἐτεοκλῆς, διότι νύκτα ἐπεκαλέσατο ἐπὶ τῷ αὐτοῦ σάκει, διότι δὲ μέλλει ἐπιπεσεῖν αὐτῷ ἡ νὺξ τοῦ θανάτου, διὰ τοῦτο εἶπε κέρδος.

Th 437c ὁ νῦν δέ, διότι οὐδὲν φοβεῖται τὰς δυνάμεις τῶν θεῶν, ἀλλὰ ἀτιμάζων αὐτούς, διὰ τοῦτο λέγει καὶ ἕτερον κέρδος· λέγει γὰρ καθ’ ἑαυτὸν ὅτι κέρδος ἐν ἐμοὶ τὸ ἀτιμάζειν αὐτὸν τοὺς θεούς, ἐπεὶ αὐτοὶ ἀφανίσωσιν αὐτόν. X ἤγουν ἐπειδή ἐστιν ὑπέρφρων καὶ ἀτιμάζει τοὺς θεούς, ὁμοίως τῷ πάρος λελεγμένῳ ἐλπίζομεν ὅτι χολωθεὶς ὁ Ζεὺς καὶ πέμψας κατ’ αὐτοῦ κεραυνὸν ληψόμεθα κέρδος. [5]

Th 437d Xc τῷδε] ἤγουν τῷ ἔχειν ἄνδρα ἱκανὸν ἐκείνῳ.

Th 437e PPd τῷδε] τῷ ἀντιστάτην αὐτὸν ἔχειν ἱκανόν.

Th 437f θT κέρδος] τὸ νικῆσαι.

Th 437g DHOPPdRbYa ἄλλο] τὸ εἶναι αὐτὸν μεγάλαυχον καὶ θεῶν ὑπέρφρονα.

Th 437h θT τίκτεται] γεννᾶται.

Th 437i AbCHaYa τίκτεται] προσγίνεται.

Th 437j T τῶν τοι ματαίω ν· ἡ γλῶσσά ἐστιν ἀληθὴς διδάσκαλος τῶν ἐν ἀνθρώποις ματαίων φρονημάτων· θεατρίζει γὰρ οἷα ἕκαστος φρονεῖ.

Th 438-439a εἰ μὲν γὰρ συνετὸς καὶ ταπεινός ἐστι, συνετὰ καὶ ταπεινὰ φθέγγεται, εἰ δὲ μωρὸς καὶ ὑπέρκομπος, μωρὰ πάλιν καὶ ἐπηρμένα βοᾷ. ABCDH NcNdP 2 PdSjVWXaXcYYaYb τὴν ἐνοῦσαν ἀφροσύνην ἡ γλῶττα ἐμφαί(νει). [5]

Th 438-439b I 1 ἄλλως· ἡ γλῶσσα ἀληθὴς γίνεται κατήγορος· καὶ γὰρ οἱ ἄφρονες ἀπὸ τῶν λόγων αὐτῶν δείκνυνται οἷα φρονοῦσιν.

Th 438-439c DYa ἡ γλῶσσα γίνεται ἀληθὴς κατήγορος τοῖς ἀνδράσιν χάριν τῶν ματαίων φρονημάτων.

Th 438-439d X ἐπειδὴ γὰρ διὰ τῆς γλώσσης τὰ κομπάσματα φέρεται, κατήγορον αὐτὴν τούτων γίνεσθαί φησι, τουτέστιν οἱ κομπάζοντες δυστυχίᾳ περιπίπτοντες ὕστερον αὐτοὶ ὑφ’ αὐτῶν ἐξελέγχονται, ἐπὶ κακῷ σφισιν ἀποβάντος τοῦ κόμπου.

Th 438-439e θT + ἤγουν οἱ διὰ γλώττης ἑκάστου προφερόμενοι λόγοι τὸ φρόνημα [ἑκάστου δεικνύου]σιν εἴτε σοφόν ἐστι καὶ [φρόνιμον] εἴτε μωρὸν καὶ ἀλαζονείας μεστόν.

Th 438-439f T ματαίων] ἀνωφελῶν.

Th 438a θT φρονημάτων] κομπασμάτων.

Th 438b θT ἡ γλῶσσα] ἡ οἰκεία.

Th 439a NaP κατήγορος] διδάσκαλος.

Th 439b A 2 BCHaOVYYaΞa Καπανεὺς δ ’ ἀπειλε ῖ· ὁ Καπανεὺς δὲ ὡπλισμένος ἀπειλεῖ κακὰ ποιεῖν εἰς ἡμᾶς, τοὺς θεοὺς ἀτιμάζων, καὶ τὸ στόμα μὴ κατέχων καὶ παιδεύων, ἄνθρωπος ὢν φθαρτός, πέμπει εἰς οὐρανὸν τῷ Διὶ ἔπη ταραχώδη, ἤτοι ὑβρίζει τὸν Δία, ἐν χαρᾷ ματαίᾳ καὶ ψευδεῖ· οὐ γὰρ οἶδεν ὅπως αὐτῷ τὰ κατὰ τὸν πόλεμον ἀποβήσεται. [5]

Th 440-446 θαρρῶ δὲ αὐτῷ ἐπελθεῖν τὸν καυστικὸν κεραυνὸν κατ’ οὐδὲν ἴσον τοῖς μεσημβρινοῖς τοῦ ἡλίου θάλπεσιν, ἀλλὰ φλέγοντα καὶ ἀπόλλοντα. ABCDHNcNdP 2 PdSjVWXa XcYYaYb ὁ Καπανεὺς δὲ ἀπειλεῖ καὶ παρεσκευασμένος δρᾶν ταῦτα ἅπερ ἀπειλεῖται, ὑβρίζων καὶ τοὺς θεοὺς ἐν χαρᾷ ματαίᾳ καὶ θνητὸς ὢν βοᾷ καὶ ἄλλο τι ποιεῖ· πέμπει ἔπη ἐς οὐρανὸν κυμαίνοντα τῷ Ζηνί.

Th 440-443 X ἀπειλεῖ] καυχᾶται.

Th 440a BHHaNcPPd ἀπειλεῖ] ἡμῖν κακά.

Th 440b

T δρᾶν] ποιεῖν.

Th 440c BHP δρᾶν] πράττειν.

Th 440d CPTV δρᾶν] εἰς ἡμᾶς κακά.

Th 440e BHPdθ παρεσκευασμένος] ὡπλισμένος.

Th 440f BCDHNcYa παρεσκευασμένος] ηὐτρεπισμένος.

Th 440g HaPdθTV ἢ στικτέον εἰς τὸ στόμ α.

Th 441-443 τὸ δὲ ἑξῆς οὕτως· θνητὸς καὶ φθαρτὸς ἄνθρωπος ὢν πέμπει εἰς οὐρανὸν—τίνι; τῷ Ζηνὶ καὶ τῷ Διί—καὶ γεγωνᾷ καὶ βοᾷ τούτῳ ἐν χαρᾷ ματαίᾳ καὶ ψευδεῖ ἔπη κυμαίνοντα καὶ ταραχώδη καὶ ἀλαζονικά. P 2a ἀτίζων] ἀτιμάζων.

Th 441a A 2 BCHHaPPdQθTXcΞa ἀτίζων] ὑβρίζων.

Th 441b DYYa κἀπογυμνάζων] ἐλευθερῶν.

Th 441c BH κἀπογυμνάζων] μὴ κατέχων, ἀναφανερῶν τὴν γνώμην αὐτοῦ.

Th 441d BH κἀπογυμνάζων] ἐλευθεροστομῶν.

Th 441e A 2 I 1 Ξa κἀπογυμνάζων] ἀνοίγων.

Th 441f NaPPdYa κἀπογυμνάζων] ἀπολύων.

Th 441g DHaYa κἀπογυμνάζων] μὴ κατέχων.

Th 441h CNcXcV κἀπογυμνάζων] μὴ δεσμεύων.

Th 441i DP κἀπογυμνάζων] ἀναιδῶς ἀποκαλύπτων καὶ διανοίγων.

Th 441j θT ματαίᾳ] ψευδεῖ.

Th 442a BCXcV ματαίᾳ] ἀνωφελεῖ.

Th 442b θ ματαίᾳ] ἀνωφελεῖ, ψευδεῖ· οὐ γὰρ οἶδε ποῖ τὸ τέλος ἀποβήσεται.

Th 442c T θνητὸς] φθαρτὸς ἄνθρωπος.

Th 442d BPV ἐς οὐρανὸν] ἤτοι ὑβρίζει τὸν Δία.

Th 442e BDYa ἐς οὐρανὸν] ἤγουν εἰς θεούς.

Th 442f T πέμπει] λέγει.

Th 443a BYa πέμπει] πέμπεται.

Th 443b NaP πέμπει] + βλασφήμους λόγους.

Th 443c T γεγωνᾷ] βοᾷ.

Th 443d BCFdHHaLcNaSjTXcYa γεγωνᾷ] δέον εἰπεῖν καὶ γεγωνᾷ ἀσυνδέτως ἐξήνεγκεν.

Th 443e θT κυμαίνοντ’] ἀλαζονικά.

Th 443f BHNaPPd κυμαίνοντ’] ταραχώδη.

Th 443g BCFdHPPdXc κυμαίνοντ’] ἐπηρμένα.

Th 443h I 1 κυμαίνοντ’] θρασέα, βλάσφημα.

Th 443i θT ἔπη] λόγια.

Th 443j YaYb πέποιθα] θαρρῶ.

Th 444a BCHTVYa πέποιθα] θαρρῶ γὰρ δικαίως ἥξειν κεραυνὸν πυρφόρον ἐπ’ αὐτῷ.

Th 444b X αὐτῷ] τῷ Καπανεῖ.

Th 444c BDHPPdYa ξὺν δίκῃ] δικαίως.

Th 444d BNaPPdθTYaYb δίκῃ] δικαιοσύνῃ.

Th 444e BYa πυρφόρον] καυστικόν.

Th 444f BCHT πυρφόρον] φλογώδη.

Th 444g A 2 Ξa ἥξειν] ἐλθεῖν.

Th 445a BPTWYa ἐξεικασμένον] ὁμοιούμενον.

Th 445b BHRb ἐξεικασμένον] ὡμοιωμένον.

Th 445c A 2 NaYaΞa ἐξεικασμένον] παρόμοιον.

Th 445d PPd ἐξεικασμένον] ὡμοιωμένον ὡς αὐτός φησιν.

Th 445e θT μεσημβρινοῖσι] + τοῖς κατὰ τὸ μέσον τῆς ἡμέρας γεγενημένοις.

Th 446a T θάλπεσιν] καύμασιν.

Th 446b BCPdSjYb θάλπεσιν] καύσεσιν.

Th 446c TYa τοῖς ἡλίου] + ἀλλὰ φλέγοντα καὶ ἀφανίζοντα δηλονότι.

Th 446d T ἀνὴρ δ ' ἐ π ' αὐτ ῷ· ἀντὶ τοῦ ἀντιτέτακται.

Th 447-448a καὶ εἰ ἄγαν ἐστὶ μανιώδης τὸν λόγον ὁ Καπανεύς, ἀλλ' ὅμως ἀκίνητος τῷ παραστήματι ἡ δύναμις τοῦ Πολυφόντου ἀνθέστηκεν μηδὲν δεδοικυῖα. I 1 M ἀνὴρ δ ' ἐ π ' αὐτ ῷ· ἐπ' αὐτῷ δὲ τῷ Καπανεῖ, καὶ ἐὰν φλύαρος καὶ ὑπέρκομπος ἄγαν ἐστί, τέτακται ἀνὴρ αἴθων.

Th 447-448b τοῦτο δέ, δηλαδὴ τὸ αἴθων, οἱ μὲν διὰ τοῦ ω μεγάλου γράφουσιν καὶ συντάσσουσιν οὕτως· ἀνὴρ ἐπ' αὐτῷ αἴθων καὶ πρόθυμος καὶ διάπυρος τέτακται ἐν βίᾳ ἤτοι ἐν δυνάμει Πολυφόντου, περιφραστικῶς ὁ Πολυφόντης. οἱ δὲ διὰ τοῦ ο μικροῦ καὶ συντάσσουσιν οὕτως· ἀνὴρ δὲ ἐπ' αὐτῷ τέτακται αἶθον λῆμα, ἤτοι φρόνημα δραστήριον καὶ διάπυρον καὶ τὰ πολεμικὰ ἐμπειρότατον, Πολυφόντου βία ἤτοι περιφραστικῶς ὁ Πολυφόντης ὡς τὸ βίη Ἡρακλείη (Hom. B 658) ἀντὶ τοῦ ὁ Ἡρακλῆς. AP 2 P 2a PdSjVWYYa αὐτῷ] τῷ Καπανεῖ. [5]

Th 447a AOPVW στόμαργος] ταχὺς εἰς τὸ λαλεῖν.

Th 447b M στόμαργος] φλύαρος, ταχὺς εἰς τὸ λαλῆσαι.

Th 447c Pd στόμαργο ς· ὁ μὴ ἔχων τὸ στόμα ἀργόν.

Th 447d BHYb στόμαργος] κατὰ ἀντίφρασιν ὁ μὴ ἔχων ποτὲ τὸ στόμα ἀργὸν καὶ ἡσυχάζον.

Th 447e B a CNdVYa στόμαργος] φλύαρος.

Th 447f ABHPdθTY στόμαργος] πολυλόγος.

Th 447g CHaNaTXc στόμαργος] ὁ Καπανεύς.

Th 447h BOPX αἴθων] διάπυρος.

Th 448a BCDHHaI 2 NaPPdθTXcYaYb αἴθων] ὀξύς.

Th 448b BDH αἴθων] φρόνιμος.

Th 448c NaPSj λῆμα τὸ φυσικὸν δῶρον καί ἐστιν ἡ λέξις μέση.

Th 448d βούλονται δὲ οἱ ἀρχαῖοι δι' ἑνὸς μ γράφειν αὐτὸ πρὸς ἀντιδιαστολὴν τοῦ ἑτέρου λήμματος ὃ καὶ ἐπὶ τοῦ ἁπλῶς δώρου λαμβάνεται. B a DI 1 VWXcYa λῆμα Πολυφόντου περιφραστικῶς ὁ Πολυφόντης ὡς τὸ βίη Ἡρακλείη (Hom.

Th 448e B 658) ἀντὶ τοῦ ὁ Ἡρακλῆς. P 2 Pd λῆμα] φρόνημα.

Th 448f ABCFdHaLcNaPSjTXcYb λῆμα] γνῶσιν.

Th 448g BD Πολυφόντου βία] ὁ Πολυφόντης.

Th 448h ABCDHTVXcYa βίᾳ] δυνάμει.

Th 448i SjV φερέγγυον φρούρημ α· ἱκανὸν φρουρεῖν τὴν πατρίδα.

Th 449a ADMP PdQYa φερέγγυον] ἀξιόμαχον πρὸς φυλακήν.

Th 449b ADM φερέγγυον] ἱκανὸν ἐκφυλάξαι τὴν πατρίδα.

Th 449c BH φερέγγυον] ἱκανόν.

Th 449d CNaP φερέγγυον] βέβαιον.

Th 449e OV φερέγγυον] ἀξιόχρεων.

Th 449f CHa φερέγγυον] ἀσφαλές, πιστότατον.

Th 449g θT φερέγγυον] πιστὸς φύλαξ.

Th 449h A 2 Ca φρούρημα] ἀσφάλεια.

Th 449i BCH φρούρημα] φύλαγμα.

Th 449j NbPV φρούρημα] τῶν κατ’ αὐτῶν πυλῶν.

Th 449k θT προστατηρίας] βοηθούς.

Th 449l CHaXc προστατηρίας] τῆς προστατούσης ἡμᾶς βοηθείας.

Th 449m BH προστατηρίας] τῆς βοηθοῦ ἢ τῆς πρὸ τῶν πυλῶν ἱσταμένης.

Th 449n PPd προστατηρίας] ὑπερμάχου ἧς ἱερεὺς ἦν, ἢ ὅτι ἐν ταῖς πύλαις ὧν ὑπερμαχεῖν ἔμελλον ἡ Ἄρτεμις ἦν καὶ τούτων προστάτης ἐγγέγραπτο.

Th 449o θT Ἀρτέμιδος εὐνοίαις ι· τοῦτο λέγει ὡς τοῦ Πολυφόντου ἱερέως ὄντος τῆς Ἀρτέμιδος· ἀφιέρωται δὲ τῇ Ἀρτέμιδι ἡ τῶν Θηβαίων πόλις.

Th 450a διὰ τοῦτο οὖν οὕτως λέγει· εὐνοίαισι Ἀρτέμιδος καὶ τῶν ἄλλων πολιούχων θεῶν. ACI 1—2 MNdP 2 PdSjVWXaYYa εὐνοίαισι] φιλίαις.

Th 450b CNaPPdXc εὐνοίαισι] βοηθείαις.

Th 450c BH εὐνοίαισι] ἐν ταῖς ἀγάπαις.

Th 450d θT εἰληχότα] κλῆρον λαβόντα.

Th 451a NbQ εἰληχότα] λαχόντα.

Th 451b VYa εἰληχότα] κληρωσάμενον.

Th 451c CSjYb εἰληχότα] + κληρωθέντα.

Th 451d NaT στίχοι λ′.

Th 451e F pc ὄλοι θ ’ ὃς πόλε ι· ὁ χορὸς εὐχόμενός φησι· εἴθε ὄλοιτο καὶ φθαρείη ὃς μεγάλως ἐγκαυχᾶται κατὰ τῆς πόλεως ἡμῶν, βέλος δὲ τοῦ κεραυνοῦ ἐπισχέθοι καὶ κρατήσοι αὐτὸν πρὶν ἐς τὸν ἐμὸν οἶκον θορεῖν καὶ πηδᾶν καὶ ὁρμᾶν ἐκ τῶν πωλικῶν τε καὶ παρθενικῶν ἑδωλίων καὶ καθεδρῶν—πώλοις γὰρ αἱ παρθένοι εἰκάζονται—ἐκπορθῆσαι ἐμέ. [5]

Th 452-456a ACNdP 2 PdSjVWXaYYa ἀντισπαστικὰ κῶλα ε′ ἰσόμετρα τοῖς πρὸ αὐτῶν· ἔοικε δὲ εἶναι ταῦτα ἀντιστροφὴ τῆς προτέρας στροφῆς.

Th 452-456b F pc ἀντιστροφὴ κώλων ε′.

Th 452-456c T ἡμέτερον + ὄλοι θ ’ ὃς πόλε ι· ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχὴ (417)· τὸν ἁμόν νυν ἀντίπαλο ν.

Th 452-456d καὶ αὕτη γὰρ κώλων ἐστὶν ἰσομέτρων ε′, πλὴν τὸ δεύτερον μὲν κῶλον ἔχει τὸν δεύτερον πόδα ἀντὶ ἐπιτρίτου παίωνα τέταρτον, τὸν δὲ τρίτον ἀντὶ δακτύλου κρητικόν, τὸ δὲ δ′ τὸν δεύτερον πόδα ἀντὶ διιάμβου ἐπίτριτον πρῶτον. ἐπὶ τῷ τέλει μόνη παράγραφος. T ὄλοιθ’] φθαρείη. [5]

Th 452a ABHNaTXcYa πόλει] τῇ ἡμετέρᾳ.

Th 452b APPdYa μεγάλ’] κακὰ δηλονότι.

Th 452c BθT εὐχὴ ἡ καύχησις καὶ ἡ ὑπόσχεσις καὶ ἡ προσευχή.

Th 452d BHYb ἐπεύχεται] καυχᾶται.

Th 452e ABHPPdVYa ἐπεύχεται] + καυχᾶται ἢ ἀρᾶται.

Th 452f T καὶ [.

Th 453-454 ....] κρατήσαι αὐτὸν [τὸ τοῦ κεραυνοῦ] βέλος πρὶν εἰς τὸν ἐμὸν οἶκον θορεῖν καὶ πηδᾶν καὶ ὁρμᾶν καὶ ἐκπορθῆσαι ἐμὲ ἐκ τῶν πωλικῶν ἤτοι παρθενικῶν καθεδρῶν. I 2 τὸ ἐκ τοῦ κεραυνοῦ βέλος.

Th 453a M + ἤγουν κεραυνός.

Th 453b T ἐπισχέθοι] καταλάβοι.

Th 453c BH ἐπισχέθοι] κρατήσοι.

Th 453d AQXcYa ἐπισχέθοι] ἐπικρατήσοι.

Th 453e PV ἐπισχέθοι] τῆς ὁρμῆς ἀναστείλοι.

Th 453f PPd ἐπισχέθοι] κωλύσοι τῆς ὁρμῆς.

Th 453g θT ἐπισχέθοι] κατάσχοι.

Th 453h A 2 Ξa ἐσθορεῖν] πηδῆσαι.

Th 454a BFdNaPWX ἐσθορεῖν] ὁρμᾶν.

Th 454b ABHP ἐσθορεῖν] πηδᾶν.

Th 454c APYa ἐσθορεῖν] ἐσπηδῆσαι.

Th 454d CθT δόμον] οἶκον.

Th 454e PTV πωλικὰ ἑδώλια ἢ τὰ ἅρματα ἢ μᾶλλον τοὺς παρθενῶνας ἔνθα αἱ πῶλοι ἤγουν αἱ ἄζυγες παρθένοι κάθηνται θαλαμευόμεναι.

Th 454f I 1 τοῖς ἅρμασι τοῖς ἡμιόνους ἔχουσιν ἢ τοῖς παρθενῶσιν ἔνθα αἱ πῶλοι ὅλαι αἱ μὴ ὑπὸ ζυγὸν οὖσαι παρθένοι κάθηνται θαλαμευόμεναι.

Th 454g VYa τῶν παρθενικῶν καθεδρίων· ἑδώλιον δὲ κυρίως ὁ ζυγὸς τῆς νηός.

Th 454h P 2a πωλικῶν θ’ ἑδωλίων] ἀπὸ τῶν παρθενικῶν θαλάμων.

Th 454i HaPPd πωλικῶν] παρθενικῶν.

Th 454j ABCDHNaM 2 PθTVXc πώλοις γὰρ αἱ παρθέναι εἰκάζονται.

Th 454k AB ἑδωλίων] καθεδρῶν.

Th 455a BCHM 2 NaPQθTVXcYaYb ἑδωλίων] ἀπὸ τῶν παρθενώνων.

Th 455b A 2 Ξa ὑπερκόμπῳ] ὑπερηφάνῳ.

Th 455c ADVYa ὑπερκόμπῳ] ἐπηρμένῳ.

Th 455d APPdYa ὑπερκόμπῳ] ἀλαζονικῷ.

Th 455e CH ὑπερκόμπῳ] θρασεῖ καὶ ὑπερηφάνῳ.

Th 455f T ἐκλαπάξαι] ἐκπορθῆσαι.

Th 456a CPPdXc ἐκλαπάξαι] πορθῆσαι.

Th 456b BFdNaO ἐκλαπάξαι] ἡμᾶς.

Th 456c θ ἐκλαπάξαι] ἐκπορθῆσαι ἡμᾶς ἤγουν ἐξαναστῆσαι.

Th 456d T ἐκλαπάξαι] ἐκβαλεῖν.

Th 456e A 2 M 2 TΞa διπλῆς ἑτέρα περίοδος.

Th 457-480a οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κδ′. F pc ἡμέτερον· + καὶ μὴν τὸν ἐντεῦθε ν· αἱ μονοστροφικαὶ αὗται καὶ συστηματικαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων κδ′, ὧν τελευταῖος (480)· κόμπα ζ ’ ἐ π ’ ἄλλον μηδέ μοι φθόνει λέγω ν.

Th 457-480b ἐπὶ τῷ τέλει ἑκάστης περιόδου παράγραφος. T καὶ μὴν τὸν ἐντεῦθε ν· εἰπόντος τοῦ Ἐτεοκλέους λέ γ ’ ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα φησὶν ὁ ἄγγελος· καὶ δὴ λέξω τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις· τῷ γὰρ Ἐτεόκλῳ τρίτῳ τρίτος ἐξῆλθε κλῆρος προσβαλεῖν λόχον καὶ ἐνέδραν καὶ φυλακὴν ἐν ταῖς πύλαις ταῖς καλουμέναις Νηίτισιν. [5]

Th 457-460 ἐξῆλθε δὲ ὁ κλῆρος ἐκ τοῦ καλῶς κεχαλκευμένου κράνους, ἤγουν περικεφαλαίας, τοῦ ὑπτίου, ἤγουν τοῦ ἀνατετραμμένου. ACNdP 2 PdSjVWXaYYa καὶ μὴν τὸν ἐντεῦθεν λα ( χόντ α)· τὸν ἀπὸ τούτου κληρωθέντα· τρίτῳ γὰρ τῷ Ἐτεόκλῳ 〈ἐξῆλθεν〉 ὁ κλῆρος ἀπὸ τοῦ κράνους ἐν ᾧ περιστρέψαντες ἐκλήρουν.

Th 457-459 M τὸν ἐντεῦθεν] μετὰ ταῦτα.

Th 457a BP τὸν ἐντεῦθεν] ἤτοι τὸν μετ’ ἐκεῖνον ὃν ἔφην.

Th 457b θT τὸν ἐντεῦθεν] ἀπ’ ἐκείνου.

Th 457c A 2 Ξa λαχόντα] κληρωθέντα.

Th 457d CP λαχόντα] κλήρῳ ταχθέντα.

Th 457e A 2 Ξa πύλαις] ἑτέραις.

Th 457f PPd περὶ τοῦ Ἐτεόκλου.

Th 458a T ἔθος τοῖς μέλλουσι κλῆρον ποιεῖν κράνος λαμβάνειν καὶ ἐντὸς καθιέναι σημεῖα αὐτῶν οἷον δακτυλίους καὶ ἄλλο τι τοιοῦτον δυνάμενον ἐκπηδῆσαι κούφως τοῦ κράνους, εἶτα τούτου κυκωμένου, ὅτου πρῶτον τὸ σημεῖον ἐξήρχετο, ἐτέτακτο οὗτος εἰς τοὖργον δι’ ὃ ταῦτα ἐγένετο.

Th 458b θT λέξω] εἴπω.

Th 458c CPdSjYb Ἐτεόκλῳ] ὁ γὰρ Ἐτέοκλος Ἀργεῖος ἦν.

Th 458d CXc πάλος] κλῆρος.

Th 458e AA 2 BHLcNaPSjTVYaYbΞa ὑπτίου] ἀνατετραμμένου.

Th 459a ABHI 2 SjVWYb ὑπτίου] ἀνατεταμένου.

Th 459b CNaXc ὑπτίου] ἐξαπλωμένου.

Th 459c SjYb ὑπτίου] + ἄνω τὸ στόμα ἔχοντος.

Th 459d T ’πήδησεν] ἐξῆλθεν.

Th 459e CNaPTV εὐχάλκου] τοῦ καλῶς κεχαλκευμένου.

Th 459f APV εὐχάλκου] + ἄριστον χαλκὸν ἔχοντος.

Th 459g T εὐχάλκου] ἤτοι εὐκατασκευάστου.

Th 459h A 2 Ξa κράνους] περικεφαλαίας.

Th 459i ACNaPTVXcYa κράνους] κασσιδίου.

Th 459j BHLc Νηίτισι] οὕτω καλουμέναις.

Th 460a ABFdHMPPdQYa Νηίτισι] ἀπὸ Νηίτου τινός.

Th 460b I 1 Νηίτισι] Νηὶς Ὠκεανοῦ θυγάτηρ.

Th 460c PPd Νηίτισι] ταῖς ἀπὸ Νηίδος.

Th 460d θ Νηίτισι] ἀπὸ Νηίδος θυγατρὸς τοῦ Ὠκεανοῦ.

Th 460e T Νηίτισι] ταῖς οὕτω λεγομένοις ἀπὸ Νηίδος τινός.

Th 460f A 2 Ξa προσβαλεῖν] προσάξειν.

Th 460g θ προσβαλεῖν] προσαγαγεῖν.

Th 460h T λόχον] ἐνέδραν.

Th 460i ADLcPdYa λόχον] φυλακήν.

Th 460j AYa λόχον] πόλεμον, φυλακήν.

Th 460k BH λόχον] τάξιν.

Th 460l T λόχον] τὸ τάγμα.

Th 460m Ξa ἐν ἀμπυκτῆρσι ν· οἱ κορυφιστῆρες, τὰ προμετωπίδια κυρίως.

Th 461a νῦν δὲ λέγει τοῖς χαλινοῖς ἵν’ ᾖ τοὺς ἵππους θυμοῦ πλήρεις περὶ τοὺς χαλινοὺς ἀνακάμπτειν καὶ περιάγειν, ἤδη βουλομένους εἶναι πρὸς ταῖς πύλαις. M οἱ κορυφιστῆρες, τὰ προμετωπίδια κυρίως· νῦν δὲ λέγει τοὺς χαλινοὺς ἵν’ ᾖ τὰς ἵππους θυμοῦ πλήρεις οὔσας περὶ τοὺς χαλινοὺς ἀνακάμπτειν καὶ περιάγειν, ἤδη βουλομένας πρὸς ταῖς πύλαις εἶναι.

Th 461b I 1 ἵππους δ ’ ἐν ἀμπυκτῆρσι ν· ἀμπυκτῆρες κυρίως οἱ κορφιστῆρες, τὰ προμετώπια λέγονται.

Th 461c νῦν δὲ λέγει τοῖς χαλινοῖς, ἵν’ ᾖ οὕτως· τοὺς ἵππους θυμοῦ πλήρεις ὄντας τοῖς χαλινοῖς ἀνακόπτει καὶ παράγει ἤδη βουλομένους εἶναι πρὸς ταῖς πύλαις. ABCDHNdP 2 PdSjVWXa XcYYaYb ἵππους] θηλυκὸν ἡ ἵππος. [5]

Th 461d AYa ἀμπυκτῆρσιν] χαλινοῖς.

Th 461e AA 2 BCDHMNaOPPdθTXcYaYb Ξa ἀμπυκτῆρσιν] κυρίως δὲ οἱ περὶ τὴν κεφαλὴν ἱμάντες τοῦ χαλινοῦ ἄμπυκες καλοῦνται.

Th 461f θT ἀμπυκτῆρες κυρίως οἱ περὶ τὴν κεφαλὴν ἱμάντες τοῦ χαλινοῦ· ἄμπυξ γὰρ ἡ περικεφαλαία.

Th 461g ἐνταῦθα δὲ καταχρηστικῶς ἀμπυκτῆρας λέγει τοὺς κυκλοτερεῖς χαλινούς. A 2 Ξa ἐμβριμωμένας] ὁρμωμένας.

Th 461h BH ἐμβριμωμένας] ὁρμώσας.

Th 461i ADNaPYa ἐμβριμωμένας] φρυαττομένας.

Th 461j A 2 CTXc ἐμβριμωμένας] χρεμετιζούσας.

Th 461k NaPPdQT ἐμβριμωμένας] θυμὸν πνεούσας καὶ φρυαττούσας.

Th 461l θ ἐμβριμωμένας] ἀπαυθαδιαζομένας καὶ φρυαττομένας καὶ χρεμετιζούσας.

Th 461m Ξa δινεῖ] συστρέφει.

Th 462a ABCFdHNaSjTXcYb δινεῖ] ἀνακόπτει.

Th 462b BCDHRbXcYa δινεῖ] ἀνασειράζει.

Th 462c ADYa δινεῖ] κινεῖ.

Th 462d TV δινεῖ] συστρέφει ἄνω καὶ κάτω δῆλον.

Th 462e A 2 Ξa θελούσας] τὰς ἵππους.

Th 462f CXXcΞa πρὸς] ὑπέρβατον.

Th 462g Ξa πεπτωκέναι] ἐπελθεῖν.

Th 462h AA 2 DVYaΞa πεπτωκέναι] προσπεσεῖν.

Th 462i BDHYa πεπτωκέναι] πεσεῖν.

Th 462j CXc πεπτωκέναι] προσπελάζειν.

Th 462k PPd πεπτωκέναι] ἐμπεσεῖν.

Th 462l

Eulogikon public reading copy · View original HTML at eulogikon.org

NbSjYb πεπτωκέναι] ἐλθεῖν, ἐμπεσεῖν.

Th 462m T οἱ χαλινοὶ ἀποτελοῦσιν ἦχον ἄσημον καὶ ἄγριον.

Th 463a PPd ἀποτελοῦσιν φωνὴν καὶ ἦχον ἄσημον.

Th 463b DYa αἱ πρὸς τοῖς ῥώθωσι τοῦ ἵππου σιδηραῖ τῶν χαλινῶν περιφέρειαι ὥσπερ κώδωνας εἶχον κενοὺς εἰς οὓς ἐκ τῶν μυκτήρων εἰσιὸν πνεῦμα ἦχον ἀπετέλει· ἐποίουν δὲ τοῦτο οἱ βάρβαροι· ἐμιμοῦντο δὲ καί τινες τῶν Ἑλλήνων ὥσπερ καὶ Ἐτέοκλος οὗτος.

Th 463c θT φιμοὶ] χαλινοί.

Th 463d AA 2 CFdHNaQSjTVXcYaYbΞa φιμοὶ αἱ πρὸς τοῖς ῥώθωσι τῶν ἵππων σιδηραῖ τῶν χαλινῶν περιφέρειαι.

Th 463e A 2 Ξa συρίζουσι] ἠχοῦσι.

Th 463f AA 2 CNaSjTVYbΞa βάρβαρον τρόπο ν· ἀπηνῆ ἦχον, ἢ ἐπεὶ ἡ σύριγξ βοᾷ.

Th 463g I 1 M βάρβαρον τρόπον] ἀπηνῆ ἦχον.

Th 463h A βάρβαρον τρόπον] κατὰ ἦχον ἄσημον.

Th 463i BH βάρβαρον τρόπον] βαρβαρικὸν ἤγουν ὡς ἔχουσιν ἔθος ποιεῖν οἱ βάρβαροι.

Th 463j T βάρβαρον] ἄγριον.

Th 463k NaV μυκτηροκόμποις πνεύμασι] ταῖς ἀπὸ τῶν μυκτήρων τῶν ἵππων ἐξερχομέναις πνοαῖς.

Th 464a ADRbYa μυκτηροκόμποις πνεύμασι] τοῖς ἀπὸ τῶν μυκτήρων τῶν ἵππων ἐξερχομένοις ἄσθμασι.

Th 464b PPd μυκτηροκόμποις πνεύμασι] ἡ δοτικὴ ἀντὶ γενικῆς.

Th 464c CXc μυκτηροκόμποις πνεύμασι] τοῖς ἐκ τῶν μυκτήρων σφοδρῶς ἐκπνεομένοις.

Th 464d A 2 θΞa μυκτηροκόμποις πνεύμασι] ταῖς ἐκ τῶν μυκτήρων σφοδρῶς ἐκπνεομέναις πνοαῖς.

Th 464e LhT πνεύμασι] πνοαῖς.

Th 464f BH ἐσχημάτισται δ ’ ἀσπί ς· ἡ ἀσπὶς δὲ τοῦ Ἐτεόκλου ἐζωγράφηται οὐ μικρὸν τρόπον, ἤτοι οὐ λιτῶς καὶ εὐτελῶς.

Th 465-471 ἔχει δὲ ἐσχηματισμένον ἄνδρα ὁπλίτην πρὸς ἀναβάσεις κλίμακος βαδίζοντα καὶ ἀνερχόμενον πρὸς τὸν πύργον τῶν ἐχθρῶν, θέλοντα ἐκπορθῆσαι, τὴν πόλιν δηλονότι τῶν ἐχθρῶν. βοᾷ δὲ οὗτος ὁ ἐν τῇ ἀσπίδι ὁπλίτης ἐν συλλαβαῖς γραμμάτων ὡς οὐδ’ ἂν ὁ Ἄρης σφε καὶ αὐτὸν ἐκβάλοι τῶν πύργων. καὶ τούτῳ τῷ ἀνδρί, ἤγουν τῷ Ἐτεόκλῳ, πέμπε τὸν ἱκανὸν ἀπείργειν ἀπὸ τῆς πόλεως τῆς ἡμετέρας τὸν δούλειον ζυγόν, τουτέστι τὸν δυνάμενον μὴ ἐᾶσαι ἡμᾶς γενέσθαι δούλους τοῖς ἐχθροῖς. ABCDHNdP 2 PdSjVW XaXcYYaYb ἐσχημάτισται] ἐζωγράφηται. [10]

Th 465a A 2 BFdHNaPPdΞa ἐσχημάτισται] ηὐτρέπισται, ἐζωγράφηται.

Th 465b ADYa ἐσχημάτισται] σῆμα ἔχει.

Th 465c CXc ἐσχημάτισται] τετύπωται.

Th 465d θT ἀσπὶς ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ σπίζω τὸ ἐκτείνω, ἡ μὴ ἐκτεταμένη ἀλλὰ δηλονότι στρογγύλη· ἐκ τούτου τοῦ σπίζω γίνεται καὶ σπίνος ὁ ἐκτεταμένην φωνὴν ἔχων.

Th 465e P 2a οὐ μικρὸν τρόπον] κατὰ πενιχρόν.

Th 465f BHPd οὐ μικρὸν τρόπον] οὐ λιτῶς καὶ εὐτελῶς.

Th 465g AP οὐ μικρὸν τρόπον] ἤγουν οὐ πενιχρῶς.

Th 465h PRbYa μικρὸν] πενιχρῶς, εὐτελῶς.

Th 465i CD μικρὸν] ταπεινὸν καὶ φαῦλον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 465j A 2 θTΞa ἢ καὶ οὕτως ἡ σύνταξις· ἀνὴρ γὰρ ὁπλίτης καὶ ὁπλοφόρος ἐρχόμενος δηλονότι πρὸς τῶν ἐχθρῶν καὶ παρὰ τῶν ἐχθρῶν—τοῦτο δὲ ἐλλειπτικῶς ἐστιν—τί ποιεῖ; στείχει καὶ ἀνέρχεται πρὸς τὰς ἀναβάσεις καὶ τὰς βαθμίδας τῆς κλίμακος, θέλων ἐκπέρσαι καὶ πορθῆσαι τὸν πύργον καὶ τὴν πόλιν ἢ ἐκπρῆσαι καὶ καῦσαι. [5]

Th 466-467a P 2a ἡμέτερον· + καὶ τοῦδε τοῦ ἀνδρὸς τοιαῦτ’ ἐδήλου τὸ αἴνιγμα· ἔφασκε γὰρ τρόπον δή τινα διὰ τοῦδε Ἐτέοκλος ὅτι, ὃν τρόπον τοῦτον τὸν ἄνδρα ἀναβαίνοντα τὴν κλίμακα καθορᾶτε, ὥστε τὴν ἐπ’ ἀσπίδι πορθῆσαι πόλιν, οὕτω κἀγὼ τὴν ὑμῶν ἐκπορθήσω πόλιν διά τινος κλίμακος τῆσδε τῆς πόλεως κατακρατήσας. [5]

Th 466-467b T ἀνὴρ] τοιοῦτο γὰρ ἦν ἱστορημένος.

Th 466a ARbYYa δ’] τὸ δὲ ἀντὶ τοῦ γάρ.

Th 466b AYa ὁπλίτης] ἱστάμενος.

Th 466c BH ὁπλίτης] ὁπλοφόρος.

Th 466d NaP ὁπλίτης] ἤγουν ὡπλισμένος.

Th 466e T προσαμβάσεις] ἀναβάσεις.

Th 466f AA 2 BCHSjTYb προσαμβάσεις] βαθμίδας.

Th 466g ANaPPdRbWYa προσαμβάσεις] εἰς τὰς ἀναβάθ[ρας].

Th 466h V ἰστέον ὅτι τὸ προσαμβάσεις ἓν μέρος λόγου ἐστίν, οὐχ ὡς οἴονταί τινες δύο, τὸ πρὸς ἀντὶ τῆς εἰς λέγοντες.

Th 466i Rb προσαμβάσεις] γρ.

Th 466j ἐμβάσεις καὶ τὰς ἀναβάσεις. Ξa στείχει πρὸς ἐχθρῶν πύργο ν· οὐκ εἶπεν πρὸς ποῖον πύργον· μεγάλως οὖν φησι πρὸς πάντα πύργον.

Th 467a I 1 M στείχει] ἀνέρχεται.

Th 467b ADHNaPTYa στείχει] πορεύεται.

Th 467c A 2 CQSjTVXcYbΞa πρὸς ἐχθρῶν] ἤγουν πολεμίων.

Th 467d A 2 Ξa πύργον] τὴν πόλιν.

Th 467e BDHPPdRbSjTYb πύργον] ἤγουν τὴν πόλιν τῶν Θηβαίων.

Th 467f Ξa ἐκπέρσαι] ἐκπορθῆσαι.

Th 467g AA 2 B ἐκπέρσαι] πορθῆσαι.

Th 467h TVYa βοᾷ] λέγει.

Th 468a TV οὗτος] ὁ γεγραμμένος ἐν τῇ ἀσπίδι ὁπλίτης.

Th 468b BPPdW οὗτος] ὥσπερ ὁ τοῦ Καπανέως.

Th 468c θT οὗτος] ὁ ἐρχόμενος δῆλον ἐν γράμμασιν.

Th 468d A 2 Ξa ἐν ξυλλαβαῖς] ἤγουν ἐν γράμμασιν.

Th 468e T Ἄρης] ἤγουν αὐτὸς ὁ θεός.

Th 469a T ἐκβάλῃ] ἀποδιώξοι.

Th 469b ANaP ἐκβάλῃ] + καταβάλῃ ἄν.

Th 469c T πυργωμάτων] ἀπὸ τῶν πύργων.

Th 469d ABNaPTV πυργωμάτων] ἀπὸ τοῦ πύργου.

Th 469e CSjYb πυργωμάτων] πυλῶν.

Th 469f NaP τῷδε] τῷ Ἐτεόκλῳ.

Th 470a PRb φωτὶ] τῷ ἀνδρὶ ἤγουν τῷ Ἐτεόκλῳ.
Th 470b ABH φωτὶ] ἀνδρί.
Th 470c NaPPdTVYa πέμπε] ἀναλογίζου.
Th 470d HI 2 τὸν φερέγγυον] ἱκανόν.
Th 470e ABCDHI 2 NaNbPRbXcYYa τὸν φερέγγυον] τὸν ἀξιόχρεων.
Th 470f AC τὸν φερέγγυον] τὸν ἀντάξιον.
Th 470g NaPPd φερέγγυον] ἱκανώτατον.
Th 470h θT φερέγγυον] τὸν ἀσφαλῆ καὶ πιστὸν πρόμαχον δῆλον.
Th 470i A 2 Ξa ἀπείργειν] κωλύειν.
Th 471a ACSjTYb ἀπείργειν] ἀποδιώκειν.
Th 471b A 2 Ξa τῆσδε] τῆς ἡμετέρας.
Th 471c AB δούλειον] δουλικόν.
Th 471d A 2 BFbHTVΞa πέμποιμ’] πέμπω.
Th 472a CV ἢ στικτέον εἰς τὸ τοῦδ ε· τὸ δὲ ἑξῆς οὕτως· σὺν τύχῃ δέ τῳ καί τινι πέμποιμι τοῦτον.
Th 472b P 2a τόνδε] τὸν Μεγαρέα.
Th 472c PT τόνδε] δεικτικῶς.
Th 472d PPd γράφεται ξυντύχοι καὶ ἄνποτε νὰ συμβάλῃ τῷ καὶ ἐκείνῳ τῷ Ἐτεόκλῳ.
Th 472e P 2a σὺν τύχῃ] σὺν εὐτυχίᾳ.
Th 472f ABCDRbYYaYbΞa σὺν τύχῃ] εὐτυχίᾳ τινὶ πεμφθείη.
Th 472g θT συντύχοι] + συναντήσειε.
Th 472h FbT τῳ] τινί, Ἀττικόν.
Th 472i ABDYa τῳ] τούτῳ ὃν λέγεις.
Th 472j T πέπεμπτ’] ἐπέμφθη.
Th 473a ABDHPTYa οὐ κόμπον] τὴν ἀλαζονείαν.
Th 473b BCHSjYaYb οὐ κόμπον] οὐ κόμπον καὶ ἔπαρσιν ἔχων, ἀλλ’ ἐν τῷ θεῷ θαρρῶν.
Th 473c ADPPdYa οὐ κόμπον] οὐκ ἀσπίδα κομπασμάτων πλήρη.
Th 473d θT κόμπον] ἔπαρσιν.
Th 473e VYa κόμπον] ἤτοι σημεῖον ὑπερήφανον, δῆλον ἀσπίδα κομπασμάτων πλήρη.
Th 473f Ξa ἔχων] φέρων.
Th 473g RaV σπέρμα] υἱός.
Th 474a BDFbHNaPPdTYaΞa σπέρμα] γέννημα.
Th 474b CTYa σπέρμα] γενεά.
Th 474c AD σπαρτῶν] τῶν γιγάντων.
Th 474d SjTYb ὃς οὔτι μάργω ν· ὃς οὔτι καὶ οὐδαμῶς φοβηθεὶς βρόμον καὶ ἦχον φρυαγμάτων ἱππικῶν μάργων, οἱονεὶ μαινομένων καὶ ἐνθουσιώντων, ἐκ τῶν πυλῶν χωρισθείη.
Th 475-476 ACNdP 2 PdSjVWXaYYa ὃς] ὁ Μεγαρεύς.
Th 475a CHΞa μάργων] μανικῶν.
Th 475b ABHPPdθTΞa μάργων] τῶν μαινομένων.
Th 475c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

CSjYb βρόμον] ἦχον.

Th 476a ABCHPdSjTVYbΞa βρόμον] ἦχον· κυρίως ὁ τοῦ πυρὸς ἦχος.

Th 476b ADYa χωρήσεται] πόρρω γενήσεται.

Th 476c BHΞa χωρήσεται] χωρισθῇ, φύγῃ.

Th 476d PPdYa χωρήσεται] ὑποχωρήσει.

Th 476e SjVYb χωρήσεται] ἐκστῇ.

Th 476f CSjYb χωρήσεται] + ἀποστῇ ἐάσας αὐτάς.

Th 476g T χωρήσεται] ἀπαγήσεται.

Th 476h Ξa ἀλ λ ʼ ἢ θανὼν τροφεῖ α· ἀλλʼ ἢ θανὼν πληρώσει καὶ ἀποδώσει τὰ τροφεῖα τῇ χθονί, ἤγουν ἀποδώσει τὰς τῆς ἀνατροφῆς χάριτας τῇ πατρίδι ἀποθανὼν ὑπὲρ αὐτῆς, ἢ καὶ τοὺς δύο ἄνδρας, τὸ Ἐτέοκλον δηλονότι καὶ τὸν ἐζωγραφημένον τῇ ἀσπίδι αὐτοῦ, ἑλὼν καὶ τὸ πόλισμα, τουτέστι τὸν πύργον τὸν ἐν τῇ ἀσπίδι εἰς ὃν ὁ ὁπλίτης ἀνήρχετο, κοσμήσει τὸ τοῦ πατρὸς δῶμα ἐν τοῖς λαφύροις· κωμῳδεῖ τοῦτον ὁ ποιητὴς ἐμπαίζων. [5]

Th 477-479 ABCDHNdP 2 PdSjVWXaXcYYaYb τροφεῖα] τὰς ἀμοιβὰς τῆς ἀνατροφῆς ἀποδώσει τῇ μητρὶ γῇ.

Th 477a ADYa τροφεῖα] τὰ θρεπτήρια.

Th 477b PdV τροφεῖα] τὰ ὀφειλόμενα τοῖς τροφεῦσι γέρα.

Th 477c θTΞa πληρώσει] ἀποδώσει.

Th 477d BCNaPPdT πληρώσει] ἀνταποδώσει.

Th 477e CPXc πληρώσει] τελέσει.

Th 477f θT πληρώσει] δώσει.

Th 477g HΞa χθονὶ] τῇ γῇ.

Th 477h TV χθονὶ] τῇ πατρίδι.

Th 477i Ξa καὶ πόλισ μ ʼ ἐ π ʼ ἀσπίδ ( ο ς)· τὸν φέροντα τὴν ἀσπίδα καὶ τὸν ἐγγεγραμμένον τῇ ἀσπίδι καὶ τὸ ἐπʼ ἀσπίδος πόλισμα γραφέν.

Th 478a M ἢ καὶ δ ύ ʼ ἄνδρ ε· τὸν φέροντα τὴν ἀσπίδα καὶ τὸν ἐγγεγραμμένον τῇ ἀσπίδι καὶ τὸ ἐπʼ ἀσπίδος γεγραμμένον πόλισμα.

Th 478b I 1 δύʼ ἄνδρε] τὸν Ἐτέοκλον καὶ τὸν ἐν τῇ ἀσπίδι αὐτοῦ ἐζωγραφημένον καὶ τὴν πόλιν τὴν οὖσαν ἐν ἐκείνῃ.

Th 478c A δύʼ ἄνδρε] ἤτοι τὸν κρατοῦντα τὸ σάκος καὶ τὸν ἐζωγραφημένον ἤτοι ἐκεῖνον τὸν ἐζωγραφημένον ἐν τῇ ἀσπίδι {ἡ πόλις}.

Th 478d X δύʼ ἄνδρε] τὸν ἐν ἀσπίδι καὶ τὸν φέροντα ταύτην.

Th 478e θTΞa πόλισμα] τὴν πόλιν.

Th 478f T ἐπʼ ἀσπίδος] γεγραμμένην.

Th 478g T ἑλὼν] λαβών.

Th 479a PPdSjTVWYaYbΞa ἑλὼν] κρατήσας.

Th 479b BCX ἑλὼν] πορθήσας.

Th 479c NaP λαφύροις] κούρσοις.

Th 479d HSjYb λαφύροις] σκύλοις.

Th 479e VYa λαφύροις] + τοῖς ἐκ τοῦ πολέμου κέρδεσιν.

Th 479f T δῶμα] τὸ οἴκημα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 479g ATΞa κοσμήσει] λαμπρύνει.

Th 479h Ξa κόμπα ζ ' ἐ π ' ἄλλ ῳ· λέγε ἄλλον κομπώδη καὶ μηδὲ ἀποκρύψῃ με τῶν ἀλαζονειῶν.

Th 480a I 1 M λέγε μοι ἄλλον κομπάζοντα ἄνθρωπον καὶ μηδέν τι ἀποκρύψῃς.

Th 480b APPdYa κόμπαζ' ἐπ' ἄλλον] κομπηρῶς χώρει.

Th 480c θTΞa κόμπαζ' ἐπ' ἄλλον] μετὰ κόμπου χώρει, ἤγουν λέγε ἄλλον.

Th 480d T κόμπαζ'] λέγε.

Th 480e FbHNaV φθόνει] φείδου.

Th 480f CXc φθόνει] μέμφου.

Th 480g PΞa φθόνει] νάρκει.

Th 480h BH λέγων] γρ.

Th 480i λύων δηλονότι τὴν γλῶτταν. ADYa στίχοι κδ′.

Th 480j F pc ἐπεύχομαι δ ή· ἐπεύχομαι δὴ κατὰ ταῦτα εὐτυχεῖν σε, ὦ πρόμαχε τῶν ἐμῶν δόμων, ὦ προπολεμῶν τῆς οἰκίας ἡμῶν, τοῖσι δέ, ἤτοι τοῖς πολεμίοις, ἐπεύχομαι δυστυχεῖν· ὥσπερ δὴ ὑπέραυχα καὶ ὑπέρογκα καὶ κενόδοξα λέγουσιν ἐπὶ τῇ ἡμετέρᾳ πόλει, τώς νιν καὶ οὕτως αὐτοὺς ἐπίδοι ὁ Ζεὺς ὁ πάντα διανέμων κοταίνων καὶ ὀργιζόμενος κατ' αὐτῶν. [5]

Th 481-485a ABHP 2 PdSjVWYYa ἀντισπαστικὰ κῶλα ε′.

Th 481-485b τὰ δ′ τρίμετρα βραχυκατάληκτα ὅμοια τοῖς προτέροις, τὸ δὲ ε′ ἡμιόλιον. ἔοικε δὲ ἑτέρᾳ στροφῇ. F pc στροφὴ ἑτέρα κώλων ε′.

Th 481-485c T ἡμέτερα· + ἐπεύχομαι δ ή· ἡ β′ αὕτη στροφὴ κώλων ἐστὶ ε′.

Th 481-485d τὸ α′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ διιάμβου, παίωνος πρώτου καὶ κρητικοῦ. τὸ β′ ὅμοιον τρίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου, ἀντισπάστου καὶ διιάμβου. τὸ γ′ ὅμοιον ἐκ χοριάμβου, ἀντισπάστου καὶ διιάμβου. τὸ δ′ χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἢ προσοδιακὸν ἐκ χοριάμβου καὶ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάσσονος, ἢ ἰωνικοῦ διὰ τὴν ἀδιάφορον. τὸ ε′ ὅμοιον τρίμετρον καταληκτικὸν ἐκ χοριάμβου, παίωνος τρίτου καὶ σπονδείου. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ ὡς εἴρηται. T ἢ στικτέον εἰς τὸ εὐτυχεῖν ἵν' ᾖ ἡ σύνταξις οὕτως· ἐπεύχομαι δὴ τάδε μέν, ἤγουν τὰ παρ' ἡμῖν γινόμενα, εὐτυχεῖν καὶ εὐτυχῶς ἔχειν, τοῖσι δὲ καὶ τούτοις, ἤγουν τοῖς πολεμίοις, ἐπεύχομαι δυστυχεῖν. [5]

Th 481-482a τὸ δὲ ἰὼ πρόμα χ ' ἐμῶν δόμων διὰ μέσου· ἔστι δὲ πρὸς τὸν Ἐτεοκλῆν. ἢ γράφεται τῷδε μέ ν, ἵν' ᾖ οὕτως· ἐπεύχομαι τῷδε μὲν καὶ τούτῳ τῷ Ἐτεοκλεῖ ὥστε εὐτυχεῖν, τοῖσι δὲ καὶ τούτοις, ἤγουν τοῖς πολεμίοις, ἐπεύχομαι ὥστε δυστυχεῖν· τὸ δὲ ἰὼ πρόμα χ ' ἐμῶν δόμων διὰ μέσου. P 2a + οὕτω χρὴ γράφειν ταῦτα τὰ κῶλα τάδε μὲν εὐτυχεῖν καὶ πρόμα χ ' ἐμῶν δόμων, ἵν' οἰκείως ἔχῃ πρὸς τὰ τῆς ἀντιστροφῆς. [5]

Th 481-482b τὸ γὰρ ἰὼ περισσὸν ὂν ἐξεβλήθη παρ' ἐμοῦ· νοεῖται γὰρ ἔξωθεν τὸ ὦ. ἔστι δὲ τὸ μὲν τάδε πρὸς τὸ ἀπαρέμφατον, τὸ εὐτυχεῖν, τὸ δὲ τοῖσι πρὸς τὸ ἐπεύχομα ι. T ἐπεύχομαι] + ἐπὶ τούτοις εὔχομαι οἷς εἶπε. [5]

Th 481a T τάδε] τὰ παρ' ἡμῖν γινόμενα.

Th 481b DPdYa τάδε] ἃ εἶπεν.

Th 481c AYYa τῷδε] τῷ ἡμετέρῳ.

Th 481d θΞa τάδε] + ἤγουν τὰ ἡμέτερα.

Th 481e T εὐτυχεῖν] ἡμᾶς.

Th 481f HYa εὐτυχεῖν] νικῆσαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 481g Ξa ἰὼ] ἐπίκλησις τὸ ἰ ώ, καὶ οὐκ ἐκπληκτικόν, ἀλλ’ ἀντὶ τοῦ ὦ πρόμαχε.

Th 482a BDWYa τὸ ἰὼ ἐκπληκτικὸν ἅμα καὶ κλητικόν.

Th 482b PPd πρόμαχε] Ἐτεόκλεες.

Th 482c NaPPdθT πρόμαχε] βοηθέ.

Th 482d CH πρόμαχ’] ὑπέρμαχε, βοηθέ.

Th 482e Ξa δόμων] οἴκων.

Th 482f TV τοῖσι] τοῖς ἐχθροῖς.

Th 482g CHPdYa τοῖσι] τοῖς πολεμίοις.

Th 482h PθTVΞa ὑπέραυχα] ἀλαζονικά.

Th 483a CFdHNaPPdXcYa ὑπέραυχα] ὑπέρογκα.

Th 483b FP ὑπέραυχα] ὑπέρκομπα.

Th 483c θT ὑπέραυχα] ἐπηρμένα καὶ ἀλαζονικά.

Th 483d Ξa βάζους’] λέγουσι.

Th 483e BCHPVYaΞa βάζους’] βοῶσι.

Th 483f NaW βάζους’] βοῶσιν, ἀπειλοῦσιν.

Th 483g θT πόλει] τῇ ἡμετέρᾳ.

Th 483h ABPYa μαινομένῃ] μανικῇ.

Th 484a DTYa μαινομένῃ] ἀτάκτῳ, ἐξεστηκυίᾳ, παραφόρῳ.

Th 484b Ξa νιν] αὐτούς.

Th 484c ABCDFbHM 2 NaPPdRbTVXcYaYbΞa νιν] εἰπὼν πρόσθεν πληθυντικῶς βάζουσιν, εἶτα ἐπήγαγεν ἑνικὸν τὸ νι ν· εἰσὶ δὲ οἵ φασι καὶ τὸ νιν ἀντὶ τοῦ αὐτούς.

Th 484d θ νιν] αὐτόν.

Th 484e FbRa νεμέτωρ] ὁ πᾶν διανέμων.

Th 485a HMYa νεμέτωρ] ὁ πάντα διανέμων καὶ διοικῶν ἢ ὃς νεμεσᾷ καὶ κακῶς διατίθεται ἐπὶ τοῖς παρ’ ἀξίαν νεμομένοις.

Th 485b B a NdYa νεμέτωρ] ὁ πάντα διανέμων καὶ διοικῶν.

Th 485c AP νεμέτωρ] ὁ τὰ πάντα διοικῶν.

Th 485d CPdVXc νεμέτωρ] ὁ πάντων διοικῶν ἢ ὁ μεμφόμενος τοῖς ὑπέρφροσιν ἢ ὁ πάντων παροχεύς.

Th 485e θT νεμέτωρ] ὁ τὴν νέμεσιν ἔχων.

Th 485f Ξa κοταίων] ὀριγιζόμενος.

Th 485g ABCHNaPPdTVXcYa κοταίνων] μνησικακῶν καὶ ὀργιζόμενος.

Th 485h Ξa + διπλῆς ἑτέρα περίοδος· οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι λε′.

Th 486-520a F pc ἡμέτερα· + τέταρτος ἄλλο ς· αἱ μονοστροφικαὶ αὗται καὶ συστηματικαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων λε′ ὧν τελευταῖος (520)· σωτὴρ γένοι τ ’ ἂν Ζεὺς ἐ π ’ ἀσπίδος τυχώ ν· ἐπὶ τῷ τέλει ἑκάστου περιόδου παράγραφος.

Th 486-520b T γείτονας πύλας ἔχω ν· ὧν εἶπεν.

Th 486a γείτονας οὖν πύλας ἐγγὺς 〈ἔχων〉 ταύτας ἵσταται ἅμα βοῇ τὰς τῆς Ἀθηνᾶς τῆς Ὀγκαίας, ἀφ’ ἧς καὶ αἱ πύλαι Ὀγκαῖαι. ἡ δὲ ἱστορία αὕτη. Ἀγήνωρ ὁ Τύριος παῖδας ἔσχεν τρεῖς, Εὐρώπην, Κάδμον καὶ Κίλικα. τῆς δ’ Εὐρώπης ὑπὸ Διὸς ἁρπασθείσης ὁ Φοῖνιξ ἀπέστειλεν ἐπὶ ζήτησιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταύτης τοὺς παῖδας, καὶ εἰ μὴ εὕροιεν, προσέταξε μὴ ἐπανήκειν. ὁ οὖν Κάδμος ἐλθὼν εἰς Ἑλλάδα καὶ μὴ εὑρὼν εἰς Δελφοὺς ἦλθεν ἐρωτήσων ποῦ κατασταίη. ὁ δὲ θεὸς εἶπεν αὐτῷ μετὰ τὸ ἀπὸ τοῦ ἱεροῦ ἐξελθεῖν τῷ εὑρεθέντι ἀκολουθεῖν. εὑρέθη βοῦς· ἠκολούθει. ἦλθεν εἰς Θήβας, ὤλισθεν ἡ βοῦς, καὶ ὁ μὲν Κάδμος ἐκεῖ ᾤκησεν, ἔθυσε δὲ τὴν βοῦν Ἀθηνᾷ, καὶ τῇ Αἰγυπτίᾳ φωνῇ ταύτην ἐτίμησεν ἐκεῖ Ὄγκαν. ὅθεν οὕτως καὶ αἱ πύλαι ὠνομάσθησαν, ἀπὸ δὲ Κίλικος Κιλικία. M Ὄγκα ἡ Ἀθηνᾶ ἐκλήθη τοῦτον τὸν τρόπον. [10]

Th 486b Ἀγήνωρ ὁ Τύριος παῖδας ἔσχε τρεῖς, Εὐρώπην, Κάδμον καὶ Κίλικα. τῆς δὲ Εὐρώπης ἀπὸ Διὸς ἁρπασθείσης ὁ Φοῖνιξ ἀπέστειλεν ἐπὶ ζήτησιν ταύτης τοὺς παῖδας, καὶ εἰ μὴ εὕροιεν, προσέταξε μὴ ἐπανήξειν. ὁ οὖν Κάδμος ἐλθὼν εἰς Ἑλλάδα καὶ μὴ εὑρὼν εἰς Δελφοὺς παραγίνεται ἐρωτήσων ποῦ κατασταίη. ὁ δὲ θεὸς εἶπεν αὐτῷ μετὰ τὸ τοῦ ἱεροῦ ἐξελθεῖν τῷ εὑρεθέντι ἀκολουθεῖν. εὑρέθη βοῦς· ἠκολούθει αὐτῇ. ἦλθεν εἰς Θήβας, ὤλισθεν ἡ βοῦς, καὶ ὁ μὲν Κάδμος ἐκεῖ ᾤκησε κατὰ τὸν χρησμόν, τὴν δὲ βοῦν ἔθυσε τῇ Ἀθηνᾷ καὶ τῇ τῶν Αἰγυπτίων φωνῇ ταύτην ἐτίμησε ἐκεῖ Ὄγκαν προσαγορεύσας. ὅθεν καὶ αἱ πύλαι Ὀγκαῖαι ἐκλήθησαν ὥσπερ καὶ ἀπὸ τοῦ Κίλικος ἡ Κιλικία. I 1 τέταρτος ἄλλος γείτονας πύλας ἔχω ν· ἤτοι γείτονας τῶν ὧν εἶπεν ἄνωθεν. [10]

Th 486c γείτονας οὖν πύλας τὰς τῆς Ἀθηνᾶς φησι τῆς Ὀγκαίας, ἀφ’ ἧς καὶ αἱ πύλαι αὗται Ὀγκαῖαι ἐλέγοντο· ἄνωθεν γὰρ τῶν πυλῶν ἐκεῖσε ἡ Ἀθηνᾶ ἐγέγραπτο. σημείωσαι δὲ ὅτι ἐκ ἱστορίας τοιαύτης Ὄγκα ἡ Ἀθηνᾶ παρὰ Θηβαίοις ἐλέγετο. Ἀγήνωρ ὁ Τύριος παῖδας ἔσχε τρεῖς, Εὐρώπην, Κάδμον καὶ Κίλικα. τῆς δὲ Εὐρώπης ὑπὸ τοῦ Διὸς ἁρπαγείσης ἀπέστειλεν ὁ Ἀγήνωρ τοὺς ἑτέρους παῖδας αὐτοῦ εἰς ἐπιζήτησιν αὐτῆς, καὶ εἰ μὴ εὕροιεν, προσέταξε μὴ ἐπανήκειν. ὁ οὖν Κάδμος ἐλθὼν εἰς Ἑλλάδα καὶ μὴ εὑρὼν τὴν Εὐρώπην εἰς Δελφοὺς ἦλθεν ἐρωτῆσαι τὸν Ἀπόλλωνα ποῦ κατασταίη. ὁ δὲ θεὸς εἶπεν αὐτῷ μετὰ τὸ ἐξελθεῖν τοῦ ἱεροῦ τῷ εὑρεθέντι ἀκολουθεῖν. εὑρέθη βοῦς· ἠκολούθει οὖν αὐτῇ. ἦλθεν εἰς Θήβας· ὤλισθεν ἡ βοῦς καὶ ὁ Κάδμος ἐκεῖ ᾤκησε. ἔθυσε τὴν βοῦν Ἀθηνᾷ καὶ τῇ Αἰγυπτίᾳ φωνῇ ταύτην ἐτίμησεν ἐκεῖ Ὄγκαν. ὅθεν οὕτως καὶ αἱ πύλαι ὠνομάσθησαν, ἀπὸ δὲ Κίλικος τοῦ Κάδμου ἀδελφοῦ Κιλικία ἡ χώρα. ABCDHNdP 2 PdR 1 SjVWXaXcYYa ἄλλος] στρατηγός. [15]

Th 486d LcΞa γείτονας] τὰς πλησίον οὔσας.

Th 486e APPdV γείτονας] τῇ Νηίτιδι.

Th 486f SjYb γείτονας] ταῖς Νηίτισι.

Th 486g θ γείτονας] τῶν προειρημένων δῆλον.

Th 486h Ξa ἔχων] κληρωσάμενος.

Th 486i BΞa ἔχων] φυλάττων.

Th 486j ACNaP Ὄγκαν προσαγορεύσας τῇ τῶν Φοινίκων διαλέκτῳ· ἐπεγέγραπτο δὲ τῷ ἱερῷ τούτῳ· Ὄγκας νηὸς ὅδ’ ἐστὶν Ἀθήνης ὅν ποτε Κάδμος εἵσατο βοῦν θ’ ἱέρευσεν, ὅτ’ ἔκτισεν ἄστυ τὸ Θήβης.

Th 487a FbP 2 PdSjWYa Ὄγκας] ἐπίθετον τῆς Ἀθηνᾶς.

Th 487b AΞa Ὄγκας] Δωρικόν.

Th 487c DRbYa + ἐκτὸς μιᾶς τῶν πυλῶν τῆς πόλεως ἱερὸν ἦν Ἀθηνᾶς Ὄγκας ὀνομαζομένης, καὶ τάδε ἐπ’ αὐτῷ ἐπεγέγραπτο· Ὄγκας τῆς Διός ἐστιν Ἀθήνης ὅν ποτε Κάδμος εἵσατο βοῦν θ’ ἱέρευσεν, ὅτ’ ἔκτισεν ἄστυ τὸ Θήβης.

Th 487d T Ὄγκας] + κατὰ Φοινίκων διάλεκτον.

Th 487e T ξὺν βοῇ] θορύβῳ καὶ ὄχλῳ.

Th 487f ADPPdRbYa ξὺν βοῇ] μετὰ θορύβου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 487g CSjYb ξὺν βοῇ] μετὰ ταραχῆς.

Th 487h Ξa παρίσταται] πλησιάζει.

Th 487i FdΞa περιφραστικῶς ὁ Ἱππομέδων, μέγας ὢν καὶ κάλλιστον ἔχων σχῆμα.

Th 488a MPPdYa περιφραστικῶς ὁ Ἱππομέδων, μέγας ὢν καὶ κάλλιστον ἔχων σχῆμα.

Th 488b περίφρασις δὲ λέγεται ἢ διὰ τὸ ἐν πλείοσι φράζεσθαι λέξεσι ἢ διὰ τὸ ση[μαίνειν] τι τῶν περὶ τὸ πρᾶγμα. I 1 περιφραστικῶς ὁ Ἱππομέδων· καὶ τὸ μέγας τύπος ἀντὶ τοῦ μέγας ὢν ὁμοίως.

Th 488c A περίφρασις.

Th 488d BCHXc περὶ τοῦ Ἱππομέδοντος.

Th 488e T τό γ’] + οὕτω γράφε διὰ τὸ μέτρον.

Th 488f T Ἱππομέδοντος σχῆμα] ἤγουν ὁ Ἱππομέδων.

Th 488g FbT τὸ σχῆμα καὶ ὁ τύπος ἐκ παραλλήλου.

Th 488h θT μέγας] φοβερός.

Th 488i θT τύπος] κενόδοξος.

Th 488j BCHXc τύπος] ἐπηρμένος.

Th 488k BH τύπος] + μακρὸν γὰρ εἶχε σῶμα.

Th 488l T τύπος] μορφή.

Th 488m Ξa ἅλω δὲ πολλή ν· ἅλως ἐστὶ κυρίως ὅταν νέφη περὶ τὸν ἥλιον ἐκκαυθέντα λευκὰ φαίνηται καὶ ἐν κύκλῳ τοῦ ἡλίου γένηται.

Th 488n νῦν δὲ λέγει τὸν ῥοῖζον καὶ τὴν κίνησιν τὴν συνεχῆ τῆς ἀσπίδος· ἔφριξα οὖν, φησί, κινήσαντος καὶ οὐ ψευδῆ λέγω. ὁ δὲ ποιήσας τὴν ἀσπίδα καὶ τὰ σημεῖα αὐτῆς οὐκ ἦν ὡς ἔοικεν εὐτελής. M ἐκ μεταφορᾶς τῆς ἅλω ἥτις ἐστὶ νέφος ἐκκαυθὲν κύκλῳ τοῦ ἡλίου φαινόμενον. [5]

Th 489a I 1 ἅλω δὲ πολλή ν· ἅλω ἐστὶ κυρίως ὅταν νέφη περὶ τὸν ἥλιον ἐκταθέντα λευκὰ φαίνηται καὶ ὡς ἐν κύκλῳ τοῦ ἡλίου γένηται.

Th 489b νῦν δὲ λέγει τὸν ῥοῖζον καὶ τὴν συνεχῆ κίνησιν τῆς ἀσπίδος· κινήσαντος οὖν, φησί, ταύτην τοῦ Ἱππομέδοντος ἔφριξα· οὐ ψευδῆ λέγω. ABCDHNd P 2 PdSjVWXaXcYYa τὸ ὑπὸ σελήνην φαινόμενον οἷον ἁλώνιον κατ’ ἔμφασίν ἐστιν, ἀλλ’ οὐ καθ’ ὑπόστασιν, τὰ ἐναντία δὲ ἔχει τῆς ἴριδος. [5]

Th 489c ἐπὶ μὲν γὰρ τὸ πλεῖστον κύκλος φαίνεται τέλειος, σπανιώτερον δὲ ἐλάττων κύκλου, καὶ περὶ τὴν σελήνην δὲ μάλιστα, ἔλαττον δὲ καὶ περὶ τὸν ἥλιον φαίνεται, καὶ νυκτὸς μὲν πλέον, ἔλαττον δὲ ἡμέρας, καὶ περὶ μὲν τὸν μεσημβρινὸν κύκλον ὡς ἐπὶ τὸ πλεῖστον, σπανίως δὲ καὶ περὶ τὸν ὁρίζοντα. καὶ μία ἀεὶ καὶ μονόχροος ἤτοι λευκὴ καὶ συνίσταται ἐπὶ ὁμαλοῖς καὶ ὁμοιομερέσι νέφεσι. γίνεται δὲ καὶ αὕτη ἐξ ἀνακλάσεως τῆς ὄψεως. δεῖ δὲ τὸ ἔνοπτρον ἀφ’ οὗ ἀνακλᾶται πυκνὸν εἶναι καὶ λεῖον καὶ διαφανές, ἵνα ἐκεῖσε ἐμφαίνηται τὸ εἴδωλον τοῦ ὁρατοῦ. P 2 PdSjWYa παρῄκασε ταύτην ἁλωνίδι ὅτι περιφερὴς ἦν καὶ ὁμοία ἅλωνι. [10]

Th 489d Nd τὴν περιφέρειαν τῆς ἀσπίδος· τοῦτο ἐφερμηνευτικὸν τοῦ ἅλω.

Th 489e AYa ἅλω] τὴν περιφέρειαν.

Th 489f BCDFbHNaPPdXYb ἅλω] + ἅλωνα λέγει αὐτὴν διὰ τὸ εἶναι μεγάλην· πρὸς γὰρ τὸ τοῦ σώματος αὐτοῦ μέγεθος ἔχει καὶ τὴν ἀσπίδα μεγίστην.

Th 489g T ἅλω] τὴν μεγάλην ἅλωνα τῆς ἀσπίδος.

Th 489h Ξa πολλὴν] μεγάλην.

Th 489i TV κύκλον] ἐφερμηνευτικόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 490a B οὐ ψευδῶς λέγω ὅτι ἔφριξα.

Th 490b ὁ δὲ ποιήσας τὴν ἀσπίδα καὶ τὰ σημεῖα αὐτῆς οὐκ ἦν ὡς ἔοικεν εὐτελής. I 1 ὁ ἄγγελος ἰδὼν τὸν Ἱππομέδοντα κινήσαντα τὴν ἀσπίδα ἐταράχθη ἐκπλαγείς.

Th 490c διὰ τοῦτο λέγει τὸ ἔφριξ α. τὸ δὲ οὐκ ἄλλως ἐρῶ ἤτοι οὐκ ἄλλως εἴπω, ἀλλ' ὡς εἶδον καὶ ὥσπερ μοι ἡ φρίκη συνέβη. Nd ἔφριξα] + ἐφοβήθην, συνεστάλην.

Th 490d T δινήσαντος] συστρέψαντος τοῦ Ἱππομέδοντος.

Th 490e ABDHPPdYa Ξa δινήσαντος] κινήσαντος.

Th 490f BQX δινήσαντος] + κινήσαντος διὰ τοῦ ἐν τῷ μέσῳ αὐτῆς πόρπακος.

Th 490g T ἄλλως] μάτην.

Th 490h ABDFdPPdQTXcYa ἄλλως] παρ' ἃ εἶδον.

Th 490i θ ἄλλως] παρηλλαγμένως.

Th 490j FdQ ἄλλως] ψευδῶς.

Th 490k Ξa ἐρῶ] λέξω.

Th 490l AXcYa + θαυμάζει τὸν τὴν ἀσπίδα κατασκευάσαντα, ὡς οὐκ εὐτελής τις ἦν, ἀλλὰ καὶ μάλα σοφός· ἔφασκε γὰρ οἷον καὶ οὗτος διὰ τοῦ τῆς ἀσπίδος ὁ Ἱππομέδων αἰνίγματος, ὡς οὕτω καὶ ἡμεῖς πῦρ βαλόντες τὴν ὑμετέραν ἐμπρήσομεν πόλιν καὶ καπνοῦ δίκην αὐτὴν ἀμαυρώσομεν, καὶ ὥσπερ τινὲς ὄφεις κύκλῳ περιπλακέντες ὑμῶν τοῖς δόρασιν ὡς ὀδοῦσι κατακεντήσομεν.

Th 491-496 T ὁ σημαντουργὸς δ ' οὔ τι ς· ὁ δὲ ποιήσας τὴν ἀσπίδα καὶ σημεῖα ἐγγράψας αὐτῇ οὐκ ἦν ὡς ἔοικεν εὐτελής, ὅστις ὤπασεν ἐπὶ τῆς ἀσπίδος, ἤτοι ἔδωκε καὶ παρέσχε καὶ ἱστόρησεν ἐπὶ τῆς ἀσπίδος, τοῦτο τὸ ἔργον, τουτέστι Τυφῶνα ἀφιέντα ἀπὸ τοῦ στόματος καπνὸν μέλανα τὸν τοῦ πυρὸς ἀδελφόν.

Th 491-493 τὸ γὰρ πῦρ καὶ ὁ καπνὸς ἀδελφοί εἰσιν ἐκ τῆς εὐεξάπτου ὕλης τικτόμενα· αἰόλην δὲ τὴν εὐκίνητον καὶ ταχεῖαν λέγει καὶ ἑλισσομένην συχνῶς. ACNdP 2 PdSjVWXaYYa ὁ σημαντουργὸς] ὁ τὰ σημεῖα ταῦτα ζωγραφήσας ἐν τῇ ἀσπίδι.

Th 491a ABDYa ὁ σημαντουργὸς] ὁ ζωγράφος.

Th 491b BCFdHNaOPRbXc ὁ σημαντουργὸς] σημείων ἐργάτης.

Th 491c θTΞa ὁ σημαντουργὸς] ὁ σχηματοπλάστης.

Th 491d Ξa εὐτελὴς] πενιχρὸς κατὰ τὴν τέχνην.

Th 491e ABDYa εὐτελὴς] ἀμαθής.

Th 491f PPd εὐτελὴς] φαῦλος.

Th 491g θ εὐτελὴς] ἄτεχνος.

Th 491h FdHa εὐτελὴς] ἄτεχνος καὶ σμικροπρεπής.

Th 491i Ξa τόδ'] ἔργον ὃ μέλλω ἐρεῖν.

Th 492a T ὤπασε] ἐνέγραψε.

Th 492b ABDNaPPd ὤπασε] παρέσχεν.

Th 492c AHYa ὤπασε] ἀνέγραψε.

Th 492d HRb ὤπασε] ἱστόρησε.

Th 492e CXc ὤπασε] ἤγουν ἐτύπωσε.

Th 492f θT ὤπασε] προσέθηκε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 492g NbΞa Τυφῶ ν ’ ἱέντ α· ὤπασε δὲ ἐπὶ τῆς ἀσπίδος τὸν Τυφῶνα ἀφιέντα διὰ τοῦ στόματος τοῦ πῦρ πνέοντος καπνὸν μέλανα τὸν ἀδελφὸν τοῦ πυρός.

Th 493a αἰόλην δὲ τὴν εὐκίνητον καὶ ταχεῖαν. κάσιν δὲ εἶπεν ἐπεὶ σύνεστι τῷ πυρὶ ὁ καπνός. M Τυφῶν’ ἱέντα] ἤτοι τὸν Τυφῶν τὸν πύρπνοον ἱέντα καὶ πέμποντα.

Th 493b A ἱέντα] πέμποντα.

Th 493c BCDHNaPPdQRaRbSjTVWXcYaYb πύρπνοον] + τουτέστι διὰ τοῦ πῦρ πνέοντος στόματος Ἀττικῶς.

Th 493d T διὰ στόμα] διὰ τοῦ στόματος τοῦ πυρπνόου.

Th 493e CΞa καπνὸν μέλανα ἀδελφὸν τοῦ πυρός· αἰόλην δὲ τὴν εὐκίνητον καὶ ταχεῖαν.

Th 494a λιγνὺς δὲ κυρίως ὁ ἀπὸ ἐλαίου ἐξικνούμενος καπνός. τῶν παραδόξων δὲ ἐν χαλκῷ λαμπρῷ δεῖξαι μέλαιναν. I 1 καπνός, ἀτμός, αἰθάλη, βδέλος, κνίσσα, λιγνὺς διαφέρει· καπνὸς ὁ ἀπὸ ξύλων, ἀτμὸς ὁ ἀπὸ ὕδατος, αἰθάλη ἡ ἀπὸ λίθου, βδέλος ὁ ἀπὸ λύχνου, λιγνὺς καὶ κνίσσα ὁ ἀπὸ κηρίων καὶ ἐλαίων.

Th 494b CNdP 2 PdSjRbW XaYa καπνὸς ἀπὸ ξύλου, ἀτμὸς ἀπὸ ὕδατος, αἰθάλη ἀπὸ λίθων, βδέλος ἀπὸ λύχνων, λιγνὺς ἀπὸ ἐλαίου καὶ κηροῦ, κνίσσα δὲ ἀπὸ κρεῶν.

Th 494c θT λιγνὺς κυρίως ὁ ἐκ τοῦ λίπους καπνός.

Th 494d καπνὸς ὁ ἀπὸ ξύλων, ἀτμὸς ὁ ἀπὸ ὕδατος, αἰθάλη ἡ ἀπὸ λίθων, λιγνὺς ὅπερ εἴρηται ἢ ὁ ἀπὸ ἐλαίων καὶ κηροῦ, κνίσσα δὲ ἡ ἀπὸ κρέατος. Ξa λιγνὺν] καπνόν, ἀναθυμίασιν.

Th 494e ABCDNaPPdRbYa λιγνὺν] καπνόν.

Th 494f HQθTXc τῶν παραδόξων ἐν χαλκῷ λαμπρῷ δεῖξαι μέλαν.

Th 494g M αἰόλην] εὐκίνητον, ταχεῖαν.

Th 494h APRbYa αἰόλην] εὐκίνητον.

Th 494i BDHPd αἰόλην] ταχεῖαν.

Th 494j CO αἰόλην] ποικίλην.

Th 494k NaPQθTV αἰόλην] εὐκίνητον καὶ κούφην, ἐλαφράν.

Th 494l ἀπὸ τοῦ ἄελλα ἡ πνοὴ καὶ ἀελλόπους. Ξa κάσιν] ἀδελφόν.

Th 494m ABCFdHNaPdQSjYYaYb κάσιν] ἀδελφόν· ὁ γὰρ καπνὸς ἕπεται τῷ πυρὶ φυσικῶς.

Th 494n θT ὄφεων δὲ πλεκτάναισ ι· τὸ κύτος δέ, φησί, τὸ στρογγύλον τοῦ κύκλου δηλαδὴ τῆς ἀσπίδος τῆς κοιλογάστορος—ὅλη γάρ τις περιφερὴς καὶ κοίλη προσυπεμφαίνεται—προσηδάφισται καὶ προσπέπλεκται πλεκτάναις τῶν ὄφεων νειόθεν καὶ ἀπ’ αὐτῆς τῆς ἀρχῆς τῆς ἀσπίδος, ἤτοι ἡ ἀσπὶς κύκλωθεν ἔχει ἐζωγραφημένους ὄφεις περιπεπλεγμένους. [5]

Th 495-496 ABCDHNdP 2 PdSjVWXaXcYYa τοὺς γηγενεῖς δρακοντόποδας ἔγραψεν.

Th 495a M πλεκτάναισι] ἐν συμπλοκαῖς.

Th 495b PYbΞa πλεκτάναισι] περιπλοκαῖς.

Th 495c FbT περίδρομον κύτο ς· τὸ χώρημα τῆς ἀσπίδος· ἡ δὲ περιφέρεια τῆς ἀσπίδος κύκλῳ ὀφίων εἰς ἑαυτοὺς ἄντικρυς ὁρώντων καὶ ἐμπεπλεγμένων τὰ τέλη ἔχει ἐγγεγραμμένα πρὸς τὰ τέλη.

Th 495d I 1 M περίδρομον] ἡ περιφέρεια τοῦ σάκους.

Th 495e BH περίδρομον] τὸ στρογγύλον.

Th 495f BCM 2 PXc περίδρομον] κυκλοτερές.

Th 495g DFbHPTYaΞa περίδρομον] τὸ στρογγύλον κύτος τοῦ κύκλου, ἤγουν τῆς ἀσπίδος ἡ περιφέρεια.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 495h A περίδρομον] ἤγουν ἐν κύκλῳ.

Th 495i θ κύτος] πλάτος.

Th 495j PθT κύτος] τὸ χώρημα.

Th 495k Ξa προσηδάφισται] προσπέπλεκται.

Th 496a BDHOVYa προσηδάφισται] κεχρωμάτισται.

Th 496b BH προσηδάφισται] προσπέπακται ἀπ’ αὐτῆς τῆς ἀρχῆς τῆς ἀσπίδος.

Th 496c AB προσηδάφισται] περιγέγραπται.

Th 496d PPd προσηδάφισται] ἡ λέξις αὕτη κατὰ φιλοσόφους.

Th 496e B προσηδάφισται] ἤτοι ἕως τοῦ τέλους· τὸ τέλος γὰρ τοῦ σκουταρίου πρὸς τὴν γῆν ἐπιρρέπει· διὰ τοῦτο εἶπεν τὸ προσηδάφισται.

Th 496f X προσηδάφισται] ὑπέστρωται.

Th 496g θT προσηδάφισται] προσεζωγράφηται.

Th 496h Ξa 〈κοιλογάστοροσ〉] ἡ ἀσπὶς ἡ κοίλη πρὸς τῇ γαστρὶ τοῦ κατέχοντος αὐτὴν οὖσα.

Th 496i M κοιλογάστορος δὲ τοῦ πρὸς τῇ γαστρὶ τοῦ κατέχοντος αὐτὴν κοίλου ὄντος.

Th 496j I 1 κοιλογάστορο ς· τοῦ περιφεροῦς· καὶ κοίλην λέγει τὴν ἀσπίδα.

Th 496k A κοιλογάστορος] νειόθεν.

Th 496l BH κοιλογάστορος] ἤγουν τῆς ἀσπίδος τὸ ἔξωθεν λέγει κύτος, τὸ δὲ ἔσωθεν κοῖλον.

Th 496m Ya κοιλογάστορος] τὸ ἔξωθεν τῆς ἀσπίδος κυρτοῦται, τὸ δὲ ἔσω κοιλαίνεται.

Th 496n PPd κοιλογάστορος] ἤγουν τῆς ἀσπίδος.

Th 496o PdSj κοιλογάστορος] τῆς ἀσπίδος τῆς ἐχούσης γαστέρα κοίλην.

Th 496p CYb κοιλογάστορος] τοῦ κοίλην γαστέρα ἔχοντος· τοιαύτη γὰρ ἡ ἀσπὶς κατὰ τὸ εἶδος ὑπανεστηκυῖα καὶ κοῖλον ἔχουσα τὸ ἐντός.

Th 496q θT κοιλογάστορος] ἤτοι τοῦ κυκλοτεροῦς σάκους τοῦ κοιλογάστορος ἤγουν τοῦ κοίλην ἔχοντος τὴν γαστέρα.

Th 496r Ξa κύκλου] τοῦ σκουταρίου.

Th 496s DP αὐτὸς] ὁ Ἱππομέδων.

Th 497a ABCDHNaPPdYa ἐπηλάλαξεν] ἤχησεν.

Th 497b BCH ἐπηλάλαξεν] ἤχει, ἐβόα, ἐφώνει.

Th 497c ADYa ἐπηλάλαξεν] ἐβόησεν.

Th 497d FbLcNaP ἐπηλάλαξεν] ἐφώνει.

Th 497e PPd ἐπηλάλαξεν] + ἀνεβόησεν.

Th 497f T ἐπηλάλαξεν] ἐκινήθη μετὰ θάρσους.

Th 497g Ξa ἔνθεος δ ’ Ἄρην βακχ ᾷ· βακχᾷ δὲ καὶ ἐνθουσιᾷ καὶ ὁρμᾷ πρὸς τὸν πόλεμον ἔνθεος καὶ ὁρμητικὸς καὶ πηδητικὸς πρὸς τὴν ἀλκὴν ὡς θυὰς ἤτοι βάκχα τις φόβον βλέπων, ἤτοι ἐκπληκτικῶς καὶ φοβερῶς.

Th 497-498a ABCDHNdP 2 PdSjVWXaYYa γράφεται δὲ καὶ βάκχα καὶ συντάσσεται οὕτως· ἔνθεος δὲ καὶ ὁρμητικός ἐστιν ὁ Τυφὼς πρὸς τὸν Ἄρην ὥσπερ τις βάκχα θυὰς καὶ μαινομένη.

Th 497-498b ACNdP 2 PdSjVWXaYa ἄλλως· ἔνθεοι λέγονται οἱ ὑπὸ φάσματός τινος ἀφαιρεθέντες τὸν νοῦν καὶ ὑπ’ ἐκείνου τοῦ θεοῦ τοῦ φασματοποιοῦ κατεχόμενοι.

Th 497-498c

Ya ἔνθεος] ἐμμανής.

Th 497h M ἔνθεος ὁ καὶ θεόληπτος λεγόμενος.

Th 497i I 1 ἔνθεος] κάτοχος, ἐνθουσιῶν τῷ πολέμῳ καὶ ὁρμητικός.

Th 497j BH ἔνθεος] ὁρμητικὸς πρὸς τὸν πόλεμον.

Th 497k AYa ἔνθεος] ὁρμητικός.

Th 497l CNaPVXc ἔνθεος] ἤτοι ἐνθουσιῶν τῷ Ἄρει ἤγουν μαινόμενος.

Th 497m PPd ἔνθεος] κάτοχος καὶ ἐξεστηκώς.

Th 497n θT ἔνθεος] ὁ θεόληπτος καὶ κάτοχος.

Th 497o Ξa βακχᾷ] ἐνθουσιᾷ, ὁρμᾷ.

Th 498a BDHPVXcYYa βακχᾷ] ὁρμᾷ.

Th 498b ANbY βακχᾷ] μανικῶς ὁρμᾷ.

Th 575d Ξa καὶ τὸν σὸν αὖθις πρὸς μόρον ἀδελφεὸν Πολυνείκους βία ν· καὶ τὸν σὸν ἀδελφόν—περιφραστικῶς δηλαδὴ τὸν Πολυνείκην—ἐξυπτιάζων καὶ ἐξαπλῶν καὶ ὕπτιον οἷον καὶ ἀνατεταμένον τιθείς—λέγω δὴ τὸ ὄνομα αὐτοῦ, τοῦτο δὴ τὸ Πολυνείκης—δίς τε ἐνδατούμενος, ἤτοι εἰς δύο μερίζων καὶ διακόπτων αὐτὸ εἰς τὸ πολὺ καὶ τὸ νεῖκος, τὸ ἐν τελευτῇ καλεῖ καὶ τοῖς ἑαυτοῦ περιφέρει χείλεσι, τὸ νεῖκος δηλαδὴ λέγων, ὡς πολλὰ νείκη τῇδε θήσεται. [5]

Th 576-579 ABCDNcNdP 1 PdSjV WXaXcYYa καὶ τὸν οὐκ ἐπὶ φιλίᾳ σὸν ἀδελφὸν γενόμενον, ἀλλ' ἐπὶ μάχῃ καὶ φθορᾷ, τὴν βίαν λέγω τοῦ Πολυνείκους, ἤτοι τὸν Πολυνείκην, ἐξυπτιάζων καὶ ἀναπτύσσων τὸ αὐτοῦ ὄνομα καὶ εἰς δύο τέμνων, καλεῖ καὶ ὀνομάζει ἐν τῇ τελευτῇ ἀντὶ Πολυνείκους νεῖκος καλῶν, τὸ πολὺ παριείς. [5]

Th 576-578 θ γράφεται καὶ τὸν σὸν αὖθις πρόσπορον ἀντὶ τοῦ τὸν ἐκ τοῦ αὐτοῦ σπόρου.

Th 576a P 1 PdSj τὸν σὸν] βάζει.

Th 576b BO τὸν σὸν] καλεῖ.

Th 576c CSjYb ἀξιοθάνατον ἢ τὸν σύμμοιρον καὶ συμπράκτορα Τυδέως, ἢ τὸν ἐγγὺς ὄντα θανάτου καὶ σύν σοι μέλλοντα θανεῖν.

Th 576d γράφεται δὲ καὶ πρόσπορο ν. I 1 προσμόρον] τὸν ἀξιοθάνατον· ἢ τὸν συμπράκτορα αὐτοῦ.

Th 576e M πρόσμορον δὲ ἀδελφὸν ἢ πρόσπορον τὸν ἐκ τοῦ αὐτοῦ σπόρου, ἢ τὸν συμπράκτορα, καὶ πρόσμορον τὸν ἐγγὺς μόρου, τὸν ἀξιωθέντα, τὸν ἄξιον ἀπωλείας, τοῦ βιαίου θανάτου.

Th 576f Ya πρόσμορον] ἐγγὺς θανάτου, ἄξιον.

Th 576g BNc πρόσμορον] τὸν ἐγγὺς τοῦ θανάτου.

Th 576h CPXcYa πρόσμορον] πλησιοθάνατον.

Th 576i PPd πρόσμορον] κακοθάνατον.

Th 576j CXc πρὸς μόρον] τὸν οὐκ ἐπὶ φιλίᾳ ἀδελφόν, ἀλλ' ἐπὶ μάχῃ καὶ φθορᾷ γενόμενον.

Th 576k θ ἡμέτερον· + οἱ γράφοντες πρὸς μόρον τὸ ρον μικρὸν καὶ δύο μέρη τοῦτο ποιοῦντες οὐκ ἴσασι τὰ περὶ τῶν μέτρων.

Th 576l χρὴ τοίνυν μεγεθύνειν αὐτὸ καὶ ὡς ἓν λογίζεσθαι μέρος καὶ οὕτω συντάσσειν· καὶ τὸν σὸν αὖθις ἀδελφόν—τὴν βίαν λέγω τοῦ Πολυνείκους, ἤγουν τὸν Πολυνείκην— τῶν προσμόρων καὶ τῶν πλησιοθανάτων καλεῖ κατὰ συνεκδοχήν· ἢ βάζει τῶν προομόρων ὑπάρχειν, ἤγουν τῶν

ἐγγὺς ὄντων θανάτου, ἐξυπτιάζων καὶ ἀναπτύσσων τὸ ὄνομα αὐτοῦ καὶ δὶς ἐνδατούμενος καὶ μερίζων τοῦτο, τὸ ἐν τῇ τελευτῇ μόνον ὄνομα καλεῖ, τουτέστι τὸ νεῖκος. ἢ οὕτω· καὶ ἐνδατούμενος καὶ μερίζων αὐτό, δὶς καλεῖ τὸ ἐν τῇ τελευτῇ ὄνομα ‘νεῖκος νεῖκος εἶ‘ λέγων αὐτῷ, ἀφεὶς τὸ πολ ύ. T προσμόρων] + τῶν πλησιοθανάτων καλεῖ, ἤγουν τῶν ἐγγὺς ὄντων θανάτου. [10]

Th 576m T ἀδελφεόν] τοῖς κακοῖσι βάζει.

Th 576n PPd ἀδελφεόν] + ἀδελφόν.

Th 576o TV ἐξυπτιάζων] ἀναπτύσσων, ἐτυμολογῶν.

Th 577a M ἐξυπτιάζων] σαφηνίζων, ἀναπτύσσων, δῆλον δι’ ἐτυμολογ(ίας) ποιῶν.

Th 577b I 1 ἐξυπτιάζων] ἐτυμολογῶν.

Th 577c BOPYYaYb ἐξυπτιάζων] διαιρῶν.

Th 577d AbBYaYb ἐξυπτιάζων] σαφηνίζων.

Th 577e YYaYb ἐξυπτιάζων] ἐξαπλῶν καὶ διαιρῶν.

Th 577f NaPPd ἐξυπτιάζων] ἐξαπλῶν, ἐξευτελίζων.

Th 577g CXc ἐξυπτιάζων] διαλύων, ἀναπτύσσων.

Th 577h θT ἐξυπτιάζων] διαλύων τὸ ὄνομα αὐτοῦ, τουτέστιν μερίζων.

Th 577i Ξa ἐξυπτιάζων] ἐξαπλῶν καὶ κηρύττων.

Th 577j Ξa ὄνομα] αὐτοῦ.

Th 577k θT Πολυνείκους βίαν] τὸν Πολυνείκην.

Th 577l AbTVΞa εἰς δύο διαιρῶν τὸ ὄνομα τοῦ Πολυνείκους, τὸ πολὺ καὶ τὸ νεῖκο ς.

Th 578a M τοῦ ἑνὸς ὀνόματος δύο τέλη ποιῶν, τὸ πολὺ καὶ τὸ νεῖκο ς.

Th 578b PPdYa δίς τ ’ ἐν τελευτ ῇ· ἀντὶ τοῦ δύο τέλη ποιῶν τοῦ ἑνὸς ὀνόματος, τὸ πολὺ καὶ τὸ νεῖκο ς.

Th 578c P 1 PdSj δίς] λέγων πολὺ νεῖκος.

Th 578d BNa δίς] τὸ ἀκροτελεύτιον.

Th 578e YaYb ἤτοι εἰς δύο μέρη, τουτέστι πολὺ καὶ νεῖκο ς.

Th 578f Ξa τοὔνομ’] ἤγουν τὸ Πολυνείκους.

Th 578g CDXc ἐνδατούμενο ς· διαιρῶν, μερίζων εἰς δύο τὸ ἓν σύνθετον ὄνομα, εἰς τὸ πολὺ καὶ τὸ νεῖκος, καλεῖ οἷον· ὦ πολλῶν νεικέων αἴτιε, ἤ· ὦ πολὺ νεῖκος, ἢ λέγων τὸ ὄνομα αὐτὸ εἶτα ἐπάγων τὴν φερωνυμίαν.

Th 578h I 1 δατούμενος] μερίζων.

Th 578i AbBCI 2 OPPdθTVXcYYaYbΞa δατούμενος] διακόπτων.

Th 578j BV δατούμενος] μεριζόμενος.

Th 578k NaX καλεῖ] διὰ στόματος φέρει.

Th 579a FdQ καλεῖ] ὀνομάζει.

Th 579b T τοὖπος] τὸ λόγιον.

Th 579c AbCYaYb διὰ στόμα] τοῖς ἑαυτοῦ χείλεσι περιφέρει.

Th 579d PPd διὰ στόμα] εἰρωνευόμενος.

Th 579e θ διὰ στόμα] ἤγουν διὰ τοῦ στόματος Ἀττικῶς.

Th 579f T ἦ τοῖον] καθ’ ὑπόκρισιν.

Th 580a

MYaYb τοῖον] μέγα.

Th 580b PPdXc ἔργον] εἰρωνικόν.

Th 580c BNbT ἔργον] οἷον δρᾷ.

Th 580d NaP προσφιλὲς] εὐαπόδεκτον.

Th 580e CYb προσφιλὲς] + φίλον, ἀποδεκτόν.

Th 580f T τοῖς μεθ’ ἡμᾶς ὕστερον κλύειν ταῦτα καλόν ἐστιν ὥστε περὶ σοῦ λέγεσθαι.

Th 581a M ἀκοῦσαι] τινά.

Th 581b θT μεθ’ ὑστέροις] τοῖς ὑστερογενέσιν ἀνθρώποις.

Th 581c BPPdYa μεθ’ ὑστέροις] μεταγενεστέροις.

Th 581d CDVXcYYaYbΞa μεθ’ ὑστέροις] τοῖς μεθ’ ἡμᾶς.

Th 581e θT πατρῴαν] πατρικήν.

Th 582a CVXc πατρῴαν] + προγονικὴν καὶ ἀρχαίαν.

Th 582b T τοὺς ἐγγενεῖς] τοὺς προσφιλεῖς καὶ τοὺς ἐγχωρίους.

Th 582c YaYb τοὺς ἐγγενεῖς] τοὺς ἐγχωρίους.

Th 582d CRbVΞa τοὺς ἐγγενεῖς] τοὺς ἐν τῷ γένει τῶν Θηβαίων ὄντας καὶ ἐντεῦθεν τὴν γένεσιν σχόντας οἷον Ἡρακλῆν, Διόνυσον, Σεμέλην, τοὺς ἄλλους· ἢ τὸ ἐγγενεῖς ἀντὶ τοῦ τοὺς ἐκ προγόνων τοῖς Θηβαίοις τιμωμένους, ἵν’ ᾖ καθολικὸν διὰ πάντας θεούς.

Th 582e θT τοὺς ἐγγενεῖς] τοὺς ἐκ προγόνων ὄντας τῇ πόλει.

Th 582f T πορθεῖν] ἀφανίζειν.

Th 583a CYb ἐπακτὸν] ἀλλότριον.

Th 583b DI 2 OPdXcY ἐπακτὸν] ξένον, ἀλλότριον.

Th 583c PYbΞa ἐπακτὸν] ἐπεισακτόν.

Th 583d YaYb ἐπακτὸν] ξένον.

Th 583e AbBCNaQθTYa ἐμβεβληκότα] ἐμβαλόντα.

Th 583f AbCNaPPdV ἐμβεβληκότα] ἐπαγαγόντα.

Th 583g θTΞa ἐμβεβληκότα] μετὰ σφοδρότητος.

Th 583h Ξa εἰ καὶ δικαίως πρὸς τὸν πόλεμον ὥρμησας ὑπὲρ τῆς πατρίδος στρατεύων, ἀλλὰ τὰ τῆς μητρὸς δάκρυα, ἃ ὑπὲρ ἀμφοτέρων τῶν ἀδελφῶν πολεμούντων καθίησιν ἐξ ὀμμάτων, πάσης δίκης ὑπέρτερα, ὅθεν δεῖ φοβεῖσθαι ταῦτα μή σοι γένοιτο κινδύνου αἴτια.

Th 584-586 θT τὰ δάκρυα τῆς πατρίδος ποία παύσει τιμωρία; I 1 M μητρός τε πηγή ν· τινὲς τοῦτο στίζουσιν μέχρι τοῦ πηγήν, καὶ λέγουσιν οὕτως· μητρός τε πηγήν, τὸν Ἰσμηνόν—περιφραστικῶς δὲ τὰς Θήβας—, τὴν τῆς Ἰοκάστης πατρίδα.

Th 584b ἕτεροι δὲ ὡς ἓν ἀναγινώσκοντες φασὶν οὕτως· τὴν τῆς μητρὸς πηγὴν ἤτοι τὰ δάκρυα τίς κατασβέσει τιμωρία καὶ ἐκδικήσει; ABCDNdP 1 PdSjVWXaXcYYa μητρός] τῶν Θηβαίων. [5]

Th 584c CXc πηγὴν] τὰ δάκρυα.

Th 584d CPPdVXXcY πηγὴν] τῶν δακρύων.

Th 584e AbNaQθTΞa τίς] ποία.

Th 584f PV τίς δίκη καὶ τιμωρία ἢ δικαιοσύνη· ὃ καὶ κρεῖττον· ἔφασκε γὰρ δικαίως κατὰ τῆς πατρίδος ἐκστρατεῦσαι.

Th 584g Ξa κατασβέσει δίκη] παύσει ἐκδικήσασα.

Th 584h PPd κατασβέσει] ἀφανίσει.

Th 584i AbLcΞa δίκη] τιμωρία.

Th 584j BNaPPdTYaYbΞa δίκη] ἐκδίκησις.

Th 584k CNaXc πατρίς] ἡ πατρική.

Th 585a AbBCT γαῖα] + ἤγουν ἡ πόλις.

Th 585b T σπουδῆς] τῆς βίας.

Th 585c APPdYaYb σπουδῆς] τῆς ἐπιμελείας.

Th 585d AbCNa σπουδῆς] + τοῦ ἀγῶνος.

Th 585e T δορὶ] + πολέμῳ.

Th 585f TYb ἁλοῦσα] κρατηθεῖσα.

Th 586a ABVYaYb ἁλοῦσα] πορθηθεῖσα.

Th 586b AbCNaPTΞa ἐκ τοῦ πῶς σοι ξύμμαχος γενήσεται δηλοῖ ὅτι· εἰ πορθήσεις αὐτὴν καὶ κύριος γενήσῃ, μεμνημένη ὧν ὑπὸ σοῦ πέπονθεν, οὐ βοηθήσει σοι ἐν χρείᾳ πολέμου· ὃν γὰρ οἱ ὑπήκοοι αἰδοῦνται καὶ μὴ δεδίασιν, οὗτος βέβαιός ἐστιν ἄρχων.

Th 586c ἢ τοῦτο λέγει διὰ τοὺς ἐν αὐτῇ θεούς. θT πῶς γὰρ ἂν σύμμαχοι σοί, φησί, γένοιντο ἀτιμασθέντες ὑπὸ σοῦ καὶ τῶν αὐτοῖς ἱερῶν ὑπὸ τῶν πολεμίων διαρπασθέντων καὶ βεβηλωθέντων τῶν ἱερῶν βωμῶν; T σύμμαχος] βοηθός.

Th 586e AAbBCHaXYaYb σύμμαχος] ἐν ὑστέρῳ καιρῷ.

Th 586f θT σύμμαχος] ἤγουν ὑποταχθεῖσά σοι ἐπιβουλεύῃ ἂν ἀεί.

Th 586g Ξa ἔγωγε μὲν δ ή· ἐγώ γε μὲν δὴ ταύτην τὴν γῆν πιανῶ ἐπὶ τῆς πολεμίας γῆς κρυφθεὶς μάντις· κεραυνῷ σχισθεῖσα ἡ γῆ ἔλαβεν αὐτόν.

Th 587-588 ACNdP 1 PdSjVWXaYa κεραυνῷ γὰρ σχισθεῖσα ἡ γῆ ἔλαβεν αὐτὸν ἔνδον.

Th 587a ἔστι δὲ κεραυνὸς οὐσία λεπτομερὴς ταχέως διερχόμενος τὰ σώματα διὰ τὴν λεπτότητα καὶ 〈οὐ〉 καταφλέγει 〈αὐτά〉, ὅθεν καὶ κεραυνὸς ὠνόμασται ἀπὸ τοῦ εὐκραὴς εἶναι. πάνυ γὰρ λεπτομερέστατος ὢν ὀξύτατα τὸ σῶμα δίεισιν ὡς μήτε καίειν μήτε μελαίνειν, ὅθεν καὶ ἀργῆτα τοῦτον ὠνόμασαν ἤτοι λαμπρόν. I 1 κεραυνῷ γὰρ σχισθεῖσα ἔλαβεν αὐτόν. [5]

Th 587b M πιανῶ] ἐν τῷ αἵματι.

Th 587c BNaPPdΞa πιανῶ] λιπαρὰν ποιήσω.

Th 587d YaYb πιανῶ] τιμήσω.

Th 587e COXc πιανῶ] λιπανῶ.

Th 587f NaP πιανῶ] δοξάσω, κοσμήσω.

Th 587g θT πιανῶ] + λιπαρῶ.

Th 587h T χθόνα] τὴν γῆν.

Th 587i HaNaTV μάντις] ὁ Ἀμφιάραος.

Th 588a YaYb κεκευθὼς] κρυφθείς.

Th 588b BPVYa κεκευθὼς] κρυβείς.

Th 588c AFdOPPdXcYΞa κεκευθὼς] κρυβείς, καταχωσθείς.

Th 588d AbNaθT χθονός] τῆς γῆς.

Th 588e AHaV μαχώμε θ’ , οὐκ ἄτιμο ν· ὁ Ἀμφιάραος οἷα μάντις εἰδὼς ὅτι ἐκεῖ καταποθεὶς ὑπὸ τῆς γῆς ὕστερον μετὰ θάνατον ἔσται μαντείας ἐκφέρων τοῖς θέλουσι καὶ τιμὰς ἕξει λαμπράς, φησί·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μαχώμεθα· οὐ γὰρ ἄτιμον καὶ ἄδοξον καὶ ἀφανῆ ἐλπίζω μόρον, αἰνιττόμενος τὴν μετὰ θάνατον αὐτοῦ τιμήν. [5]

Th 589a ABCNdP 1 PdSjVWXaYYa μαχώμεθ’] ἂς μαχώμεθα ἢν βούλῃ.

Th 589b PPd μαχώμεθ’] + ἵνα μὴ δόξῃ ὡς ὑπὸ δειλίας ἐκεῖνα εἶπεν, τοῦτο ἐπήγαγεν.

Th 589c T οὐκ ἄτιμο ν· οὐκ ἀγεννῆ· οὗτος γὰρ ἐκεῖ καταποθεὶς ὑπὸ τῆς γῆς καὶ μετὰ θάνατον ἐμαντεύετο.

Th 589d I 1 οὐκ ἄτιμον] οὐκ ἀγεννῆ· οὗτος γὰρ ἐκεῖ καταποθεὶς ὑπὸ τῆς γῆς ὕστερον μετὰ θάνατον ἐμάντευεν.

Th 589e M οὐκ ἄτιμον] αἰνιττόμενος τὴν μετὰ τὸν ἑαυτοῦ θάνατον τιμήν· θανὼν γὰρ αὐτὸς ἐμαντεύετο ἐκ τοῦ μνημείου ὅθεν καὶ ἐτιμήθη ὡς θεὸς παρὰ τοῖς Θηβαίοις.

Th 589f CXc ἄτιμον] ἄδοξον.

Th 589g PPd ἄτιμον] ἀπρεπῆ.

Th 589h SjYb ἄτιμον] φασὶ γὰρ ὅτι ἡ γῆ τοῦτον ἐδέξατο ζῶντα ὡς ἱστορεῖ Σοφοκλῆς (El.

Th 589i 839)· καὶ νῦν ὑπὸ γαῖαν πάμψυχος ἀνάσσε ι. Ξα ἐλπίζω] θαρρῶ.

Th 589j SjVYb μόρον] θάνατον.

Th 589k AbHaPdTVYaYb ὁ μάντις] ὁ Ἀμφιάραος.

Th 590a AT εὔκυκλον] στρογγύλην.

Th 590b SjVYb εὔκυκλον] περιφερῆ.

Th 590c T νέμων] κινῶν.

Th 590d AAbI 1 PPdRbTYaYb πάγχαλκον] + διόλου δεδεμένον τῷ χαλκῷ.

Th 591a T ηὔδα] ἔλεγε.

Th 591b AAbBCRaSjTXcYaYb σῆμα] σημεῖον.

Th 591c AAbCSjVXcYaYb κύκλῳ] τῇ ἀσπίδι.

Th 591d AAbCPθT οὐ] θέλει.

Th 592a T δοκεῖν] φαίνεσθαι.

Th 592b BNaPYb δοκεῖν] νομίζεσθαι.

Th 592c APPdSjYaYb δοκεῖν] ἀλλ’ ἀληθῶς ὑπάρχειν.

Th 592d AYaYb δοκεῖν] + τοῖς ἄλλοις.

Th 592e T ἀλλ’ εἶναι] ἀληθῶς εἶναι.

Th 592f PPd θέλει] βούλεται.

Th 592g CSjYb βαθεῖαν ἔχων τὴν ἄλοκα τῆς φρενὸς ἐξ ἧς ἀνδρεῖος φύεται λόγος.

Th 593-594a τοῦτο ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ (Rep. 362a) ἀπεδέξατο. M βαθεῖαν ἄλοκα τὴν συνετὴν καὶ στερρὰν ἐξ ἧς ἀνδρεῖος φύεται λόγος· ὅπερ ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ (Rep.

Th 593-594b 362a) ἀπεδέξατο [..........]. I 1 βαθεῖαν ἄλοκ α· βαθεῖαν ἔχων τὴν ἄλοκα τῆς φρενὸς ἐξ ἧς φρενὸς φύεται τὰ ἀγαθὰ βουλεύματα.

Th 593-594c τοῦτο ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ (362a) ἀπεδέξατο. τοῦτο οὖν φησιν· καρπούμενος καὶ τρυγῶν βαθεῖαν καὶ λιπαρὰν ἄλοκα τῆς φρενὸς ἐξ ἧς φύεται τὰ ἀγαθὰ βουλεύματα. ABC NdP 1 PdSjVWXaYYa ἔχων καὶ καρπὸν φέρων, ἤτοι ἔχων τὴν διάνοιαν βαθυτάτην καὶ βαθυγνώμονα. [5]

Th 593a Ya βαθεῖαν ἄλοκα] ἤγουν ἀκριβῆ γνῶσιν.

Th 593b BD ἡμέτερον· + τροπικῶς τοῦτο εἴρηκεν ἐκ μεταφορᾶς τῆς αὔλακος τῆς εἰς βάθος δεχομένης τὰ σπέρματα καὶ πολύχουν βλαστανούσης καὶ ἀποδιδούσης καρπόν.

Th 593c τοιοῦτος γάρ ἐστι καὶ ὁ βαθεῖαν ἔχων φρένα, συνετὰ προφέρων βουλεύματα. T βαθεῖαν] λιπαράν.

Th 593d ACPVXcY βαθεῖαν] συνετήν.

Th 593e PPdYaYbΞa βαθεῖαν] δασεῖαν.

Th 593f θ βαθεῖαν] + ἤγουν βαθεῖαν ἔχων γνῶσιν.

Th 593g T ἄλοκα] ἐξ ἧς ἀνδρεῖος φύεται λόγος.

Th 593h YaYb ἄλοκα] φρόνησιν.

Th 593i NaP φρενὸς] διανοίας.

Th 593j AYaYb καρπούμενος] τρυγῶν.

Th 593k ABCPVXY καρπούμενος] ἔχων.

Th 593l FdPPdYYa καρπούμενος] ἔχων, κτώμενος.

Th 593m θT καρπούμενος] καὶ ὡς καρπὸν ἔχων.

Th 593n Ξa ἧς] τῆς φρενός.

Th 594a ABCXY τὰ κεδνὰ] τὰ κάλλιστα.

Th 594b ABPPdYaYb τὰ κεδνὰ] τὰ ἀγαθά.

Th 594c ANaPPd τὰ κεδνὰ] τὰ συνετά.

Th 594d AbCNaθTVYaYbΞa βλαστάνει] φύεται.

Th 594e PV βλαστάνει] ἀναφύεται.

Th 594f θT βλαστάνει] ἀναδίδοται.

Th 594g Ξa τούτῳ σοφούς τ ε· τούτῳ, φησί, τῷ Ἀμφιαράῳ σοφούς τε κἀγαθοὺς ἀντηρέτας καὶ ἀντιπάλους ἐπαινῶ καὶ κρίνω στεῖλαι.

Th 595-596 ABP 1 Pd SjVWYYa ὅρα πῶς τὴν σοφίαν κρείττονα ἐποίησε τῆς ἀνδρείας· ἐν τοῖς ἄλλοις μὲν προσέταττον ἕνα πρὸς ἕνα, ἐνταῦθα δὲ ἕνεκα τῆς τοῦ Ἀμφιάρεως φρονήσεώς τε καὶ σοφίας προστάττουσι πολλοὺς καὶ ἀγαθούς.

Th 595a I 3 τούτῳ] τῷ Ἀμφιάρεῳ.

Th 595b AbBDNaOPSjTVYaYb σοφούς] φρονίμους.

Th 595c AbCT κἀγαθοὺς] καλούς.

Th 595d AbV κἀγαθοὺς] + ἡμέρους, ταπεινούς.

Th 595e T ἀντηρέτας] τροπικῶς ὡς ἐπὶ ναυμαχίας.

Th 595f M ἐκ μεταφορᾶς τῶν ἐν τοῖς πλοίοις ἐρετῶν οἳ πρὸς ἀλλήλους οἷον ἀντερίζουσιν.

Th 595g I 1 τροπικῶς ὡς ἀπὸ ναυμαχίας.

Th 595h P 1 PdSjVWYa ἀντηρέτας] ἀντιμάχους.

Th 595i ABCNaPPdXcYaYb ἀντηρέτας] ἀντηρέτης κυρίως ὁ κωπηλάτης· καταχρηστικῶς ἐνταῦθα ὁ ἀντίμαχος.

Th 595j P ἀντηρέτας] ἀντιπάλους.

Th 595k AVΞa ἀντηρέτας] ἀντιστάτας.

Th 595l θTΞa ἐπαινῶ] συμβουλεύομαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 596a BDX ἐπαινῶ] συμβουλεύω.

Th 596b CXc ἐπαινῶ] συναινῶ.

Th 596c PPd ἐπαινῶ] κρίνω VYaYb ἐπαινῶ] ἀποδέχομαι.

Th 596e θT δεινὸς] δυσκατέργαστος γάρ ἐστιν ὅστις τοὺς θεοὺς τιμᾷ.

Th 596f M δεινὸς] δυσκατέργαστος, φοβερός.

Th 596g I 1 δεινὸς] φρόνιμος.

Th 596h BCPY δεινὸς] ἐπιτήδειος.

Th 596i BDXY δεινὸς] δεξιός, φρόνιμος.

Th 596j ANaYaYb δεινὸς] σοφός.

Th 596k PPdV δεινὸς] δεξιός.

Th 596l θT δεινὸς] καὶ ἐπιτήδειος καὶ σοφὸς καὶ δεξιός.

Th 596m Ξa σέβει] τιμᾷ.

Th 596n AAbCFdPdTYaYb φεῦ τοῦ ξυναλλάσσοντο ς· τοῦ συνάγοντος, ἀπὸ μεταφορᾶς τῶν τὰς συναλλαγὰς καὶ συμβόλαια ποιουμένων.

Th 597-598 τοῦτο δέ ἐστιν ὃ λέγει· ἰδὼν τὸν Ἀμφιάραον ὁ Ἐτεοκλῆς ἄνδρα ὄντα ἀγαθὸν καὶ εὐσεβῆ συστρατευόμενον μετὰ ἀνθρώπων πονηρῶν καὶ ἀσεβῶν, ἐπαρᾶται τῇ τύχῃ καί φησι· φεῦ τοῦ ὄρνιθος, ἤγουν τῆς τύχης καὶ τοῦ μαντεύματος, τοῦ ξυναλλάσσοντος καὶ συνάγοντος καὶ ἑνοῦντος τὸν δίκαιον ἄνδρα τοῖς δυσσεβεστέροις. ἀποκλαίεται γὰρ αὐτὸν ὁ Ἐτεοκλῆς ὡς προλέγοντα ἐκεῖσε θανεῖν αὐτόν. ABCDNdP 1 PdSjVWXaXcYYa φεῦ] θαυμαστικόν. [5]

Th 597a Ξa συνάγοντος· ἀπὸ μεταφορᾶς τῶν τὰς συναλλαγὰς καὶ τὰ συμβόλαια ποιουμένων.

Th 597b M συνάγοντος εἰς ἕν, ἀπὸ μεταφορᾶς τῶν ποιούντων συμβόλαια καὶ συναλλαγάς.

Th 597c I 1 ξυναλλάσσοντος] τοῦ συνάγοντος.

Th 597d ABVXc ξυναλλάσσοντος] ἑνοῦντος.

Th 597e AbDP ξυναλλάσσοντος] τοῦ συνάγοντος καὶ τοῦ ἑνοῦντος.

Th 597f YaYb ξυναλλάσσοντος] μιγνύντος.

Th 597g BNa ξυναλλάσσοντος] συναριθμοῦντος.

Th 597h AAbNaPPdθT ξυναλλάσσοντος] τοῦ συνάπτοντος ἤτοι τοῦ εἰς φιλίαν ἐμβάλλοντος.

Th 597i Ξa ὄρνιθος] τῆς τύχης.

Th 597j AAbBCDFdI 1 LcNaPPdRaRbTVXXc YaYb ὄρνιθος] τῆς τύχης, τῆς μαντείας.

Th 597k M 2 Y ὄρνιθος] τῆς τύχης καταχρηστικῶς, ὥς φησι καὶ οὗτος ἀλλαχοῦ (Ar.

Th 597l Ran. 1286)· σφίγγα δυσαμερίαν πρύτανιν κύνα πέμπει σὺν χερὶ καὶ δορὶ πράκτορι θούριος ὄρνις, ἤγουν ἡ πολεμοῦσα Θηβαίοις τύχη. θT ὄρνιθος] θείας μαντείας καὶ τέχνης.

Th 597m Ξa δίκαιον ἄνδρα] ἤτοι τὸν Ἀμφιάρεων.

Th 598a Ξa δυσσεβεστέροις] τοῖς κακὸν σέβας ἔχουσιν.

Th 598b CSjYb δυσσεβεστέροις] τοῖς δυσσεβέσιν.

Th 598c TVΞa πράγει] πράγματι.

Th 599a ABCNaOPPdSjTVXXcYYb παιδεύων ἡμᾶς ὅτι δεῖ ἀπέχεσθαι ἐν πᾶσι τῆς μετὰ τῶν πονηρῶν ξυναυλίας καὶ ὁμιλίας, φησί· κάκιον οὐδέν ἐστι τῆς κακῆς ὁμιλίας, εἶτα ἐπιφέρει λύμης χωρίον οὗ ὁ καρπὸς οὐκ ἄξιος συνάγεσθαί τινι· θάνατον γὰρ γεωργεῖ.

Th 599b

I 1 ὁμιλίας κακῆ ς· ἡ ἀπὸ τῆς κακῆς ὁμιλίας ὠφέλεια οὐκ ἀγαθή, ἀλλὰ φαύλη καὶ μισητή, καὶ ὁ συνομιλῶν κακοῖς καὶ συνδιάγων τρυγᾷ καὶ καρποῦται θάνατον, ὅστις ἐστὶ χωρίον τῆς βλάβης.

Th 599c B a WYa ὁμιλίας] συναναστροφῆς.

Th 599d BT ὁμιλίας] συναυλίας.

Th 599e NaP ὁμιλίας] ἤγουν οὐκ ἐν ἑνὶ πράγματί ἐστιν ἡ ὁμιλία κακή, ἀλλ’ ἐν παντί.

Th 599f Ξa κάκιον] χειρότερον.

Th 600a BP κάκιον] χεῖρον.

Th 600b CDPPdTYaΞa οὐκ ἄξιος κομίζεσθαι ὁ καρπὸς αὐτῆς.

Th 600c M καρπὸς οὐ κομιστέος] οὐκ ἄξιος κομίζεσθαι ὁ τῆς κακῆς ὁμιλίας καρπός.

Th 600d ADYa καρπὸς οὐ κομιστέο ς· οὐκ ἄξιος κομίζεσθαι ὁ καρπὸς τῆς τῶν πονηρῶν φιλίας· λύμης χωρίον ἄντικρύς ἐστιν.

Th 600e P 1 P 2 Pd m Pd gl Pd bis Sj καρπὸς οὐ κομιστέος] οὐκ ἄξιος κομισθῆναι.

Th 600f Nb Ξa καρπὸς] τῆς κακῆς ὁμιλίας ἀποτέλεσμα.

Th 600g θ καρπὸς] τὸ ἀποτέλεσμα αὐτοῦ.

Th 600h T κομιστέος] ὠφέλιμος.

Th 600i PXcYa κομιστέος] ἄξιος κομίσασθαί τινα αὐτόν.

Th 600j AbθTY κομιστέος] τὸ κομίζειν καὶ συγκομίζειν ἐπὶ κακοῦ· καλῶς δὲ ἔθηκε τόν τε καρπὸν καὶ τὴν ἄρουραν.

Th 600k Ξa ἄτης ἄρουρα] λύμης χωρίον ἡ τῶν πονηρῶν φιλία.

Th 600l M ἄτης ἄρουρα] ἤγουν γῆ ἀροτριασμένη στάχυν ἀναδιδοῦσα τὴν ἄτην καὶ τὸν θάνατον.

Th 601a Ξa ἄτης] βλάβης.

Th 601b ACFdPdYb ἄτης] + βλάβης, κακίας.

Th 601c T ἄρουρα] χωρίον.

Th 601d ADNa ἄρουρα] γῆ.

Th 601e CFdQT ἐκκαρπίζεται] τρυγᾷ ἡ συνομιλία κακοῖς.

Th 601f AD ἐκκαρπίζεται] ἐκφύει.

Th 601g θT ἐκκαρπίζεται] ὡς καρπὸν δίδωσι.

Th 601h Ξa ἢ γὰρ ξυνεισβά ς· τὰ ἀπὸ τῆς κακῆς ὁμιλίας κατὰ μέρος γινόμενα διέξεισι, καί φησιν ὅτι ὁ εὐσεβὴς ἀνήρ, εἴτε ἐν θαλάσσῃ συμπλέει πονηροῖς καὶ κακοῖς ἀνδράσιν, εἴτε ἐν γῇ διάγει μετὰ πονηρῶν καὶ ἀσεβῶν ἀνδρῶν, φθείρεται καὶ ἀπόλλυται καὶ αὐτὸς σὺν ἐκείνοις διὰ τὴν ἐκείνων ἀσέβειαν. [5]

Th 602-608a ἡ δὲ σύνταξις οὕτως· ὁ εὐσεβὴς γὰρ ἀνήρ, ἢ εἰς πλοῖον συνεισβὰς καὶ συνελθὼν ναύταις θερμοῖς εἰς τὸ πανουργεύεσθαι, ὄλωλε σὺν τῷ τοῖς θεοῖς μισητῷ γένει τῶν ἀσεβῶν ἀνδρῶν, ἢ δίκαιος ὢν σὺν πολίταις ἀνδράσιν ἐχθροξένοις τε καὶ ἐχθροῖς τῶν ξένων καὶ ἀμνήμοσι τῶν θεῶν ἐδάμη καὶ ἐδαμάσθη πληγεὶς θεοῦ μάστιγι παγκοίνῳ. ABCDNdP 1 Pd SjVWXaXcYYa ἡμέτερον· + τοῦτο δηλοῦν βούλεται, ὡς εὐσεβὴς ἀνὴρ οὐ μόνον συμπλέων μετὰ ναυτῶν πανούργων καὶ θεοστυγῶν ἀπόλλυται σὺν ἐκείνοις, ἀλλὰ καὶ ἔν τινι πόλει κατοικῶν μετὰ ἀνδρῶν ἀσεβῶν καὶ μὴ φροντίδα ποιουμένων θεῶν μηδὲ κηδεμόνων τῶν ξένων, δαμάζεται καὶ φθείρεται σὺν ἐκείνοις, πανωλεθρίας κοινῆς ἐπελθούσης αὐτοῖς διὰ τὴν κακίαν αὐτῶν, ὃ δὴ καὶ Ἀμφιάρεως πείσεται, τούτοις συστρατεύσας τοῖς θρασυστόμοις καὶ μεγαλαύχοις κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θεῶν βλάσφημα φθεγγομένοις· ἀντιτάσσεται γὰρ τοῖς τοιούτοις τὸ θεῖον· σὺ γά ρ, φησί, μεγαλανορίαν ὑπεράνορα κοιμίζοις (Eur. [5] Ph. 190). T ξυνεισβὰς] συνελθών.

Th 602-608b

Th 602a BCDPXc ξυνεισβὰς] συνεισελθών.

Th 602b ANaRbT ξυνεισβὰς] εἰσελθών.

Th 602c AbSjVYb ξυνεισβὰς] ἐλθὼν εἰς πλοῖον.

Th 602d Ξa πλοῖον] νῆα.

Th 602e VYa σημείωσαι· καὶ ὁ κωμικὸς ἐν Πλούτῳ (415) θερμὸν ἔργον τὸ θρασὺ λέγει.

Th 603a I 1 θερμοῖς] σπουδαίοις.

Th 603b CXc θερμοῖς] σπουδαίοις εἰς κακόν.

Th 603c NbV θερμοῖς] ἀναιδέσι.

Th 603d NaPPd θερμοῖς] ἀλαζόσιν.

Th 603e NaP θερμοῖ ς· θερμοῖς πρὸς κακίαν καὶ γελωτοποιοῖς· οἱ γὰρ γελοιαζόμενοι θερμὴν καὶ ἔκλυτον ἔχουσι τὴν ψυχήν.

Th 603f VW θερμοῖς] πανούργοις.

Th 603g BSjYb θερμοῖς] κακοῖς.

Th 603h KOX θερμοῖς] διαπύροις οὐκ ἐν ἄλλοις μόνον κακοῖς.

Th 603i θT θερμοῖς] διαπύροις εἰς κακίαν.

Th 603j RaRb θερμοῖς] τολμηροῖς.

Th 603k Ξa πανουργίᾳ τινὶ] σύν τισι πανούργοις.

Th 603l Ξa πανουργίᾳ] ἐν δόλῳ, ἀπάτῃ.

Th 603m CSjYb πανουργίᾳ] εἰς τὸ πανουργεύεσθαι.

Th 603n NaP ὄλωλεν] ἐφθάρη.

Th 604a BCYaYb θεοπτύστῳ] θεομισήτῳ.

Th 604b BFdPSjYb θεοπτύστῳ] κακῷ, θεομισεῖ.

Th 604c θT ἐχθροξένοις] ἐχθροῖς τῶν ξένων.

Th 606a ABNaP ἐχθροξένοις] τοῖς μισοῦσι τοὺς ξένους.

Th 606b CSjYYb ἐχθροξένοι ς· ἢ ἀπηνέσι καὶ τολμηροῖς καὶ ἀνοσίοις καὶ ἀναιδέσιν.

Th 606c VWYa ἰστέον ὅτι πολλή ἐστι διαφορὰ τοῦ διαλελυμένου καὶ τοῦ συνθέτου· μέγας μὲν θυμὸς τὸ πολὺ τοῦ χόλου, μεγάθυμος δὲ ὁ μεγαλόφρων καὶ μεγαλόψυχος· καὶ χειροδίκης (Hes.

Th 606d Op. 189) μὲν συνθέτως ὁ βίαιος καὶ οὐκ ἐν τοῖς νόμοις, ἀλλ' ἐν ταῖς χερσὶν αὐτοῦ κείμενον ἔχων τὸ δίκαιον, δίκην δ ' ἔχων ἐν χερσὶν (Hes. Op. 192) ὁ δίκαιος καὶ ἀεὶ πρὸ χειρῶν οἷον φέρων τὸ δίκαιον· οὕτω καὶ θερμὸν ἔργον (Ar. Plut. 415) διαλελυμένον μὲν τὸ ἀναιδὲς καὶ θρασύ, θερμουργὸς δὲ ἀνὴρ (Luc. Tim. 2) ἐν συνθέσει κατὰ λόγον ἐπαινετὸν ὁ θαρραλέος καὶ μὴ ψυχρὸς εἰς ἔργον. V Ya ἐχθροξένοις] ἐχθρῶς περὶ ξένων ὑποδοχὴν διακειμένοις ἢ ἐχθροῖς περὶ τοὺς φίλους. [5]

Th 606e θT ἐχθροξένοις] ἀδίκοις, τοῖς ἐχθρωδῶς καὶ ἀδίκως διακειμένοις πρὸς τοὺς ξένους.

Th 606f Ξa ἀμνήμοσιν] τοῖς μὴ εἰδόσι σέβεσθαι τοὺς θεούς.

Th 606g CSjYb ἀμνήμοσιν] + ἤγουν μὴ μνήμην θεῶν ἔχουσιν.

Th 606h

T ταὐτοῦ κυρήσας ἐνδίκως ἀγρεύματο ς· κυρήσας καὶ ἐπιτυχὼν ἐνδίκως καὶ δικαίως τοῦ αὐτοῦ καὶ τοῦ ὁμοίου ἐκείνοις ἀγρεύματος, τουτέστι σὺν αὐτοῖς θηραθεὶς καὶ τῇ αὐτῇ παγίδι παγείς.

Th 607a ABCDNdP 1 PdSjVWXaYYa ταὐτοῦ κυρήσας] τοῦ ὁμοίου ἐκείνοις, τοῦ δικαίου ἐπιτυχών.

Th 607b AD ταὐτοῦ κυρήσας] τῇ αὐτῶν παγίδι παγείς.

Th 607c PPd ταὐτοῦ κυρήσας] ὁμοίοις ἐπιτυχών.

Th 607d RaRb ταὐτοῦ] ὁμοίου BPθTYΞa κυρήσας] ἐπιτυχών.

Th 607f AbBCNaPQθTXcΞa ἐνδίκως] δικαίως ABPVYa ἐκδίκως] ἀδίκως.

Th 607h θ ἐκδίκως] ἔξω τοῦ δικαίου ἤγουν ἀδίκως.

Th 607i T ἀγρεύματος] οἷον σὺν αὐτοῖς θηραθείς.

Th 607j I 1 MP ἀγρεύματος] σὺν αὐτοῖς ἀγρευθείς.

Th 607k PPd ἀγρεύματος] + θηράματος, ἤγουν τοῖς αὐτοῖς περιπεσὼν δικτύοις.

Th 607l T πληγεὶς] + τρωθείς, θανατωθείς.

Th 608a T μάστιγι] + τιμωρίᾳ.

Th 608b T 〈παγκοίνῳ〉 ] τῇ πᾶσι κοινῶς ἐπερχομένῃ.

Th 608c I 1 παγκοίνῳ] δημοσίᾳ.

Th 608d θT δάμη] ἐδαμάσθη.

Th 608e AbBNaQTVXcYa δάμη] ἐδαμάσθη, ἐπλήγη.

Th 608f AI 2 PY δάμη] ἐπλήγη.

Th 608g CPd δάμη] ἠφάνισται.

Th 608h θT οὗτος δ ’ ὁ μάντις, τὸν υἱὸν λέγω τοῦ Ὀικλέους τὸν Ἀμφιάρεων, σώφρων καὶ δίκαιος ὢν συγκαθελκυσθήσεται καὶ εἰς τὸν ᾍδην καταχθήσεται μετὰ τῶν ἀσεβῶν, μιγεὶς ἀνοσίοις ἀνδράσι θρασυστόμοις καὶ φλυαροῖς.

Th 609-614 ABDHP 1 PdSjVWYYa ὁ μάντις] ὁ Ἀμφιάραος.

Th 609a ADFdPRaSjTYb υἱὸν] τὸν Ἀμφιάρεων.

Th 609b BY σώφρων] εὔτακτος.

Th 610a Ξa ἀγαθὸς] + ταπεινὸς καὶ οὐ μεγαλορρήμων.

Th 610b T προφήτης] μάντις.

Th 611a BNaRb ἀνοσίοισι] κακοῖς ἀνθρώποις.

Th 611b CSjXcYb ἀνοσίοισι] + παρανόμοις.

Th 611c T συμμιγεὶς] ἑνωθείς.

Th 611d AbCSjTVYb θρασυστόμοισιν] φλυάροις.

Th 612a ABPY θρασυστόμοισιν] ἀναισχύντοις, στωμύλοις.

Th 612b PPdYa θρασυστόμοισιν] στωμύλοις.

Th 612c AT θρασυστόμοισιν] ἀλαζονικοῖς.

Th 612d CXc θρασυστόμοισιν] ἀλαζόσι.

Th 612e SjYb θρασυστόμοισιν] ὑβρισταῖς, μεγαλαύχοις.

Th 612f θT θρασυστόμοισιν] καὶ ἀναιδέσι καὶ ἀναισχύντοις.

Th 612g Ξa βίᾳ φρενῶν τείνουσι] τοῖς ὁρμῶσι τῇ βίᾳ.

Th 612-613 M φρενῶν βίᾳ] ἄκων.

Th 612h BI 2 φρενῶν βίᾳ] παρὰ τὸ ἐνδεχόμενον.

Th 612i PPd φρενῶν βίᾳ] χωρὶς θελήματος.

Th 612j NaP φρενῶν βίᾳ] ἤγουν ἄκοντα.

Th 612k θT φρενῶν βίᾳ] ἤγουν ἀνάγκῃ.

Th 612l Ξa τείνουσι] ὁρμῶσι, ἀντιτείνουσι.

Th 613a I 1 τείνουσι] ἕλκουσιν, βιάζουσιν.

Th 613b NaPYa τείνουσι] ἕλκουσιν αὐτόν.

Th 613c AbPdθTYYb τείνουσι] ἐλαύνουσι.

Th 613d Ξa πομπὴν μακρὰν ἐπὶ τὴν εἰς Ἅιδην ἀποικίαν ἑλκυσθήσεται τὴν ἐναντίαν τῇ πρὸς Ἄργος φερούσῃ.

Th 613-614a μακρὰν δὲ εἶπε διὰ τὸ μὴ ἐλπίζεσθαι ποτὲ ἐπανήξειν τοὺς τὴν τοιαύτην πορευθέντας ὁδόν. I 1 ἐπὶ τὴν εἰς Ἅιδην ἀποικίαν ἑλκυσθήσεται μολεῖν τὴν ἐναντίαν τῇ εἰς Ἄργος.

Th 613-614b M πομπὴν τὴν μακρὰν] τὴν μακρὰν πορείαν.

Th 613e Ξa πομπὴν] ὁδόν.

Th 613f COXc πομπὴν] λαόν.

Th 613g PPd πομπὴν] ὄχλον.

Th 613h NaP πομπὴν] ἤγουν τὴν εἰς τὸν Ἅιδην ἀποστροφήν.

Th 613i YYa πομπὴν] πορείαν.

Th 613j θT μακρὰν] μεγάλην.

Th 613k BNaθTV πάλιν] ἤγουν εἰς τὸν Ἅιδην.

Th 613l BDNaPPdX πόλιν] ἡμῶν.

Th 613m T μολεῖν] ἐλθεῖν.

Th 613n CV μολεῖν] καταλαβεῖν.

Th 613o θT συγκαθελκυσθήσεται] σὺν αὐτοῖς ἀφανισθήσεται καὶ πρὸς τὸν Ἅιδην ἥξει.

Th 614a ADYYa συγκαθελκυσθήσεται] συγκαταχθήσεται.

Th 614b PPdV συγκαθελκυσθήσεται] καταβιβασθήσεται εἰς τὸν Ἅιδην.

Th 614c BO συγκαθελκυσθήσεται] σὺν ἐκείνοις καταβληθήσεται.

Th 614d AbI 2 θT συγκαθελκυσθήσεται] ἀφανισθήσεται.

Th 614e Ξa συγκαθελκυσθήσεται] τεθνήξεται καὶ συνταφήσεται σὺν τοῖς ἄλλοις.

Th 614f Ξa δοκῶ μὲν οὖ ν· δοκῶ, φησί, τὸν Ἀμφιάραον μηδὲ προσεγγίσαι ταῖς τῆς ἡμετέρας πόλεως πύλαις, οὐχ ὡς δειλὸς οὐδὲ ἐν κακίᾳ φρονήματος, ἀλλὰ γινώσκει ὅτι σφε καὶ αὐτὸν ἀπόκειται τελευτῆσαι ἐν τῇ μάχῃ, ἐὰν τέως ἔσται καρπὸς καὶ τέλος τοῖς τοῦ Ἀπόλλωνος μαντεύμασιν, ἤτοι εἰ ἀληθῆ εἰσι τὰ τοῦ Ἀπόλλωνος θέσφατα. [5]

Th 615-618 ABCDHNdP 1 PdSjV WXaYYa δοκῶ] νομίζω.

Th 615a ACDT δοκῶ] λογίζομαι.

Th 615b θ δοκῶ] οὐκ ἀποφαίνομαι.

Th 615c Ξa σφε] αὐτόν.

Th 615d ABCHMPdθTVYaYb σφε] τὸ πρῶτον σφε ἀντὶ τοῦ αὐτόν, τὸ δὲ δεύτερον ἀντὶ τοῦ αὐτούς.

Th 615e θT προσβαλεῖν] προσεγγίσαι.

Th 615f BHP προσβαλεῖν] πλησιάσειν.

Th 615g CθTΞa ἄθυμος] δειλός.

Th 616a CI 1 NaRbVΞa ἄθυμος] δειλός, ἄφρων.

Th 616b BH ἄθυμος] δειλός, ἄψυχος.

Th 616c ADPPdYa ἄθυμος] δειλός ἐστιν.

Th 616d θTX λήματος] φρονήματος.

Th 616e ABCDNaPPdθTVXcYYaYb κάκῃ] κακίᾳ.

Th 616f ABDFdHP κάκῃ] δειλίᾳ.

Th 616g BCHI 2 NaPPdθTXcΞa κάκῃ] ταπεινότητι.

Th 616h RbV ἄνω διεξιόντος τοῦ ἀγγέλου ὡς Ἀμφιάραος εἶπεν ὅτι ὑπὸ γῆν κρυβήσεται καὶ ταύτην δοξάσει, Ἐτεοκλῆς τῷ μὲν περὶ τοῦ μάντεως θανάτῳ πιστεύει· λέγει δὲ εἰκαστικῶς ὡς, ἐπειδὴ μάντις ἐστίν, οἶδε καὶ τὴν τῶν ἄλλων τελευτήν, οὐκ ἐθέλει δὲ λέγειν τοῦτο ἀλλὰ σιγᾷ.

Th 617-619 θT ἀλλ’ ὡς μάντις τὸ τέλος εἰδὼς οὐκ εἰς κίνδυνον ἑαυτὸν καθήσει.

Th 617a M οἶδεν] γινώσκει.

Th 617b ABPT σφε] αὐτόν.

Th 617c AbBCHI 1 SjVXcYa σφε] αὐτούς.

Th 617d θT χρὴ] ἀπόκειται.

Th 617e BCDHPPdθTXcYYaYbΞa τελευτῆσαι] θανεῖν.

Th 617f I 1 τελευτῆσαι] καταντῆσαι.

Th 617g HV εἰ φύει ἀλήθειαν τὸ μάντευμα, 〈εἰ〉 παρέπεται καρπός, εἰς ταῖς τοῦ Ἀπόλλωνος μαντείαις τέλος ἔνι.

Th 618a M εἰ καρπὸς ἔσται] εἰ ἀληθὲς φύει τέλος.

Th 618b Ya καρπὸς] τέλος.

Th 618c I 1 PPdTY καρπὸς] τελείωσις.

Th 618d BH καρπὸς] πλήρωσις καὶ τελείωσις.

Th 618e ADYa καρπὸς] ἀλήθεια.

Th 618f CNaY καρπὸς] κέρδος.

Th 618g θT καρπὸς] ἀποτέλεσμα.

Th 618h AbFd καρπὸς] ὠφέλειά τις.

Th 618i Ξa θεσφάτοισι] τοῖς μαντεύμασι τοῦ Ἀπόλλωνος.

Th 618j ADVΞa θεσφάτοισι] τοῖς μαντεύμασι.

Th 618k CFdHNaPYYa θεσφάτοισι] μαντεύμασιν ἃ Ἀπόλλων αὐτῷ δέδωκε· πάντες γὰρ οἱ μάντεις ἐξ ἐκείνου τὴν μαντικὴν ἔχουσιν.

Th 618l θT Λοξίου] ἀπὸ τῶν μαντευμάτων.

Th 618m SjYb φιλεῖ] ὁ Ἀπόλλων.

Th 619a NaP φιλεῖ] εἴωθε.

Th 619b AbCNa φιλεῖ] ἀγαπᾷ.

Th 619c I 3 T 〈ἤ〉] παραδιαζευκτικὸς ἀντὶ 〈τοῦ〉 καί· καὶ λέγειν τὰ καίρια.

Th 619d M τὸ ἤ ἀντὶ τοῦ καί· ἢ οὕτως· ἢ σιγᾷ ἤ, εἰ λαλεῖ, καίρια λαλεῖ.

Th 619e I 1 ἢ] παρό.

Th 619f AbBCHI 3 Ya τὰ καίρια] ἐνδεχόμενα.

Th 619g BHP τὰ καίρια] τὰ ἀναγκαῖα.

Th 619h APPdYa τὰ καίρια] ἔγκαιρα.

Th 619i CI 3 SjYb τὰ καίρια] ἤγουν τὰ περὶ τῆς αὐτοῦ τελευτῆς.

Th 619j θT ὅμως δ ' ἐ π ' αὐτ ῷ· ὅμως δὲ ἐπὶ αὐτῷ τῷ Ἀμφιαράῳ ἀντιτάξομεν καὶ ἀντιστήσομεν πυλωρὸν καὶ φύλακα τῶν πυλῶν φῶτα καὶ ἄνδρα ἐχθρόξενον καὶ ἐχθρὸν ὄντα τοῖς ἐξ ἀλλοδαπῆς ἐλθοῦσι πρὸς βλάβην ἡμῶν, Λασθένους βίαν, ἤτοι περιφραστικῶς τὸν Λασθένην.

Th 620-621 ABHP 1 PdSjVWYYa αὐτῷ] τῷ Ἀμφιαράῳ. [5]

Th 620a ABDHNaP αὐτῷ] τῷ μάντει.

Th 620b T φῶτα] ἄνδρα.

Th 620c AAbBCHV Λασθένους βίαν] περιφραστικῶς τὸν Λασθένη τὸν ἰσχυρόν.

Th 620d M τί ἐστι περίφρασις; ἡ διὰ πλειόνων λέξεων ἕν τι δηλοῦσα φράσις· ἐκ περιττῶν γὰρ γίνεται λέξεων, αὐξάνει δὲ τὸν ἔπαινον τοῖς ὑποκειμένοις προσώποις, ὡς τὸ ἱερὸν μένος Ἀλκινόοιο καὶ ἱερὴ ἲς Τηλεμάχοιο καὶ βίη Ἡρακλείη, ἤγουν ὁ Ἀλκίνοος, ὁ Τηλέμαχος καὶ ὁ Ἡρακλῆς. [5]

Th 620e P 2 PdSjVWYa Λασθένους βίαν] περιφραστικῶς τὸν Λασθένην.

Th 620f ACDNaPXc Λασθένους βίαν] ἤγουν τὸν Λασθένην.

Th 620g AbNaPdSjTVYYb ἐχθρόξενον] ὅρα ὅπως πρὸ βραχέων ἐπὶ ψόγου λαβὼν τὴν λέξιν ἐνταῦθα τὸν Λασθένην οὕτω καλεῖ.

Th 621a I 1 ἐχθρόξενον] ἐχθρὸν τῶν ἀπὸ ξένης ἐλθόντων.

Th 621b ADYa ἐχθρόξενον] ἐχθρὸν τοῖς πολεμίοις.

Th 621c NaPPd ἐχθρόξενον] τὸν ἐχθρὸν τοῖς ξένοις.

Th 621d CSjVYb ἐχθρόξενον] τῶν ἐχθρῶν.

Th 621e AB ἐχθρόξενον] δημοτικὸν καὶ ἀλλοφύλοις ἐχθρόν.

Th 621f θT πυλωρὸν] φύλακα τῶν πυλῶν.

Th 621g ABDHNaPθTVYYaYb ἀντιτάξομεν] ἀντιστήσομεν.

Th 621h AAbBHPθTWΞa γέροντα] φρόνιμον.

Th 622a ABDFdNaPVWYa ἡβῶσαν] νεάζουσαν, τρυφεράν.

Th 622b AWYa ἡβῶσαν] ἀκμάζουσαν.

Th 622c BCHNaθTVYb φύσει] γράφεται φέρε ι· δέον δὲ εἰπεῖν φέροντα πρὸς τὴν προηγουμένην αἰτιατικήν, φέρει εἶπεν ἐναλλάξας τὴν σύνταξιν.

Th 622d θ ἀπὸ μέρους ἐδήλωσε τὸ ὅλον, ἀπὸ τῆς τῶν ὀμμάτων γοργότητος χαρακτηρίζων αὐτοῦ καὶ τὴν ἐν τοῖς ἄλλοις ταχύτητα καὶ ἐπιτηδειότητα.

Th 623a I 1 ποδῶκες ὄμμα] ταχύτατον, γοργόν, σύντομον εἰς τὸ ὁρᾶν τῇδε καὶ ἐκεῖσε.

Th 623b ADPVWYa ποδῶκες ὄμμ α· σημείωσαι ὅτι ὁ Εὐριπίδης, ἔνθα γράφει τὸ πόδα τυφλόν (Ph.

Th 623c 1549), ἀπὸ τοῦ ἐνταῦθα ῥητοῦ τοῦτο ἀφείλετο. P 1 Pd ποδῶκες ὄμμα] ἀπὸ τῶν ὀφθαλμῶν νοεῖται τὸ τάχος.

Th 623d Ξa ποδῶκες] εὔστροφον.

Th 623e AbBCHPθTWYYb ποδῶκες] σύντομον.

Th 623f BY ποδῶκες] ταχύτατον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 623g FdHI 2 V ὄμμα] νοῦς.

Th 623h BH χεῖρα δ ’ οὐ βραδύνετα ι· τὴν χεῖρα δὲ οὐ βραδύς ἐστιν, ὥστε ἁρπάσαι καὶ προσβαλεῖν τὸ δόρυ εἰς μέρος ἐχθροῦ γυμνωθὲν τῆς ἀσπίδος ὅμως δέ, εἰ καὶ ἀνδρεῖός ἐστιν οὗτος καὶ ἐπιτήδειος, ἀλλὰ τοῦ θεοῦ ἐστι δῶρον εὐτυχεῖν τοὺς ἀνθρώπους.

Th 623-624 CNdP 1 PdSjVWXaYa οὐ βραδύνεται μὴ τρώσας ἐν δορὶ τὸ γυμνωθὲν μέρος παρὰ τῆς ἀσπίδος βαλεῖν.

Th 623i X οὐ βραδύνεται] οὐ βραδὺς ὑπάρχει.

Th 623j AbPPd τοσοῦτον γάρ ἐστι ταχὺς εἰς πόλεμον, ὥστε ἁρπάσαι καὶ προλαβεῖν δόρυ γυμνωθὲν παρὰ τῆς ἀσπίδος, τουτέστιν ἐάν τινα αἴσθηται μέλλοντα βαλεῖν αὐτὸν καὶ ἐν τῷ μέλλειν βαλεῖν καὶ κινήσειν τὴν χεῖρα γυμνωθέντα τῆς ἀσπίδος, ἣν εἶχε εἰς φυλακὴν καὶ δι’ ἧς ἐκαλύπτετο—ἐὰν ταῦθ’ οὕτω γενόμενα ἴδῃ, πρὶν παρ’ ἐκείνου τετρῶσθαι αὐτὸς ἐν τῷ γυμνωθέντι μέρει ἐκεῖνον βάλλει τῷ δόρατι· ἢ οὕτως· ἁρπάσαι καὶ ταχέως κινῆσαι δόρυ παρὰ τὸ γυμνωθὲν μέρος τῆς ἀσπίδος τοῦ ἀνταγωνιστοῦ, τουτέστιν ἢν ἴδῃ τὸν αὐτοῦ ἀντίπαλον γυμνωθέντα τῆς ἀσπίδος κατά τι μέρος αὐτοῦ, τάχιστα βάλλει αὐτὸν ἐκεῖσε τῷ δόρατι.

Th 623k θT βραδύνεται] βραδεῖαν τὴν χεῖρα ἔχει.

Th 623l BH βραδύνεται] βραδύς ἐστι.

Th 623m Ξa γυμνωθὲν] τὸ σῶμα.

Th 624a BCHI 2 Xc γυμνωθὲν] μέρος.

Th 624b LcPPdTWYaΞa ἁρπάσαι] τρῶσαι, βαλεῖν.

Th 624c BH ἁρπάσαι] προλαβεῖν.

Th 624d AbI 1 θTYaYb ἁρπάσαι] ἐμβαλεῖν.

Th 624e PPdXc ἁρπάσαι] ταχέως λαβεῖν.

Th 624f T δόρυ] πολέμιον.

Th 624g θT + ἤγουν εἰ καὶ ταχύς ἐστιν οὗτος καὶ πρὸς τὰς μάχας ἐπιτήδειος, ἀλλὰ τὸ νικᾶν δῶρόν ἐστι θεοῦ.

Th 625a T ὅμοιον τῷ (Eur.

Th 625b Hec. 296) στερρὸς ἀνθρώπου φύσι ς. Ξa δωρεὰ ἐπὶ ἀξιωμάτων, δῶρον δὲ ἐπὶ πραγμάτων· Φιλόστρατος δέ (Vit.

Th 625c soph. 2, 10, 4)· ἐτίμα δὲ βασιλεὺς δώροις ἐν δωρεαῖ ς. Ξa εὐτυχεῖν] τὸ κατορθοῦν τὰς πράξεις.

Th 625d Ξa στίχοι νη′.

Th 625e F pc κλύοντες θεοί · ὁ χορὸς παρακαλῶν τοὺς θεούς φησιν· ὦ θεοί, κλύοντες καὶ ἀκούοντες δικαίους λιτὰς ἡμετέρας τελεῖτε καὶ εἰς τέλος ἄγετε ταύτας, ἵνα ἡ πόλις εὐτυχῇ, ἐκ τῆς ἡμετέρας πόλεως τρέποντες καὶ κινοῦντες καὶ ἄγοντες τὰ ἀπὸ τοῦ πολέμου κακὰ πρὸς τοὺς ἐπιμόλους καὶ ἀπὸ ξένης γῆς παραγενομένους ἐνταῦθα· ὁ Ζεὺς δὲ καὶ ἔξωθεν τῶν πύργων ἀποβαλὼν αὐτὸν κάνοι καὶ κόψοι ἐν κεραυνῷ.

Th 626-630a ἢ οὕτως· ὁ Ζεὺς ἔξω τῶν τειχῶν διαφθερεῖ αὐτὸν βαλὼν ἐν κεραυνῷ. ABCHNdP 1 PdSj VWXaYYa + ἀντισπαστικὰ κῶλα ε′ ἰσόμετρα τοῖς πρὸ αὐτῶν.

Th 626-630b ἔοικε δὲ εἶναι ταῦτα ἀντιστροφή. F pc ἀντιστροφὴ κώλων ε′.

Th 626-630c T ἡμέτερα· + κλύοντες θεοί · ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχή (563)· ἱκνεῖται λόγος διὰ στηθέω ν.

Th 626-630d

καὶ αὕτη γὰρ κώλων ἐστὶν ὁμοίων καὶ ἰσομέτρων ἐκείνῃ ε′· οὕτω δὲ χρὴ γράφειν τὸ δεύτερον κῶλον ἵν’ οἰκείως ἔχῃ πρὸς τὸ μέτρον. ἐπὶ τῷ τέλει παράγραφος μόνη. T τελειῶτε, ὦ θεοί, ταῖς ἡμετέραις λιταῖς δικαίαις οὔσαις, ἵνα ἡ μὲν πόλις εὐτυχῇ, οἱ ἐχθροὶ δὲ πάντες ἡττηθῶσιν. [5]

Th 626-629 I 1 κλύοντες] ἀκούοντες.

Th 626a AAbBCPSjTVYb λιτὰς] παρακλήσεις.

Th 626b AbCYb λιτὰς] ἱκεσίας.

Th 626c TV ἐπιτελεῖτε ὅπως εὐτυχῇ, τὰ ἀπὸ τοῦ πολέμου κακὰ ἀπὸ τῆς γῆς ἐπὶ τοὺς ἐπελθόντας τρέποντες.

Th 627a M τελεῖθ’] εἰς τέλος ἄγετε ταύτας.

Th 627b ABDH τελεῖθ’] πληρεῖτε.

Th 627c BCHPV τελεῖθ’] εἰς τέλος ἄγετε.

Th 627d PθTYYaYbΞa δορύπονα] καὶ τὰ ἐκ τοῦ πολέμου.

Th 628a I 1 δορύπονα] τὰ ἀπὸ τοῦ πολέμου γινόμενα.

Th 628b ACDPYa δορύπονα] πολεμικά.

Th 628c θ δορύπονα] ἤγουν τὰ τοῦ πολέμου.

Th 628d T δορύπονα] τὰ ἀπὸ πορθήσεως.

Th 628e Ξa ἀποβαλὼν δὲ αὐτοὺς ὁ Ζεὺς ἔξω τῶν τειχῶν διαφθερεῖ ἐν κεραυνῷ ἐπὶ ταῖς πύλαις.

Th 628f M ἀποβαλὼν δὲ αὐτοὺς ἔξω τῶν πυλῶν διαφθερεῖ αὐτόν, ἤγουν τὸν Ἀμφιάραον, ἐν κεραυνῷ.

Th 628g I 1 ἐκδιώκοντες ἀφ’ ἡμῶν καὶ ἐπάγοντες πρὸς τοὺς ἐλθόντας ἐνταῦθα ἐξ ἀλλοδαπῆς.

Th 628h ADYa ἐκτρέποντες] ἀποδιώκοντες.

Th 628i BHPYaΞa ἐκτρέποντες] ἐκβαλόντες.

Th 628j XcY ἐκτρέποντες] ἐκτοπίζοντες, ἀποφέροντες.

Th 628k θT γᾶς] ἡμῶν.

Th 628l T ἐπιμόλους] ἐπήλυδας.

Th 629a I 1 ἐπιμόλους] τοὺς ἐχθρούς.

Th 629b XY ἐπιμόλους] τοὺς ξένους καὶ ἀπὸ ξένης γῆς παραγενομένους ἐνταῦθα.

Th 629c BHP ἐπιβούλους] πρὸς τοὺς ἐξ ἀλλοδαπῆς ἐλθόντας πολεμίους.

Th 629d PPd ἐπιμόλους] τοὺς πολεμίους ἐλθόντας.

Th 629e SjYb ἐπιμόλους] τοὺς ἐπελθόντας ἐχθρούς· τούτους γὰρ δορύπονα κακὰ λέγει.

Th 629f θT ἐπιμόλους] τοὺς κατὰ τῆς γῆς ἐλθόντας.

Th 629g Ξa βαλὼν] τρώσας.

Th 629h ACPTY σφε] αὐτούς.

Th 629i AAbBHNaPθTVXYaYb σφε] αὐτοὺς ἢ τὸν Ἀμφιάραον.

Th 629j I 1 σφε] τοὺς ἐπιμόλους.

Th 630a PPd κάνοι] κόψοι.

Th 630b ABHOVWYa κάνοι] φονεύσοι.

Th 630c BCNaSjXcYb γρ.

Th 630d κονοῖ καὶ εἰς κόνιν ποιήσει. P κάνοι] ἀφανίσειε καὶ εἰς οὐδὲν ἄξοι.

Th 630e θ κάνοι] κόψοι, ἀφανίσειε.

Th 630f T διπλῆς ἑτέρα περίοδος.

Th 631-685a οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι νε′. F pc ἡμέτερον· + τὸν ἕβδομον δ ή· αἱ μονοστροφικαὶ αὗται καὶ συστηματικαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων νε′ ὧν τελευταῖος (685)· κακῶν δὲ καἰσχρῶν οὔτι ν ’ εὔκλειαν ἐρεῖ ς.

Th 631-685b ἐπὶ τῷ τέλει ἑκάστης περιόδου παράγραφος, ἐπὶ δὲ τῷ τέλει πασῶν κορωνίς. T τὸν ἕβδομον δὴ τόνδ ε· εἰπὼν περὶ τῶν ἓξ στρατηγῶν τῶν περικυκλωσάντων τὰς Θήβας ἐν ταῖς ἓξ πύλαις, νῦν λέγει καὶ περὶ τοῦ Πολυνείκους ὃς ἦν ἱστάμενος ἐπὶ ταῖς ἑβδόμαις πύλαις· ἑπτάπυλος γὰρ ἡ χώρα αὕτη. [5]

Th 631-632 ABDHP 1 PdSjVWXaXcYYa τὸν ἕβδομον] τὸν τεταγμένον.

Th 631a Ξa τόνδ’] τὸν ταχθέντα.

Th 631b AbBCW λέξω] εἴπω.

Th 632a AC αὐτοῦ] ἐκ παραλλήλου.

Th 632b T κασίγνητον] τὸν Πολυνείκην.

Th 632c AY κασίγνητον] ἀδελφόν.

Th 632d AAbBPdTYbΞa οἷα] μεγάλα.

Th 633a Ξa ἀρᾶται] καταρᾶται.

Th 633b AbCVYb ἀρᾶται] καθ’ ἡμῶν.

Th 633c NaPPd ἀρᾶται] ἐκ παραλλήλου.

Th 633d T τύχας] δυστυχίας.

Th 633e AbBCHNaOPPdθTYaYbΞa ἐπεμβὰς] ἐπελθών.

Th 634a θT οἷον ἐμβοήσας ὡς· ἐγώ εἰμι ὁ τῆς πόλεως ταύτης πορθητὴς ἢ πολέμιος ἤ τι τοιοῦτον.

Th 634b I 1 κἀπικηρυχθεὶς] βασιλεύς.

Th 634c BNaPYa κἀπικηρυχθεὶς] ἀναγορευθεὶς ἄρχων παρὰ τῶν Ἀργείων.

Th 634d θT χθονὶ] τῇ πόλει.

Th 634e T ἁλώσιμον παιᾶ ν ’ ἐπεξιακχάσα ς· καὶ βοήσας καὶ ἀλαλάξας παιᾶνα καὶ ὕμνον ἁλώσιμον καὶ ἐπινίκιον, τουτέστιν τὸν ἐπὶ τῇ ἁλώσει τῶν Θηβῶν.

Th 635-638 ἴακχος δέ ἐστιν ὕμνος ὃν ἔλεγον κατ’ ἀρχὰς οἱ μυούμενοι ἐπὶ τῷ Διονύσῳ. τοῦτο δὲ ἦν εὐχόμενος ὁ Πολυνείκης· ἢ συμπολεμῆσαι μετὰ σοῦ καὶ φονεύσαντά σε φονευθῆναι καὶ ἐκεῖνον, ἢ σὲ τὸν ἀτιμαστῆρα ἐκείνου τὸν ἀνδρηλάτην καὶ τὸν ἐξελάσαντα ἐκεῖνον ἀπὸ τῆς ἰδίας πατρίδος ζῶντα τίσασθαι καὶ τιμωρῆσαι κατὰ τὸν αὐτὸν τοῦτον τρόπον, τοῦτό ἐστιν ὥσπερ σὺ ἐδίωξας ἐκεῖνον ἀπὸ τῆς πατρίδος, τὸν αὐτὸν τρόπον διώξει καὶ ἐκεῖνος σέ. ABCDHNdP 1 PdSjVWXaXcYYa ἐπινίκιον παιᾶνα ἐπεξαλαλάξας μετὰ ἰαχῆς· οὕτως καὶ ὁ ἴακχος λέγεται παρὰ τὰς ἰαχὰς τῶν μυουμένων. [5]

Th 635a M τὸ ἐπινίκιον ὃ ἐπὶ τῇ ἁλώσει τῆς πόλεως ἀνακρούσεται μετὰ ἰακχῆς, τουτέστι βοῆς· οὕτως καὶ ὁ ἴακχος λέγεται παρὰ τὰς ἰαχὰς τῶν μυουμένων.

Th 635b I 1 ἁλώσιμον παιᾶν’] τὸν ἐπὶ τῇ ἁλώσει τῆς πόλεως ὕμνον.

Th 635c ABDH NaYa ἁλώσιμον παιᾶν’] ἐπινίκιον.

Th 635d PTVYb ἁλώσιμον παιᾶν’] ταὐτὸν εἰπεῖν παιᾶνα νικητήριον.

Th 635e Ξa ἁλώσιμον] πορθητικόν.

Th 635f RbW ἁλώσιμον] πορθήσιμον.

Th 635g

Eulogikon public reading copy · View original HTML at eulogikon.org

PPd ἁλώσιμον] τὸν ἐπὶ πορθήσει γινόμενον.

Th 635h θT ἁλώσιμον] ἐπὶ τῇ ἁλώσει.

Th 635i Ξa παιᾶν’] ὕμνον.

Th 635j BPPdVXYb παιᾶν’] ὕμνος ἐπὶ ἀφέσει παντὸς δεινοῦ.

Th 635k Ξa ἐπεξιακχάσας] ἐκβοήσας.

Th 635l CFdM ἐπεξιακχάσας] βοήσας.

Th 635m VYYa ἀπαξιονκαχάσας] μετὰ γέλωτος εἰπών.

Th 635n BH ἐπεξιακχάσας] βοήσας καὶ ἀλαλάξας.

Th 635o ADNaP ἐπεξιακχάσας] ὑμνήσας.

Th 635p CHNbXc ἐπεξιακχάσας] ᾄσας.

Th 635q θ ἐπεξιακχάσας] πρὸς θεοὺς ὕμνον.

Th 635r AbLcLhRaRbT ἐπεξιακχάσας] μετὰ χαρᾶς ᾄσας καὶ καυχασμοῦ.

Th 635s T ἐπεξιακχάσας] ὑμνήσας· ὕμνος γὰρ ἐπὶ Διονύσῳ ὁ ἴακχος.

Th 635t Ξa ηὔχετο Πολυνείκης συμπαρατάττεσθαι Ἐτεοκλεῖ καὶ φονεύσας τοῦτον θανεῖν καὶ αὐτὸς πλησίον αὐτοῦ, ἢ ὥσπερ αὐτὸς περὶ τοῦτον ἐποίησε πρώην ἐξελάσας τῆς πόλεως, οὕτω νῦν καὶ οὗτος περὶ αὐτὸν ποιήσειε, βουλὴν ἔχων πρὸ τῆς συμπαρατάξεως τοιαύτην, πλησιάσαι τοῖς τείχεσι καὶ παρὰ τῶν οἰκείων βασιλεὺς τῆς χθονὸς ἀναγορευθῆναι καὶ πρὸς τοὺς θεοὺς ὕμνον καὶ εὐχὴν ᾆσαι τοιαύτην· δοίητε μοι θεοὶ πορθῆσαι τὰς Θήβας δικαίως στρατευομένῳ. [5]

Th 636a ἔστι δὲ τὸ τὼς καὶ τὸν αὐτὸν τρόπον ἐκ παραλλήλου. θT συστῆναί σοι καὶ φονεῦσαι ἀποθανὼν ἐγγύς.

Th 636b M συμφέρεσθαι] συμμάχεσθαι.

Th 636c BCHXc συμφέρεσθαι] συστῆναι, ἀντιφέρεσθαι.

Th 636d I 1 συμφέρεσθαι] συμπολεμεῖν.

Th 636e ADY συμφέρεσθαι] συμπολεμῆσαι.

Th 636f BPPdYa συμφέρεσθαι] συμπαρατάττεσθαι.

Th 636g θT συμφέρεσθαι] συνέρχεσθαι καὶ συναντᾶν.

Th 636h Ξa κτανὼν] φονεύσας σε.

Th 636i AAbCVYa κτανὼν] σέ.

Th 636j DHLhNaPX θανεῖν] ἐκεῖνον.

Th 636k PXYa πέλας] σοῦ.

Th 636l ABDPPdYaΞa πέλας] πλησίον.

Th 636m AAbCYaYb ζῶν δηλαδὴ καὶ ἐκεῖνος ἵνα λέγῃ ὅτι ἢ κτανὼν συνθανεῖν ἢ ζῶν ζῶντα σὲ τοιῶσδε τίσασθαι.

Th 637a I 1 ζῶντ’] σέ.

Th 637b OX ἀτιμαστῆρα] σὲ τὸν ἐκείνου ὑβριστήν.

Th 637c ACDPPd ἀτιμαστῆρα] ὑβριστήν.

Th 637d NaY ἀτιμαστῆρα] ἐκείνου.

Th 637e BOΞa ἀτιμαστῆρα] τὸν ἀτιμάσαντα αὐτὸν πρώην.

Th 637f θT τὼς] ὡσαύτως, οὕτως ὡς σὺ ἐκεῖνον.

Th 637g

Eulogikon public reading copy · View original HTML at eulogikon.org

I 1 τὼς] οὕτως ὥσπερ σὺ ἐκεῖνον ἐδίωξας.

Th 637h AD ἀνδρηλάτην] τὸν ἐξελάσαντα ἐκεῖνον ἀπὸ τῆς ἰδίας πατρίδος.

Th 637i ABD PdVYa τὸν αὐτὸν—τρόπον] κατὰ τὸν ὅμοιον τοῦτον τρόπον.

Th 638a AP τὸν αὐτὸν] τὸν ὅμοιον.

Th 638b BDHPdYa τὸν αὐτὸν] ὅνπερ σὺ αὐτόν.

Th 638c θT τίσασθαι] ἀποδοῦναι.

Th 638d BHV τίσασθαι] ἤγουν τιμωρήσασθαι δι᾽ ἐξελάσεως.

Th 638e PPd τίσασθαι] τιμωρήσασθαι.

Th 638f CKYaΞa τίσασθαι] τιμωρῆσαι.

Th 638g PθT τοιαῦτ᾽ ἀυτεῖ καὶ βοᾷ ὁ Πολυνείκης καὶ καλεῖ τοὺς θεοὺς τοὺς γενεθλίους τῆς πατρικῆς χώρας γενέσθαι παντελῶς ἐποπτῆρας καὶ ἐπιτηρητὰς τῶν εὐχῶν καὶ τῶν παρακλήσεων αὐτοῦ, ἤγουν βοηθοὺς γενέσθαι αὐτῷ ἐπακούσαντας τῶν εὐχῶν αὐτοῦ.

Th 639-640a ABHP 1 PdSjVXaYYa τοιαῦτα φωνεῖ ἡ βία τοῦ Πολυνείκους, ἤτοι αὐτὸς ὁ Πολυνείκης περιφραστικῶς, καὶ τοὺς θεοὺς τοὺς γενεθλίους τῆς πατρικῆς γῆς καλεῖ γενέσθαι ἐποπτῆρας τῶν λιτῶν τῶν ἰδίων.

Th 639-640b X τὸ ἑξῆς οὕτως· τοιαῦτ᾽ ἀυτεῖ Πολυνείκους βία.

Th 639a I 1 ἀυτεῖ] φωνεῖ.

Th 639b ABHPV ἀυτεῖ] βοᾷ.

Th 639c AAbCNaPT γενεθλίους] τοὺς ἐφόρους τῆς αὐτοῦ γεννήσεως.

Th 639d CΞa γενεθλίους] πατρῴους.

Th 639e θT ταῦτα οὖν ἀυτῶν βοηθοὺς γενέσθαι τοὺς θεοὺς ἐπεύχεται παντελῶς τῇ βίᾳ αὐτοῦ ὁ Πολυνείκης.

Th 640-641 M καλεῖ] ἐπικαλεῖται.

Th 640a CT καλεῖ] ἐπιβοᾶται καὶ καλεῖται.

Th 640b Ξa πατρῴας] τοὺς πατρικούς.

Th 640c Ξa ἐποπτῆρας] ἐπιτηρητάς.

Th 640d ABCDHPXcYa ἐποπτῆρας] ἐπακουστὰς καὶ πληρωτάς.

Th 640e θ ἐποπτῆρας] ἐπόπτας καὶ πληρωτάς.

Th 640f T λιτῶν] τῶν παρακλήσεων.

Th 640g BCHTY λιτῶν] εὐχῶν.

Th 640h AD ὧν] τῶν ἰδίων.

Th 641a ABCHI 3 NaPPdθTXXcYYaYbΞa πάγχυ] παντελῶς.

Th 641b ABHI 3 NaOPTVXcYYa πάγχυ] διόλου.

Th 641c PPd πάγχυ] λίαν.

Th 641d CPdθT Πολυνείκους βία] ἤγουν ὁ Πολυνείκης.

Th 641e AAbFdNaPTXc ἔχει δὲ καινοπηγέ ς· ἔχει δέ, φησίν, ὁ Πολυνείκης ἀσπίδα παραδόξως κατεσκευασμένην εὔκυκλον, καὶ ἐν αὐτῇ ἔχει σημεῖον κατεσκευασμένον διπλοῦν, ἤτοι ἄνδρα χρυσῷ κατεσκευασμένον στρατιώτην καὶ γυναῖκα ἔμπροσθεν ἐκείνου πορευομένην σωφρόνως· δι᾽ ὧν δὲ ἄνωθεν ἑαυτῆς ἐπιφέρει γραμμάτων ἡ γυνὴ αὕτη λέγει· ἐγώ εἰμι ἡ Δίκη, ἤτοι ἡ

δικαιοσύνη, καὶ κατάγω καὶ εἰσάξω τοῦτον τὸν ἄνδρα εἰς τὴν ἑαυτοῦ πατρίδα· ἵσταται γὰρ ἐπὶ τῆς ἀσπίδος ἐζωγραφημένος ὁ Πολυνείκης. [5]

Th 642-648a ABC DHNdP 1 PdSjVWXaXcYYa καὶ ἔμπροσθεν ἐκείνου ἦν εἰκονισμένη γυνὴ σωφρόνως πορευομένη καὶ οὐκ ἀσχημόνως.

Th 642-648b αὕτη δὲ ἡ Δίκη εἶχεν ἄνωθεν ἑαυτῆς γράμματα λέγοντα ὅτι· ἐγώ εἰμι ἡ δικαιοσύνη, καὶ ἐπεὶ ἀδίκως ἐξῶσεν ὁ Ἐτεοκλῆς τὸν Πολυνείκην ἀπὸ τῆς ἑαυτοῦ πατρίδος, πάλιν ἐγὼ κατάξω τοῦτον τὸν Πολυνείκην εἰς τὴν ἑαυτοῦ πατρίδα καὶ βασιλέα ταύτης ποιήσω. ACDNdP 1 PdSjVXaXc καινοπηγὲς] νεωστὶ παγέν. [5]

Th 642a BH καινοπηγὲς] παραδόξως κατασκευασθέν.

Th 642b BH καινοπηγὲς] καὶ νέον.

Th 642c XcYa καινοπηγὲς] νεωστὶ κατεσκευασμένον.

Th 642d CNa καινοπηγὲς] παραδόξως κατασκευασμένον.

Th 642e AbPPdRaRb καινοπηγὲς] νεωστὶ ἢ παραδόξως κατεσκευασμένον.

Th 642f θT καινοπηγὲς] νεοκατασκεύαστον.

Th 642g Ξa γρ(άφεται) εὔθετον ἵν’ ᾖ εὐβάστακτον.

Th 642h θεῖναι γὰρ τὸ ἀναλαβεῖν λέγουσιν Ἀττικοί, καὶ ὅπλα ἔθεντο ἀντὶ τοῦ ἀνέλαβον. I 1 M εὔκυκλον σάκο ς· γράφεται καὶ εὔθετον ἀντὶ τοῦ εὐβάστακτον.

Th 642i θεῖναι γὰρ τὸ ἐναγκαλίζεσθαι λέγουσιν Ἀττικοί, ὡς τὸ ὅπλα ἔθεντο ἀντὶ τοῦ ἔλαβον. ABCHNdP 1 P 2a PdSjWXaYYa εὔκυκλον] στρογγύλον.

Th 642j PV εὔκυκλον] κυκλοτερές.

Th 642k T σάκος] ἀσπίδα.

Th 642l ABTYa διπλοῦν τε σῆμα] τὴν γυναῖκα καὶ τὸν ἄνδρα, ἤγουν τὴν Δίκην καὶ αὐτὸν τὸν Πολυνείκην.

Th 643a Ξa σῆμα] σημεῖον.

Th 643b AAbBCTV προσμεμηχανημένον] ἐζωγραφημένον.

Th 643c BHP προσμεμηχανημένον] κατεσκευασμένον.

Th 643d CYa προσμεμηχανευμένον] ἐκ μηχανῆς πεποιημένον.

Th 643e θT προσμεμηχανευμένον] δείκνυται δὲ καὶ ἀπὸ τῆς κατασκευῆς.

Th 643f Ξa χρυσήλατον] χρυσῷ κατεσκευασμένον.

Th 644a BV χρυσήλατον] ἐληλασμένον ἀπὸ χρυσοῦ.

Th 644b CΞa χρυσήλατον] ἐκ χρυσοῦ κατεσκευασμένον.

Th 644c PθTY τευχηστὴν] ὁπλίτην.

Th 644d I 1 MPdVXcY τευχηστὴν] στρατιώτην, ὁπλίτην.

Th 644e BP τευχηστὴν] στρατιώτην.

Th 644f FdNaYa τευχηστὴν] ὡπλισμένον.

Th 644g AbHNaθTYaYb θαυμασίως τὸ ἰδεῖ ν· οὐ γὰρ καὶ τῇ ἀληθείᾳ.

Th 644h I 1 ἰδεῖν] + ὥστε ἰδεῖν αὐτόν τινα.

Th 644i T ἄγει] + κομίζει ἕλκουσα αὐτὸν ἀπὸ τῆς χειρός.

Th 645a T γυνή τις] ἤγουν ἡ δίκη.

Th 645b LcNaYa σωφρόνως] κοσμίως.

Th 645c NaP σωφρόνως] + σεμνῶς καὶ εὐτάκτως.

Th 645d T σωφρόνως] εὐτάκτως.

Th 645e AbΞa ἡγουμένη] προηγουμένη.

Th 645f I 1 ἡγουμένη] ἔμπροσθεν ὁδεύουσα.

Th 645g AP ἡγουμένη] προοδοποιοῦσα.

Th 645h AbBCDHNaθTXc ἡγουμένη] προπορευομένη.

Th 645i PPd ἡγουμένη] ὁδηγοῦσα.

Th 645j Ξa ἡμέτερον· ἐπειδὴ Πολυνείκης ἀδίκως ᾤετο τῆς πατρίδος ἀπελαθῆναι καὶ τοῦ τῆς ἀρχῆς ἀνήκοντος αὐτῷ μέρους, ἔγραψεν ἑαυτόν τε καὶ τὴν Δίκην ἐν τῇ ἀσπίδι, κατέχουσαν αὐτὸν τῆς χειρὸς καὶ εἰς τὴν ἐπὶ τῇ ἀσπίδι γεγραμμένην πόλιν εἰσάγουσαν.

Th 646-648 εἰκὸς γὰρ ἦν καὶ πόλιν ἐν αὐτῇ γεγράφθαι, κἂν ἐνταῦθα οὐ δείκνυται. τρόπον γάρ τινα διὰ τούτων ἐβόα ὅτι· ὥσπερ τοῦτο τὸ σημεῖον ὁρᾶτε, οὕτω κἀμὲ ἡ θεὸς Δίκη εἰσάξει καὶ παραδώσει τὴν πόλιν ὑμῶν καὶ τὴν ταύτης ἀρχήν· ἀδίκως γάρ με ταύτης ἐξώσατε. T δίκη] δικαιοσύνη. [5]

Th 646a CNaPPdXcY φησιν] λέγω· ἐγώ εἰμι ἡ δίκη.

Th 646b AD φησιν] ἐκείνη ἡ γυνή.

Th 646c BP φησιν] λέγει.

Th 646d AbT τὰ γράμματα] ἤγουν ἡ ἐπιγραφή.

Th 646e SjYb τὰ γράμματα] + τὰ ἐπάνω αὐτῆς γεγραμμένα.

Th 646f T κατάξω] ὡς ἐπὶ φυγάδος ἡ λέξις.

Th 647a I 1 κατάξω] κατάγω.

Th 647b AY κατάξω] εἰσάξω.

Th 647c BP κατάξω] φέρω.

Th 647d HYa κατάξω] καταβιβάσω.

Th 647e AbCNaSjYb κατάξω] + εἰσάξω εἰς τὴν πόλιν.

Th 647f T ἄνδρα] φησιν ἀπὸ κοινοῦ.

Th 647g FdP τόνδε] ὃν ἄγω.

Th 647h T ἕξει] λάβῃ.

Th 648a ABH ἕξει] + καθέξει, κρατήσει.

Th 648b T πατρῴων] πατρικῶν.

Th 648c BT δωμάτων] οἴκων.

Th 648d ATV ἐπιστροφάς] οἰκονομίας.

Th 648e BHPPd ἐπιστροφάς] φροντίδας.

Th 648f AAbDNaPPdXXcYaYbΞa ἐπιστροφάς] ἐπιμελείας.

Th 648g CNaRb ἐπιστροφάς] διατριβάς.

Th 648h θ ἐπιστροφάς] ἀναστροφάς, διατριβάς.

Th 648i T ἐπιστροφὴ ἡ μέριμνα καὶ ἡ φροντίς.

Th 648j Ξa τἀξευρήματα] αἱ μηχαναί.

Th 649a BCHO τἀξευρήματα] τὰ μηχανήματα.

Th 649b NaθTYaYb τἀξευρήματα] αὐθάδη.

Th 649c Ξa γνῶθι] νόησον.

Th 650a CSjTYb γνῶθι] διάγνωθι.

Th 650b Ξa δοκεῖς] λογίζῃ.

Th 650c T ἀνδρὶ τῷδε] ἀντὶ ἐμοὶ ὧν ἀπήγγειλα.

Th 651a M τῷδε ἤγουν ἐμοὶ ὧν ἀπήγγειλα.

Th 651b I 1 ἀνδρὶ τῷδε] ἀντὶ τοῦ ἐμοὶ μέμψῃ ἕνεκα ὧν ἀπήγγειλα.

Th 651c AD ἀνδρὶ τῷδε] ἤγουν ἐμοί.

Th 651d AbBCFdI 1 NaPSjθTXXcYaYb τῶνδε] ἕνεκα δῆλον τῶν λόγων οὓς λέγω.

Th 651e YaYb τῶνδε] γράφεται τῷδ ε, ἤγουν ἐμοὶ δεικτικῶς.

Th 651f OPPd τῷδε] ἤγουν ἐμοὶ τῷ μηνύσαντι.

Th 651g Ξa κηρυκευμάτων] μηνυμάτων ὧν ἀπήγγειλα.

Th 651h BP κηρυκευμάτων] μηνυμάτων.

Th 651i AbNaY κηρυκευμάτων] τῶν ἀγγελιῶν.

Th 651j AbXΞa κηρυκευμάτων] ὧν ἀπήγγειλα.

Th 651k PPd κηρυκευμάτων] κηρυγμάτων.

Th 651l T γνῶθι] σκέψαι.

Th 652a NaPPd γνῶθι] + νόει, σκόπει.

Th 652b T γνῶθι] γνῶσιν λαβέ.

Th 652c Ξa ναυκληρεῖν] περιέπειν, πεφροντικέναι.

Th 652d M ναυκληρεῖν] κυβερνᾶν.

Th 652e BCHTVXc ναυκληρεῖν] περιέπειν τροπικῶς.

Th 652f AD ναυκληρεῖν] περιέπειν.

Th 652g NaPPdYaYb ναυκληρεῖν] τροπικῶς.

Th 652h OYb ναυκληρεῖν] σώζειν.

Th 652i θT ναυκληρεῖν] διεξάγειν.

Th 652j Ξa ὦ θεομανές τ ε· ὦ θεοῖς ἐπιμαινόμενε· ἐπιστρατεύῃ γὰρ πατρίδι καὶ πατρῴοις θεοῖς, καὶ ὦ μέγα στύγος καὶ μῖσος τῶν θεῶν, ὦ πολλῶν δακρύων ἄξιε ἀδελφέ· λέγει δὲ ταῦτα ὁ Ἐτεοκλῆς πρὸς τὸν Πολυνείκην· φεῦ μοι, αἱ τοῦ πατρός, ἤτοι τοῦ Οἰδίποδος, κατάραι νῦν τέλος φέρουσιν ἑαυτῶν· κατηράσατο γὰρ ὁ Οἰδίπους διὰ σιδήρου καὶ αἵματος γενέσθαι αὐτοῖς τὴν διανομὴν τῶν χρημάτων. [5]

Th 653-655 ABCDHNdP 1 PdSjV WXaXcYYa ὦ θεοῖς ἐπιμαινόμενε· ἐπιστρατεύῃ γὰρ πατρίδι καὶ πατρῴοις θεοῖς.

Th 653a I 1 M θεομανές] θεοῖς ἐπιμαινόμενε.

Th 653b ABD θεομανές] μισητὸν τοῖς θεοῖς.

Th 653c NaP θεομανές] θεόργητον.

Th 653d θ θεομανές] + κατὰ θεῶν μανὲν ἢ παρὰ θεῶν.

Th 653e T στύγος] μῖσος.

Th 653f ABHNaPVYaYb στύγος] μίσημα.

Th 653g CθT ἀποστροφὴ πρὸς τὸ γένος αὐτοῦ.

Th 654a BH πανδάκρυτον] πάντων δακρύων ἄξιον.

Th 654b ACDY πανδάκρυτον] πολύ.

Th 654c PPd πανδάκρυτον] πολλῶν δακρύων ἄξιε ἀδελφέ.

Th 654d PVYa πανδάκρυτον] πολυπενθές.

Th 654e θT πατρὸς] τοῦ Οἰδίποδος.

Th 655a ABT ἀραὶ] αἱ κατάραι.

Th 655b AAbBPdT τελεσφόροι] τέλος ἔχουσαι τῶν οἰκείων κακῶν.

Th 655c ADPYa τελεσφόροι] πληρωτικαί.

Th 655d BH τελεσφόροι] τέλειοι ὑπάρχουσιν.

Th 655e CXc τελεσφόροι] τέλειοι καὶ τέλος λαβοῦσαι.

Th 655f SjYb τελεσφόροι] τέλος φέρουσιν καὶ λαμβάνουσι.

Th 655g ἢ τελεσφόροι ἀντὶ τοῦ εἰς τέλος εἰσὶ φερόμεναι. P τελεσφόροι] τετελεσμέναι ἔσονται.

Th 655h T ἀλ λ ' οὔτε κλαίει ν· ὁ Ἐτεοκλῆς εἰς θρῆνον τραπεὶς διὰ τὰς τοῦ πατρὸς ἀρὰς καὶ διὰ τὴν πρὸς τὸν ἀδελφὸν μάχην, ἵνα μὴ ὑπὸ θρήνου ταράξῃ τοὺς πολίτας, πάλιν μεταφέρει ἑαυτὸν καί φησιν· ἀλλ' οὔτε κλαίειν οὔτε ὀδύρεσθαι πρέπει νῦν, ἵνα μὴ καὶ ἀφόρητος γόος καὶ χαλεπὸς τεκνωθῇ, ἤγουν αὐξηθῇ ἐν τῇ πόλει. [5]

Th 656-657 ABCDHNdP 1 PdSjVWXaXc YYa οὔτε κλαίειν οὔτ' ὀδύρεσθαι] κλαίειν ἐστὶ τὸ στάζειν δάκρυα, ὀδύρεσθαι δὲ τὸ μετὰ στεναγμοῦ βοᾶν.

Th 656a NaP κλαίειν] θρηνεῖν.

Th 656b AbCSjYb ὀδύρεσθαι] θρηνεῖν.

Th 656c TYa πρέπει] ἁρμόζει ἐμοί.

Th 656d CSjYb τεκνωθῇ] αὐξηθῇ.

Th 657a ABCDHI 1 MOPPdVXYYa τεκνωθῇ] γεννηθῇ.

Th 657b PT τεκνωθῇ] παρὰ τῆς πόλεως ἀναφυῇ.

Th 657c θ δυσφορώτατος] ἀφόρητος, χαλεπός.

Th 657d BP δυσφορώτατος] δυσκόλως καρτερούμενος.

Th 657e AD δυσφορώτερος] δυσχερέστατος· τίς γὰρ ἰδὼν τὸν βασιλέα θρηνοῦντα οὐ μᾶλλον τότε ἢ πρώην θρηνεῖν ἐθελήσειεν; θT δυσφορώτερος] δυσχερέστερος.

Th 657g T γόος] θρῆνος.

Th 657h AAbBCNaPdTVYa ἐπωνύμῳ δὲ κάρτ α· τοῦτό φησιν ὅτι ταχέως γνώσομεν τὰ ἐπὶ τῆς ἀσπίδος ἐπίσημα ποῦ τελεσθήσεται καὶ εἰς τί καταντήσει τῷ Πολυνείκει τῷ ἐπωνύμῳ· πάνυ γὰρ τὸ ἐπώνυμον τῇ φιλονεικίᾳ συμφωνεῖ.

Th 658-659 ἐτυμολογεῖται γὰρ τὸ ὄνομα ἀπὸ τοῦ πολὺ καὶ τοῦ νεῖκος ἡ φιλονεικία. ABDHP 1 PdSjVWXaYYa διὰ τὸ πολέμους ἐγεῖραι· πάνυ γὰρ τὸ 〈Πολυνείκησ〉 ἐπώνυμον τῇ φιλονεικίᾳ. [5]

Th 658a I 1 M ἐπωνύμῳ] τῷ τὴν φιλονεικίαν δηλοῦντι διὰ τοῦ ὀνόματος.

Th 658b ADPPd Ya ἐπωνύμῳ] φερωνύμῳ.

Th 658c NaP ἐπωνύμῳ] τῷ κατ' ἐπωνυμίαν φιλονείκῳ.

Th 658d θT τάχ'] ταχέως.

Th 659a AAbBCFdHNaPSjTVYaYb τάχ'] ἴσως.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 659b HaNa τάχ’] τοῦτο κατ’ εἰρωνείαν.

Th 659c θTX εἰσόμεθα] γνώσομεν.

Th 659d AYa εἰσόμεθα] γνωσόμεθα.

Th 659e CFdVY εἰσόμεθα] γνωρίσομεν.

Th 659f AbBDHNaPPd εἰσόμεθα] γνωρισόμεθα.

Th 659g SjYb τοὐπίσημ’] σημεῖα.

Th 659h BH τοὐπίσημ’] τὸ ἐπὶ τῆς ἀσπίδος σημεῖον.

Th 659i AYa τοὐπίσημ’] τὸ σημεῖον.

Th 659j CPPdTXc τελεῖ] τελεσθήσεται.

Th 659k BHHaNaPPdYa τελεῖ] ἄγει, φέρει.

Th 659l θ τελεῖ] + ἤγουν ὅπου τελεσθήσεται· ὁ ἐνεστὼς ἀντὶ μέλλοντος.

Th 659m T εἴ νιν κατάξε ι· ἐπεὶ ἄνωθεν εἶπεν ὅτι ἐπὶ τῆς οἰκείας ἀσπίδος ἔχει ὁ Πολυνείκης ἐζωγραφημένον ἄνδρα στρατιώτην, ἄγει δὲ ἐκεῖνον γυνὴ ἔμπροσθεν πορευομένη μετὰ σωφροσύνης καὶ λέγουσα· ἐγώ εἰμι ἡ Δίκη καὶ εἰς τὴν πατρίδα ἑαυτοῦ κατάγω καὶ ἐγκατοικίσω τοῦτον τὸν ἄνδρα, ἤγουν τὸν Πολυνείκην, νῦν φησι περὶ αὐτοῦ ὁ Ἐτεοκλῆς συντόμως νοήσομεν εἰς τί τέλος καταντήσει ἃ ἐπὶ τῆς ἀσπίδος ἔχει σημεῖα ὁ Πολυνείκης, ἐὰν αὐτὸν κατάγῃ τὰ χρυσότευκτα γράμματα φλυαροῦντα αὐτοῦ ἐπὶ τῆς ἀσπίδος σὺν φοίτῳ καὶ μανίᾳ φρενῶν, ἤτοι μαινομένῃ διανοίᾳ. [5]

Th 660-661 ABCDHNdP 1 PdSjVWXaXcYYa νιν] αὐτόν.

Th 660a AbBCHNaOθTYaYb κατάξει] καταγάγῃ.

Th 660b PPdΞa κατάξει] κατάξωσι.

Th 660c AbB κατάξει] φέρουσι.

Th 660d NaXc κατάξει] εἰς τὴν πατρίδα.

Th 660e θT οὐκ εἶπεν θεὸς ἢ ἄνθρωπος, ἀλλὰ τὰ χρυσᾶ γράμματα.

Th 660f I 1 M χρυσότευκτα γράμματα] τὰ διὰ χρυσοῦ γεγραμμένα.

Th 660g Ξa χρυσότευκτα] τὰ ἐκ χρυσοῦ κατασκευασθέντα.

Th 660h LcT φλύοντα] φλυαροῦντα.

Th 661a AAbBCDHHaMNaPPdθTVXYYa YbΞa σὺν φοίτ ῳ· μανίᾳ.

Th 661b καὶ Σοφοκλῆς (Ai. 59)· φοιτῶν τ ’ ἄνδρ α, καὶ φοιταλέος παρ’ Εὐριπίδῃ (Or. 327) μανικός. γρ(άφεται) δὲ καὶ συμφύτῳ φρεν ί. I 1 φοίτῳ] μανίᾳ.

Th 661c ABCDHHaM 2 NaOPPdθTVXcYYaYbΞa ἀπὸ τοῦ φοιτᾶν εἰς τὸν οἶτον καὶ εἰς τὸν θάνατον.

Th 661d B a φοίτῳ] φοῖτος ἡ μανία ἀπὸ τοῦ φοιτῶ τὸ παραγίνομαι.

Th 661e P φρενῶν] τοῦ ποιήσαντος.

Th 661f FcLcLhT εἰ δ ’ ἡ Διὸς παῖς παρθένος Δίκη παρῆ ν· ἐὰν δ’ ἡ παρθένος παῖς τοῦ Διός—ἡ Δίκη τοῦ Διὸς γὰρ θυγάτηρ λέγεται—αὕτη παρῆν τοῖς ἔργοις ἐκείνου καὶ ταῖς φρεσίν, τουτέστιν ἐὰν τὴν Δίκην εἶχεν ὁ Πολυνείκης συμπαροῦσαν καὶ ἐν λόγοις καὶ ἐν ἔργοις καὶ ἐνθυμήμασιν αὐτοῦ καὶ οὐ κατὰ πάντα ἦν ἄδικος, τάχ’ ἂν ὑπῆρχεν τοῦτο, ἤγουν τὸ τὴν δίκην βοηθῆσαι αὐτῷ καὶ εἰσάξαι εἰς τὴν πατρίδα καὶ νικῆσαι ἡμᾶς. [5]

Th 662-663 AB CDHNdP 1 PdSjVWXaYYa [τὸ] τῆς δίκης ὄνομα ἔκρυψε.

Th 662a

[ῥ]ητορικὸν παρά[γγε]λμα τὸ κρύπτειν [...]φέλαια τὰ ἀ[σύ]μφορα, ὅπερ [λέ]γεται καὶ μετά[λη]ψις παρὰ [ῥή]τορσιν· ἀντὶ τῆς δίκης γὰρ [μετ]έλαβε τὰ [γρ]άμματα. B a παῖς] θυγάτηρ.

Th 662b AbTV παρθένος] ἀντὶ τοῦ εἰπεῖν θυγάτηρ λέγει παρθένος.

Th 662c SjXc Yb φρεσὶ] + ἤτοι τῷ λογισμῷ, τοῖς βουλεύμασιν.

Th 663a T τόδ’] τὸ νικῆσαι ἐκεῖνον.

Th 663b ADHaNaOPYa τόδ’] τὸ παρεῖναι καὶ νῦν αὐτῷ ταύτην.

Th 663c PPd τόδ’] τὸ τῆς καταγωγῆς.

Th 663d θT ἡμέτερον· + διὰ τούτων πάντων βούλεται παριστᾶν καὶ ἐλέγχειν αὐτὸν ὡς ἄδικον.

Th 664-669a πάσας γὰρ διελθὼν ἡλικίας ἐν οὐδεμιᾷ δίκαιόν τι εὑρέθη διαπραξάμενος. ἐπεὶ τοίνυν ἐν ταύταις ταῖς ἡλικίαις οὐ συνῆν τούτῳ ἡ Δίκη, οὐδὲ νῦν ἐν τῇ τῆς πατρίδος πορθήσει συνέσεται. T ἄλ λ ’ οὔτε νι ν· ἀλλά νιν καὶ αὐτὸν τὸν Πολυνείκην οὐχὶ ἡ Δίκη λόγου ἄξιον ἔκρινεν οὔτε φυγόντα μητρόθεν σκότον, ἤγουν γεννηθέντα, οὔτε ἀνατρεφόμενον οὔτε ἀκμάσαντα οὔτε εἰς ἀνδρὸς ἡλικίαν καταστάντα, ἀντὶ τοῦ ἐν οὐδεμιᾷ ἡλικίᾳ ἔπραξέ τι δίκαιον, ἀλλ’ ἀεὶ ἄδικος καὶ ἄνομος ἦν· οὐδὲ νῦν οὖν ὑπολαμβάνω παραστατεῖν καὶ συνεῖναι αὐτῷ πλησίον νιν καὶ αὐτὴν τὴν Δίκην ἐπὶ κακώσει καὶ βλάβῃ τῆς πατρῴας γῆς. [5]

Th 664-669b A BCDHNdP 1 PdSjWXaXcYYa νιν] τὸν Πολυνείκην.

Th 664a BCNaP νιν] αὐτόν.

Th 664b ABHHaLcNaTV φυγόντα—σκότον] γεννηθέντα.

Th 664c AAbBDHI 1 MOPPdYa φυγόντα—σκότον] εἰς φῶς ἐξελθόντα ἀπὸ τῆς γαστρός.

Th 664d ABD HYa φυγόντα] ἐξελθόντα.

Th 664e VY φυγόντα] ἤτοι ἐκπεσόντα τῆς μητρικῆς γαστρὸς καὶ εἰς φῶς ἐλθόντα· βούλεται δὲ διὰ τούτων πάντων παριστᾶν καὶ ἐλέγχειν αὐτὸν ὡς ἄδικον.

Th 664f θT μητρόθεν] ἀπὸ μητρὸς γεννηθέντα αὐτόν.

Th 664g Ξa αἱ τοῦ ἀνδρὸς ἀνηλικιώσεις οὕτως· λέγεται βρέφος ἀπὸ γεννήσεως ἕως ἐτῶν δʹ, παῖς ἀπὸ τῶν εʹ ἕως τῶν ιδʹ μειράκιον ἀπὸ τῶν ιεʹ ἕως τῶν κβʹ, νεανίσκος ἀπὸ τῶν κγʹ ἕως τῶν μδʹ, ἀνὴρ ἀπὸ τῶν μεʹ ἕως τῶν νζʹ, γηραιὸς ἀπὸ τῶν νηʹ ἕως τῶν ξηʹ, πρεσβύτης ἀπὸ τῶν ξθʹ ἕως τῶν τοῦ τέλους τῆς ζωῆς αὐτοῦ· τὴν τῶν ἑπτὰ αἰώνων παράτασιν ἡ τοῦ ἀνθρώπου ἡλικία καὶ παραλλοίωσις τῆς ζωῆς πάσης ἀπεικάζεται. [5]

Th 665a B a P 1 P 3 PdSjW 1 W 2 XXa τροφαῖσιν] ἀνατροφαῖς.

Th 665b BCHHaNaθTV τροφαῖσιν] ὅτε ἀνετρέφετο παῖς ὤν.

Th 665c APPdYa τροφαῖσιν] ἀνατρεφόμενον.

Th 665d PΞa ἐφηβήσαντα] ἐνηλικιωθέντα.

Th 665e BVXc ἐφηβήσαντα] ἀκμάσαντα.

Th 665f ACPYaΞa ἐφηβήσαντα] εἰς ἥβην ἐλθόντα καὶ νεανίσκον γενόμενον.

Th 665g θT οὐ γὰρ ἀθρόως φύεται, ἀλλὰ κατ’ ὀλίγον· ἡ δὲ ἔννοια ὅλη τοιαύτη ὅτι οὐδὲ ἐν μιᾷ ἡλικίᾳ ἔπραξέ τι δίκαιον.

Th 666a I 1 οὐ γὰρ ἀθρόως φύεται, ἀλλὰ συλλέγεται κατ’ ὀλίγον.

Th 666b AMYa καλῶς ἐχρήσατο τῇ συλλογ ῇ· οὐ γὰρ ἀθρόως φύεται ἅπασα, ἀλλὰ κατ’ ὀλίγον συλλέγεται.

Th 666c B a P 1a PdSj συλλογῇ] συναθροίσει.

Th 666d AbC συλλογῇ] συνάξει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 666e LcNa συλλογῇ] + τῇ κατὰ μικρὸν ἐκφύσει· οὐ γὰρ ἀθρόως αἱ τοῦ γενείου φύονται τρίχες.

Th 666f T συλλογῇ] ἐν τῇ ἐξανθήσει τῶν τριχῶν τοῦ γενείου.

Th 666g Ξa εἶδεν αὐτὸν καὶ ἐφίλησεν· ἀντὶ 〈τοῦ〉 οὐδὲ ἐν μιᾷ ἡλικίᾳ ἔπραξέ τι δίκαιον.

Th 667a M Δίκη] ἡ δικαιοσύνη.

Th 667b AbBPPd προσεῖπε] ἐχαιρέτισε.

Th 667c AbBCHPXXc προσεῖπε] ἠσπάσατο.

Th 667d θT κατηξιώσατο] ἐφιλιώθη.

Th 667e BHPXc κατηξιώσατο] ἄξιον ἔκρινε.

Th 667f CHaΞa κατηξιώσατο] ἐτίμησε.

Th 667g θT καὶ μὴν δὴ οὐδὲ ἐπὶ κακώσει τῆς πατρῴας χώρας ἐγγὺς αὐτοῦ ἔσται ἡ Δίκη.

Th 668a M οὔτ’] λοιπόν.

Th 668b CXc πατρῴας] + πατρικῆς.

Th 668c AbT χθονὸς] γῆς.

Th 668d AV κακουχίᾳ] πολέμῳ.

Th 668e BHP κακουχίᾳ] κακοποιήσει.

Th 668f BPPdYΞa κακουχίᾳ] κακώσει, καποποιήσει.

Th 668g ADHa κακουχίᾳ] κακώσει.

Th 668h NaYa κακουχίᾳ] τῇ πορθήσει.

Th 668i AbCXc κακουχίᾳ] ὀλέθρῳ.

Th 668j θT οἶμαι] ὑπολαμβάνω.

Th 669a AAbBHHaPT νιν] αὐτὴν τὴν Δίκην.

Th 669b ABCFdHOPXXcYaYb νιν] αὐτήν.

Th 669c AbDHaM 2 NaPdθTVY αὐτῷ] τῷ Πολυνείκει.

Th 669d BCHΞa παραστατεῖν] βοηθεῖν.

Th 669e BCHaNa παραστατεῖν] συνεῖναι.

Th 669f BNaPθT παραστατεῖν] + ἐκ παραλλήλου.

Th 669g T παραστατεῖν] συνυπάρχειν.

Th 669h Ξa πέλας] πλησίον.

Th 669i AAbBHaVYa ἦ δῆ τ ’ ἂν εἴ η· ἀπὸ τοῦ νῦν, φησί, ἡ Δίκη πάντη δικαίως ἔσται ψευδώνυμος, οὐ προσηκόντως ὀνομαζομένη Δίκη, ἐὰν συνυπάρχῃ ἀνδρὶ πάντα τολμῶντι καὶ πράττοντι καὶ μὴ πτοουμένῳ τοὺς θεούς.

Th 670-671 AB a CNdP 1 PdSjWXXaYYa πανδίκως] δικαίως.

Th 670a AAbBCDHHaNaPPdVXΞa πανδίκως] πανδικαίως.

Th 670b T ψευδώνυμος] ψευδῶς ὀνομαζομένη δίκη.

Th 670c ABDHYaYb ψευδώνυμος] ψευδῶς ἔχουσα τὸ ὄνομα.

Th 670d CV ψευδώνυμος] ψευδομένη τῷ ὀνόματι ἡ δίκη.

Th 670e HaNa ψευδώνυμος] + ψευδῶς ὠνομασμένη.

Th 670f T ψευδώνυμος] κληθῇ ἂν ψευδώνυμος.

Th 670g Ξa Δίκη] ἡ δικαιοσύνη.

Th 671a CXc ξυνοῦσα] συνυπάρχουσα.

Th 671b AAbB ξυνοῦσα] ὁμιλοῦσα.

Th 671c CHaYa ξυνοῦσα] γρ(άφεται) ξενοῦσα ἤγουν φιλιουμένη.

Th 671d PPd φωτὶ] ἀνδρί.

Th 671e ABCHPTV παντόλμῳ φρένας] πάντα τὰ ἄθεσμα τολμῶντι κατὰ νοῦν.

Th 671f AD παντόλμῳ] ἀδίκῳ.

Th 671g PPd παντόλμῳ] θρασυτάτῳ καὶ ἀδικωτάτῳ.

Th 671h θT τούτοις πεποιθώ ς· τούτοις, φησὶν ὁ Ἐτεοκλῆς, θαρρῶν, ὅτι ἄδικός ἐστιν ὁ Πολυνείκης καὶ ἐχθρὸς τῶν θεῶν καὶ ὅτι κατὰ τῆς πατρίδος ἐστράτευσε καὶ διὰ τοῦτο ἡττηθήσεται, ἔρχομαι ἐγὼ καὶ ἀντιστήσομαι καὶ πολεμήσω αὐτῷ βασιλεὺς βασιλεῖ καὶ ἀδελφὸς ἀδελφῷ· τίς γὰρ ἄλλος δικαιότερος ἀντιστῆναι αὐτῷ ἢ ἐγώ· AP 1 PdSjVWXXa YYa τούτοις] τοῖς λόγοις. [5]

Th 672a BH τούτοις] οἷς εἶπον.

Th 672b AbCHaθTXc τούτοις] τοῖς λογισμοῖς.

Th 672c Ξa πεποιθὼς] θαρρῶν.

Th 672d AAbBCHHaTVΞa πεποιθὼς] ὅτι οὐ βοηθήσει αὐτῷ ἡ Δίκη.

Th 672e DPPdX εἶμι] πορεύσομαι.

Th 672f CHPTΞa εἶμι] πορεύομαι.

Th 672g BYYa εἶμι] ἐλεύσομαι.

Th 672h AbHaNa ξυστήσομαι] ἀντιμαχέσομαι.

Th 672i ABHPPdXY ξυστήσομαι] ἀντιστήσομαι.

Th 672j APVΞa ξυστήσομαι] μαχέσομαι.

Th 672k FdHaO ξυστήσομαι] ἐναντιωθήσομαι.

Th 672l AbHaNaYa ξυστήσομαι] συμπαρατάξομαι.

Th 672m θT αὐτὸς] ἐγώ.

Th 673a ABCDHHaPYa ἄλλος] τῷ Πολυνείκει.

Th 673b BH μᾶλλον] ἐμοῦ.

Th 673c BYa μᾶλλον] περισσοτέρως.

Th 673d TYa ἐνδικώτερος] ἀξιώτερος.

Th 673e BHPPd ἐνδικώτερος] δίκαιος, ἄξιος ἀντιμαχέσασθαι.

Th 673f ADPX ἐνδικώτερος] δικαιότερος.

Th 673g CHaVXcYΞa ἐνδικώτερος] ἢ ἐγώ.

Th 673h θT ἄρχοντι] βασιλεῖ.

Th 674a ANaPYa ἄρχοντι] ἡγεμόνι ἐκείνῳ.

Th 674b CSjYb ἄρχων] βασιλεύς.

Th 674c AYa ἄρχων] ἡγεμὼν ἐγώ.

Th 674d CSjYb ἄρχων] συστήσομαι ἐγώ.

Th 674e AbXc κασιγνήτῳ] ἀδελφῷ.

Th 674f AAbBHaTVYa κασιγνήτῳ] ὄντι ἐκείνῳ.

Th 674g CSjXcYb κάσις] ἀδελφός.

Th 674h AAbHHaNaTVYa κάσις] ἐγώ.

Th 674i BSjXcYb ἐχθρὸς] ἐγώ.

Th 675a BCXc στήσομαι] ἐναντιωθῶ.

Th 675b BSjYb φέρ’] κόμιζε.

Th 675c CV φέρ’] πρός τινα τῶν οἰκείων ὁ λόγος.

Th 675d T τάχος] λίαν ταχέως.

Th 675e AAbBHHaTYbΞa κνημῖδας] τὰ τοῖς ποσὶ καὶ τοῖς σκέλεσι περιβαλλόμενα πρὸς φυλακήν.

Th 676a AVXYa ἢ κνημῖδας τὰ σκουτάρια· καὶ ταῦτα περιπεφραγμένος ἐντέχνως καὶ περικαλυψάμενος φυλάσσει ὅλῳ τῷ ἑαυτοῦ σώματι, καὶ οὐ προσβολαὶ καὶ ῥίψεις συνεχεῖς τῶν βελῶν καθάπτονται καὶ ἐμβέβληνται τῷ αὐτοῦ σώματι ὡς περιτετειχισμένῳ καὶ καλῶς ὡπλισμένῳ.

Th 676b V κνημῖδας] κάλτζας.

Th 676c BP γράφεται αἰχμὴν ἵν’ ᾖ οὕτως· φέρε ὡς τάχος καὶ ταχέως τὰς κνημῖδας καὶ τὴν αἰχμὴν καὶ ἕνεκα τῶν πέτρων τὰ προβλήματα, ἤτοι τὰ σκουτάρια.

Th 676d P 2a πέτρων προβλήματ α· τὴν περικεφαλαίαν, τὴν ἀσπίδα.

Th 676e I 1 προβλήματα] τὰ προσκρούσματα.

Th 676f BH προβλήματα] σκουτάρια.

Th 676g CPdY προβλήματα] τὴν ἀσπίδα.

Th 676h BNaTΞa προβλήματα] τὰ ἅρματα.

Th 676i HaNa τὰ προβλήματα τῆς αἰχμῆς, ἤτοι τὴν αἰχμὴν περιφραστικῶς ἣν προβαλλόμεθα εἰς μάχην.

Th 676j γράφεται δὲ καὶ πτερῶν καὶ πέτρων, καὶ τὸ μὲν πέτρων εἴποις οὕτως· τὰ προβλήματα τῶν πέτρων, ἤτοι τὴν ἀσπίδα ἣν προβαλλόμεθα τοῦ σώματος καὶ δι’ ἧς τοὺς ἐκ πολεμίων ἡμῖν ἐπιόντας λιθασμοὺς δεχόμεθα. τὸ δὲ πτερῶν προβλήματα τοὺς ὀιστοὺς νόει, ἢ τὸ πτερῶν καὶ διὰ τὴν ἀσπίδα νοητέον τὴν ὥσπερ πτερὸν προσοῦσαν τῷ φέροντι. θ τὰ προβλήματα τῶν πέτρων. [5]

Th 676k ἤτοι τὴν ἀσπίδα ἣν προβαλλόμεθα τοῦ σώματος καὶ δι’ ἧς τοὺς ἐκ πολεμίων ἡμῖν ἐπιόντας λιθασμοὺς δεχόμεθα 〈καὶ〉 ἀποτρεπόμεθα. T μ ή , φίλτα τ ’ ἀνδρῶ ν· ὁ χορὸς ἰδὼν τὸν Ἐτεοκλῆν ὁρμῶντα ἐξελθεῖν πρὸς τὸν πόλεμον, φησὶ πρὸς αὐτόν· ὦ φίλτατ’ ἀνδρῶν, τέκος καὶ τέκνον τοῦ Οἰδίποδος, μὴ γένῃ σὺ ὅμοιος κατὰ τὸν θυμὸν καὶ τὴν ὀργὴν ἀνδρὶ ὀργίλῳ τῷ ὑπὸ σοῦ ἀποδεδιωγμένῳ καὶ ὑβριζομένῳ διὰ τὴν ὀργήν, ἢ μὴ γένῃ ὅμοιος τῷ ἀδελφῷ σου τῷ κακῶς λεγομένῳ καὶ λοιδορουμένῳ καὶ ὀνειδιζομένῳ ὑπὸ σοῦ. [5]

Th 677-678 AB a P 1 PdSjVWXXaYYa τέκος] γέννημα.

Th 677a AbBCHaTY τέκος] τέκνον.

Th 677b ASjYb τέκος] ἤγουν Ἐτεόκλες.

Th 677c YYa ὀργή ν· ὅμοιος τὸν τρόπον, τῷ ἀδελφῷ συμβλασφημούμενος.

Th 677d I 1 ὀργὴν] τὸν τρόπον τῷ ἀδελφῷ σου βλασφημουμένῳ.

Th 677e M ὀργὴν] κατὰ θυμόν.

Th 678a AYa ὁμοῖο ς· ἀρχαϊσμὸς τὸ σχῆμα.

Th 678b I 1 τῷ κάκιστ’ αὐδωμένῳ] τῷ κακῶς λεγομένῳ καὶ λοιδορουμένῳ παρὰ σοῦ.

Th 678c ADYa τῷ κάκιστ’ αὐδωμένῳ] τῷ κακωνύμῳ.

Th 678d θT κάκιστ’] κακίστως.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 678e HHaΞa κάκιστ’] κακῶς.

Th 678f BCV αὐδωμένῳ] ὑπὸ σοῦ.

Th 678g M αὐδωμένῳ] ἤγουν τῷ Πολυνείκει.

Th 678h COPdVXXc αὐδωμένῳ] λεγομένῳ.

Th 678i BCHVΞa αὐδωμένῳ] φημιζομένῳ.

Th 678j AbHaNa αὐδωμένῳ] ὑβριζομένῳ.

Th 678k NaSj αὐδωμένῳ] + τῷ φημιζομένῳ κακῷ.

Th 678l T ἀλ λ ’ ἄνδρα ς· ἀλλ’ ἅλις καὶ αὐτάρκως ἔχει τοὺς Καδμείους, ἤτοι τοὺς Θηβαίους, ἐλθεῖν εἰς χεῖρας τοῖς Ἀργείοις, ἀντὶ τοῦ ἀρκοῦσι καὶ δύνανται οἱ Θηβαῖοι συγκροτῆσαι πόλεμον μετὰ τῶν Ἀργείων.

Th 679-680 AB a CNd P 1 PdSjVWXXaYYa ἄνδρας] + ἐνταῦθα τὸ Καδμείους σύναπτε.

Th 679a T ἄνδρας] ἄνδρας τινὰς Καδμείους.

Th 679b Ξa Καδμείους] Θηβαίους.

Th 679c AH ἅλις] αὐτάρκως ἔχει.

Th 679d ABHHaPQSjVYaΞa ἅλις] ἀρκούντως.

Th 679e AbC ἅλις] ἀρκετόν ἐστιν.

Th 679f θT ἐς χέρας ἐλθεῖν] πολεμίους ἀνελεῖν.

Th 680a M ἐς χεῖρας ἐλθεῖν] ἤτοι πολεμῆσαι.

Th 680b ABCDHPXYa ἐς χεῖρας ἐλθεῖν] εἰς πόλεμον.

Th 680c PPd τὸ ἐς χεῖρας ἦλθε τοῦ δεῖνος ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ λαμβάνεται, τὸ δ’ ἐς χεῖρας ἦλθε τῷ δεῖνι ἀεὶ ἐπὶ κακοῦ.

Th 680d B a ἐς χεῖρας] ἤγουν εἰς μάχην.

Th 680e θT καθαρὸν τὸ αἷμα τῶν ἀλληλοκτονούντων ξένων ἐν πολέμοις, τὸ δ’ ἀδελφοκτονεῖν ἄντικρυς φονέων ἔργον· ὑπερβατὸν δέ ἐστιν, ἵν’ ᾖ· αἷμα γὰρ τοῦτο καθάρσιον οὐκ ἐπιδέχεται, ὅταν ἀδελφοὶ αὐτοκτόνοι γένωνται καὶ οὕτως αὐτῶν ὁ θάνατος γένηται.

Th 680-682a I 1 M αἷμα γὰρ καθάρσιο ν· τοῦτό φησιν ὅτι καθαρόν ἐστι τὸ αἷμα τῶν ἐν πολέμοις ἀλληλοκτονούντων· τὸ δὲ ἀδελφοκτονεῖν ἄντικρυς φονέων ἔργον· ἢ ὅτι αἷμα καθάρσιον ἀντὶ τοῦ πᾶς ἄλλος φόνος καθαίρεται, τὸ αἷμα δὲ τοῦτο καθάρσιον οὐκ ἐπιδέχεται, ὅταν οἱ ἀδελφοὶ αὐτοκτόνοι γένωνται καὶ οὕτως αὐτοῖς ὁ θάνατος γένηται. [5]

Th 680-682b AB a CNdP 1 PdSjVW XXaYYa αἷμα γὰρ καθάρσιο ν· τί δὲ αἰνιττόμενος διὰ τούτου τοῦ λόγου φησίν; ὅτι πᾶς ἄλλος φόνος καθαίρεται· ὁ γὰρ τῶν ἀλλοτρίων καὶ πολεμίων {ἀλλήλων} γινόμενος φόνος κάθαρσιν ἐπιδέχεται, ἡ δὲ μισητὴ ἀδελφοκτονία οὐδέπω καθαίρεται.

Th 680f V αἷμα γὰρ καθάρσιον] πᾶς γὰρ ἄλλος φόνος καθαρτικός.

Th 680g ADX αἷμα γὰρ καθάρσιον] ὁ φόνος καθαρός.

Th 680h AbPPd αἷμα γὰρ καθάρσιον] ὁ τούτων πρὸς ἀλλήλους φόνος ἀνεύθυνός ἐστι καὶ καθαρὸς μιάσματος.

Th 680i θT αἷμα] τῶν ἀλληλοκτονούντων.

Th 680j BH αἷμα] ὁ φόνος τούτων.

Th 680k HaNa κάθαρμα, καθάρσιον καὶ κάθαρσις διαφέρει· καθάρσιον τὸ καθαῖρον, κάθαρσις αὐτὴ ἡ ἐνέργεια τῆς καθάρσεως, κάθαρμα δὲ αὐτὸ τὸ εἰς κάθαρσιν διδόμενον, οἷον λιμοῦ συμβάντος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρ’ Ἕλλησιν ἤ τινος ἄλλου τῶν ἀπευκτῶν, λαμβάνοντες τὸν ἀηδέστατον καὶ παρὰ τῆς φύσεως ἐπιβεβουλευμένον πηρόν, χωλόν, τοὺς τοιούτους, τοῦτον ἔθυον εἰς ἀπαλλαγὴν τοῦ ἐνοχλοῦντος δεινοῦ.

Th 680l ἐνταῦθα δὲ καθάρσιον αἷμα λέγει τὸ καθαρὸν καὶ ἐλεύθερον μιάσματος. θT καθάρσιον] λείπει τό γ ’ οὐκ ἐπιδέχετα ι.

Th 680m X καθάρσιον] καθαρὸς καὶ ἄμεμπτος ὑπάρχει.

Th 680n Ξa ὁμαίμοιν] ἀδελφοῖν.

Th 681a ACT αὐτοκτόνος] αὐτοχειρίᾳ γενόμενος.

Th 681b BHNaPSjYbΞa διαπαντὸς αἰσθήσεται τὸ μίασμα τοῦτο.

Th 682a M οὐκ ἔστι] εὑρεῖν.

Th 682b CXc τέλος, ἀφανισμός.

Th 682c δέον δὲ εἰπεῖν ὡς οὐδέποτε εἰς λήθην ὁ τῶν ἀδελφῶν θάνατος ἔρχεται, ὁ δὲ ποιήσας ἐπανάληψιν πρὸς γενικὴν ἔτρεψεν εἰπών· οὐκ ἔστι γῆρας τοῦδε τοῦ μιάσματος, ἤγουν οὐδέποτε ἐξαλείφεται τοῦ γένους καὶ τῆς πόλεως ἡ τοιαύτη παρανομία. τὸ δὲ ὧ δ ’ αὐτοκτόνος ἀντὶ τοῦ ὑπ’ αὐτῶν τῶν ἀδελφῶν πραχθεὶς ὁ θάνατος καὶ οὐχ ὑπ’ ἄλλων. δέον δὲ εἰπεῖν αὐτοκτόνοιν πρὸς τὸ ἀνδροῖν, αὐτοκτόνος εἶπε πρὸς τὸ θάνατος. ἔστι δὲ οὐκ ἄλλη τις ἡ ἐπανάληψις ἢ τὸ τοῦδ ε· τὰς δὲ τοιαύτας ἐπαναλήψεις καὶ πολλαχοῦ τῶν λογοποιῶν εὕροι τις. θT οὐδέποτε καθαίρεται τὸ μίασμα τόδε.

Th 682d Ξa γῆρας] ἔλλειψις.

Th 682e M πέρας] τέλος.

Th 682f AbBCHaTVYaYbΞa γῆρας] ἤτοι φθορά.

Th 682g PPdX πέρας] γρ(άφεται) καὶ γῆρας ἤγουν ἔλλειψις.

Th 682h Ya μιάσματος] τοῦ ἀδελφοκτονῆσαι.

Th 682i BH μιάσματος] τοῦ φόνου.

Th 682j HaYb μιάσματος] τῆς παρανομίας.

Th 682k LcT εἰ ὅλως τις ἀτυχεῖ, καλὸν τὸ δίχα αἰσχύνης· τοῦτο γὰρ μόνον κέρδος θανόντι τινί, ἡ εὔκλεια καὶ τὸ ἑαυτὸν τυχὸν ἐκδικῆσαι, τὸ δ’ ἄλλως θανεῖν ἀκλεές.

Th 683a I 1 εἴπερ κακὸν φέ ( ρο ι)· εἰ ὅλως τις ἀτυχεῖ, καλὸν τὸ δίχα αἰσχύνης.

Th 683b M εἴπερ ὅλως τις ἀτυχεῖ, καλὸν τὸ δίχα αἰσχύνης τοῦτο παθεῖν.

Th 683c BH PPd ἤγουν εἰ συμβαίη τεθνάναι με ἔξω τοῦ νομισθῆναι, ὡς τὸν ἀδελφὸν δεδιὼς ἐφιλοψύχησα, τουτέστι τὸ χωρὶς αἰσχύνης τεθνάναι.

Th 683d θT φέροι] ὑπομένει.

Th 683e AbBCHNaPXΞa αἰσχύνης ἅτε ρ· τοῦτό φησι τὸ εὐκλεῶς ἀποθανεῖν διὰ τὸ τιμωρῆσαι τοὺς ἐχθρούς.

Th 683f ὁ γὰρ ἀντικρὺ καὶ ἀντιπρόσωπον τῶν πολεμίων ἀνθιστάμενος καὶ ἀντιπολεμούμενος καὶ μὴ ἀντιστρέψας καὶ νῶτα διδοὺς τοῖς ἐχθροῖς, ἐκεῖνος, φημί, τὸν θάνατον ἐπιδέχεται ἐντίμως καὶ εὐκλεῶς καὶ ἀεὶ ἐπαινεῖται καὶ μακαρίζεται. V αἰσχύνης] δειλίας.

Th 683g PPd αἰσχύνης] ἀποθανεῖν δηλονότι.

Th 683h HP ἔστω] λείπει τὸ καλό ν.

Th 684a DPXY μόνον γὰρ κέρδο ς· ἡ εὔκλεια· ἓν κέρδος τὸ αὑτὸν ἐκδικῆσαι ἀδικούμενον· ἐὰν δὲ ἀνεκδίκητος ἀποθάνῃ, ἕνεκά γε τῶν εἰς αὐτὸν γενομένων κακῶν καὶ αἰσχρῶν ἄδοξος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 684-685a M μόνον γὰρ κέρδο ς· ἕν ἐστι κέρδος τῷ τεθνηκότι, τὸ ἑαυτὸν ἐκδικῆσαι ἀδικούμενον καὶ χωρὶς αἰσχύνης καὶ μετ' εὐκλείας θανεῖν· ἐὰν δὲ ἀνεκδίκητος ἀποθάνῃ, ἕνεκά γε τῶν εἰς αὐτὸν γενομένων κακῶν καὶ αἰσχρῶν ἄδοξός ἐστι καὶ ἀκλεής.

Th 684-685b AB a CNdP 1 PdSjVWXXaYYa μόνον γὰρ κέρδος] τὸ εὐκλεῶς ἀποθανεῖν διὰ τὸ τιμωρῆσαι τοὺς ἐχθρούς.

Th 684b ADX μόνον γὰρ κέρδος] τὸ ἀμύνασθαι τὸν λυποῦντα.

Th 684c BCHPPdXc μόνον γὰρ κέρδος] τουτέστι τὸ χωρὶς αἰσχύνης τεθνάναι.

Th 684d NaSjYb μόνον γὰρ κέρδος] τὸ χωρὶς αἰσχύνης ἀποθανεῖν τινα.

Th 684e T κέρδος] εὔκλεια.

Th 684f BHHaPPdY κέρδος] τὸ ἀποκτεῖναι δῆλον τὸν ἐχθρόν.

Th 684g Ξa τεθνηκόσιν] ἀποθανοῦσιν.

Th 684h T ἐὰν δὲ ἀνεκδίκητος ἀποθάνῃ, χάριν τῶν εἰς αὐτὸν γενομένων κακῶν ἄδοξός ἐστιν.

Th 685a ADX κακῶν] δειλῶν.

Th 685b BHMPPdΞa αἰσχρῶν] ἀνδρῶν.

Th 685c CHSjXcYb αἰσχρῶν] ἤγουν τῶν ἀτίμων ἀνθρώπων.

Th 685d Ξa αὐτὰ καθ' ἑαυτὰ οὐκ ἔστι καλά· τὸ δὲ χωρὶς αἰσχύνης ταῦθ' ὑπομένειν, τουτὶ δὲ μόνον ἐν κέρδει.

Th 685e θT εὔκλειαν] δόξαν.

Th 685f AbCTVYaΞa ἐρεῖς] εἴποις.

Th 685g BCSjYb ἐρεῖς] λέγεις.

Th 685h T στίχοι νε'.

Th 685i F pc ἀντισπαστικὰ κῶλα γ'.

Th 686-688a τὰ δύο τρίμετρα βραχυκατάληκτα ὅμοια τοῖς πρὸς αὐτῶν, τὸ δὲ τρίτον ἡμιόλιον, ἔοικε δὲ στροφῇ· ἰσόμετρα δέ εἰσι τοῖς προρρηθεῖσι εἰ καὶ πλείους συλλαβὰς ἔχει. F pc στροφὴ κώλων γ'.

Th 686-688b T ἡμέτερα + ἐκμέμονα ς· τὰ τοιαῦτα εἴδη καλεῖται ὡς εἴρηται (sch.

Th 686-688c Pr. 128) ἀλλοιόστροφα. εἰσὶ δὲ τὰ παρόντα κατὰ σχέσιν· τῆς στροφῆς οὖν ταύτης τὰ κῶλα γ'. τὸ πρῶτον χοριαμβικὸν τρίμετρον ἀκατάληκτον ἐκ χοριάμβου, ἐπιτρίτου τετάρτου καὶ διιάμβου. τὸ β' ὅμοιον ἐκ χοριάμβου, ἀντισπάστου καὶ διιάμβου. τὸ γ' ὅμοιον δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ βακχείου. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ κατὰ τὸ σύνηθες. T τί μέμηνας τέκνο ν· ὁ χορὸς βλέπων τὸν Ἐτεοκλῆν σπεύδοντα πρὸς πόλεμον ἐξελθεῖν, φησὶ πρὸς αὐτόν· τί μέμηνας καὶ ἐμάνης καὶ ὀργίζῃ; μὴ φερέτω καὶ κινείτω σέ τις ἄτα καὶ βλάβη θυμοῦ γέμουσα καὶ πόλεμον μαινομένη· τοῦτο γὰρ τὸ δορίμαργος, ἤτοι τῷ δορὶ ἀφ' οὗ δηλοῖ τὸν πόλεμον μαινομένη. [5]

Th 686-687 AB a CNdP 1 PdSjVWXXaYYa μέμηνας] ἐμάνης.

Th 686a ABYb μέμηνας] ὀργίζῃ.

Th 686b PV μέμηνας] μαίνῃ.

Th 686c HaNa γράφεται καὶ μέμονας καὶ μέμηνα ς· καὶ τὸ μὲν μέμηνας ἀντὶ τοῦ ἐκμαίνῃ, τὸ δὲ μέμονας ἀντὶ τοῦ προθυμῇ ἐπὶ ταύτην τὴν γνώμην καὶ οὐκ ἀφίστασαι· μένος γὰρ ἡ προθυμία.

Th 686d θ + ἐκμέμονας χρὴ γράφειν, οὐχὶ τί μέμηνας ἢ μέμονα ς· οὕτω γὰρ ἔχει μᾶλλον πρὸς τὸ μέτρον ὀρθῶς καὶ πρὸς τὸ τῆς ἀντιστροφῆς κῶλον οἰκείως.

Th 686e

T ἐκμέμονας] μέσος παρακείμενος.

Th 686f T ἐκμέμονας] + ἐκμαίνῃ.

Th 686g T θυμοπληθὴς] θυμοῦ γέμουσα.

Th 686h AVYa θυμοπληθὴς] γεγεμισμένη τοῦ θυμοῦ.

Th 686i CXc θυμοπληθὴς] πλήθουσα θυμοῦ.

Th 686j PPdΞa θυμοπληθὺς] πλήρης θυμοῦ.

Th 686k θT τὸ θυμοπληθὴς σύνθετον ὄνομα ἀπὸ τοῦ πλῆθος καὶ τοῦ θυμὸς ἡ ψυχή.

Th 686l Ξa δορίμαργος] πολεμική.

Th 687a BCHPdXc δορίμαργος] πρὸς πόλεμον ὁρμῶσα καὶ μαινομένη.

Th 687b ADVYa δορίμαργος] πρὸς πολέμησιν ὁρμῶσα.

Th 687c PX δορίμαργος] μανικὴ πρὸς πόλεμον.

Th 687d θT δορίμαργος] καὶ πρὸς πόλεμον ὁρμοῦσα.

Th 687e Ξa ἄτα φερέτω] βλάβη κινείτω.

Th 687f AVYa ἄτα] βλάβη.

Th 687g BCNaY ἄτα] + βλάβη, ἔχθρα.

Th 687h T φερέτω] νικάτω.

Th 687i BH φερέτω] κινείτω.

Th 687j CQT φερέτω] παρακινείτω.

Th 687k NaP κακοῦ—ἔρωτος] τοῦ ἀντιτάξασθαι τῷ ἀδελφῷ σου.

Th 687-688a PPdX κακοῦ—ἔρωτος] ἤγουν τῆς πρὸς τὸν ἀδελφὸν μονομαχίας.

Th 687-688b θT ἔκβαλ'] + ἀπόρριψον.

Th 688a T ἀρχάν] τὴν σὴν ἐξουσίαν.

Th 688b NaPPd ἀρχάν] τὴν ὁρμήν.

Th 688c TY ἀρχάν] τὴν γνώμην, τὴν ὁρμήν.

Th 688d θ ἰαμβικοὶ στίχοι γʹ.

Th 689-691a F pc + κατὰ περικοπὴν ἴαμβοι γʹ, εἶτα παράγραφος.

Th 689-691b T ἐπεὶ τὸ πρᾶγμ α· ἐπεὶ βούλημά ἐστι τοῦ θεοῦ, τοῦ Ἀπόλλωνος, τὸ ἡμᾶς ἀποθανεῖν καὶ αὐτὸς ἐπισπεύδει καὶ βιάζει τοῦτο, ἐλθέτω πρὸς τὸν Ἅιδην ἅπαν τὸ τοῦ Λαΐου γένος, ἤγουν ἡμεῖς οἱ ἀπὸ τοῦ Λαΐου καταγόμενοι.

Th 689-691c ἐλθέτω οὖν, φησί, κατ' εὐθεῖαν τὸ τοῦ Κωκυτοῦ κῦμα— οὗτος δὲ ποταμὸς εἰς Ἅιδου οὗ πορθμεὺς ὁ Χάρων—, ἐπειδὴ πᾶν τὸ τοῦ Λαΐου γένος κεκλήρωται τούτῳ τῷ Ἀπόλλωνι μισηθέν· ἐπεὶ γὰρ ὁ θεὸς καθαρὸς καὶ ἀμίαντος ὢν παρήγγειλε τῷ Λαΐῳ μὴ κοινωνεῖν τῇ γυναικὶ μηδὲ συνουσιάζειν αὐτῇ, οὗτος δὲ παρήκουσεν αὐτοῦ καὶ ἐγένετο ἀνόμως πατήρ, διὰ τοῦτο ἐμίσησεν ἅπαν τὸ γένος αὐτοῦ. ABCDHNdP 1 PdSj VWXXaXcYYa τὸ πρᾶγμα] τὸ ἡμᾶς ἀποθανεῖν. [10]

Th 689a ABDNaPPdXYaΞa τὸ πρᾶγμα] τὸν ἡμέτερον ἀφανισμόν.

Th 689b θT ἐπισπέρχει] σπουδάζει.

Th 689c BFdHP ἐπισπέρχει] κινεῖ.

Th 689d CPPdYΞa ἐπισπέρχει] σπεύδει.

Th 689e NaP ἐπισπέρχει] βιάζει.

Th 689f

Eulogikon public reading copy · View original HTML at eulogikon.org

APPdXc ἐπισπέρχει] ἐπισπεύδει.

Th 689g AθTV θεὸς] ἡ τύχη.

Th 689h DXc θεὸς] ὁ Ἀπόλλων.

Th 689i PYaΞa θεὸς] ἡ τύχη ἢ ὁ Ἀπόλλων.

Th 689j θT ἴτω κα τ ’ οὖρο ν· ἀπίτω καθ’ εὐθεῖαν τοῦ Κωκυτοῦ κῦμα—οὗτος δὲ ποταμὸς εἰς Ἅιδου οὗ πορθμεὺς ὁ Χάρων—, ἐπειδὴ πᾶν τὸ γένος τὸ Λαΐου κεκλήρωται τούτῳ, ὑπὸ τοῦ Ἀπόλλωνος μισηθέν.

Th 690a Ἀπόλλωνος δὲ εἶπεν ἐπειδὴ αὐτὸς μέν ἐστι καθαρὸς καὶ ἀμίαντος καὶ μὴ κοινωνεῖν τῇ γυναικὶ παρήγγειλεν, οὗτοι δὲ {καὶ} παρήκουσαν καὶ συνεγένοντο ἀνόμως. M ἀπίτω, φησί, κατὰ τὸ κῦμα τοῦ Κωκυτοῦ, περιφραστικῶς εἰς τὸν Κωκυτόν, ὅς ἐστι ποταμὸς Ἅιδου οὗ πορθμεὺς ὁ Χάρων, ἐπειδὴ πᾶν τὸ γένος τοῦ Λαΐου κεκλήρωται τούτῳ ὑπὸ τοῦ Ἀπόλλωνος μισηθέν. [5]

Th 690b ἐπειδὴ αὐτὸς μέν ἐστιν καθαρὸς καὶ ἀμίαντος καὶ μὴ κοινωνεῖν τῇ γυναικὶ παρήγγειλεν, οὗτ[οι δὲ παρήκουσαν] καὶ ἐγένοντο ἄνομοι. I 1 ἴτω] οἷον εὐστόχως χειμαζέσθω. [5]

Th 690c M ἴτω] ἐλθέτω.

Th 690d AAbBCHNaTVYa ἴτω] πορευέσθω.

Th 690e PΞa κατ’ οὖρον] κατ’ εὐθεῖαν.

Th 690f ACFdHHaNaPPdQVXcYYa κατ’ οὖρον] καθ’ ὁρμήν, κατ’ εὐθεῖαν.

Th 690g HaRb κατ’ οὖρον] καθ’ ὁρμήν, καθ’ ὁδόν.

Th 690h θT Κωκυτοῦ] οὗτος ποταμὸς Ἅιδου.

Th 690i AXYa Κωκυτοῦ] τοῦ Ἅιδου.

Th 690j PΞa Κωκυτοῦ] ποταμοῦ.

Th 690k OV Κωκυτοῦ] ὄνομα ποταμοῦ.

Th 690l DHa Κωκυτοῦ] ἤγουν ἀπώλειαν καὶ φθοράν.

Th 690m θT λαχὸν] εὑρόν.

Th 690n ABPXYa λαχὸν] κληρονομῆσαν.

Th 690o PPd λαχὸν] κληρωσάμενον.

Th 690p BPθT Φοίβῳ] τῷ Ἀπόλλωνι.

Th 691a APd στυγηθὲν] μισηθέν.

Th 691b AbBCHaSjVXcYaYb Λαΐου γένος] ὡς παραβεβηκότες τὰ ἐκείνου θεσπίσματα.

Th 691c θT ὠμοδακής ς ’ ἄγα ν· ἡ ἄλογος ἄγαν ἐπιθυμία παρορμᾷ ἡ πικρὸν τὸν καρπὸν ἔχουσα εἰς τὸ αὐτοκτονεῖν τοὺς ἄνδρας ἀδίκου ἕνεκεν αἵματος, ἵν’ ᾖ ὅτι μέλλουσιν οἱ ἀδελφοὶ ἀλλήλους ἀναιρεῖν.

Th 692-694a M ὠμοδακής ς ’ ἄγα ν· ἄλογος ἄγαν ἐπιθυμία παρορμᾷ καὶ κινεῖ σε τελεῖν καὶ ποιεῖν ἀνδροκτασίαν πικρὸν καρπὸν καὶ κέρδος ἔχουσαν ἕνεκεν αἵματος καὶ φόνου οὐ δικαίου· τουτέστι ὅτι μέλλουσιν οἱ ἀδελφοὶ ἀλλήλους ἀναιρεῖν.

Th 692-694b ABCDHP 1 PdSjVWXXaYYa + ἀντισπαστικὰ κῶλα γ′ ἰσόμετρα τοῖς ἄνω.

Th 692-694c F pc ἀντιστροφὴ κώλων γ′.

Th 692-694d T ἡμέτερα· + ὠμοδακὴς ἄγα ν· ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχὴ ἐκμέμονας (686).

Th 692-694e

κώλων γάρ ἐστι καὶ αὕτη ὁμοίων ἐκείνῃ τριῶν. τὸ μέντοι πρῶτον κῶλον τὸν δεύτερον ἔχει πόδα διίαμβον. οὕτω γὰρ χρὴ τοῦτο γράφειν ὡς διωρθώθη παρ’ ἡμῶν, ἵν’ οἰκείως ἔχῃ πρὸς τὸ μέτρον. ἐπὶ τῷ τέλει μόνη παράγραφος. T ὠμοδακὴς—ἵμερος] ἄλογος ἐπιθυμία. [5]

Th 692a ABDX ὠμοδακὴς—ἵμερος] θηριώδης θυμός.

Th 692b BH ὠμοδακὴς—ἵμερος] θηριώδης καὶ ἀπηνῶς δάκνων ἤτοι ἄλογος ἐπιθυμία.

Th 692c PPd ὠμοδακὴς] χαλεπῶς καὶ ἀπηνῶς δάκνων.

Th 692d ABX ὠμοδακὴς] ἄλογος.

Th 692e CVXc ὠμοδακὴς] ἀπηνής.

Th 692f CY ὠμοδακὴς] ἀπηνής, ἄγριος.

Th 692g θTΞa ἵμερος] ἐπιθυμία.

Th 692h CHaNaθYaYbΞa θυμὸς] ὀργή.

Th 692i T ἐποτρύνει] κινεῖ.

Th 692j ABP ἐποτρύνει] διεγείρει.

Th 692k AAbPd ἐποτρύνει] παρακινεῖ.

Th 692l CHaNaV ἐποτρύνει] ἐπεγείρει.

Th 692m T πικρόκαρπον] οὗ πικρὸς καρπὸς ἤτοι τέλος· θάνατος γάρ.

Th 693a I 1 πικρόκαρπον] ἤγουν πικρὸν καὶ λυπηρὸν καρπὸν καὶ τέλος ἔχουσαν.

Th 693b ABDΞa πικρόκαρπον] πικρὸν καρπὸν ἔχουσαν.

Th 693c AbCV πικρόκαρπον] τὴν λυπηρὸν τέλος ἔχουσαν.

Th 693d PPdXYYa πικρόκαρπον] πικρὸν κέρδος ἔχουσαν.

Th 693e θT ἀνδροκτασίαν] φόνον ἀνδρός.

Th 693f ABDPPdTXYa ἀνδροκτασίαν] φόνον.

Th 693g AbNa ἀνδροκτασίαν] διαχείρησιν φόνου.

Th 693h θ τελεῖν] ποιεῖν.

Th 693i AAbBDθVYa τελεῖν] πράττειν.

Th 693j ADPX τελεῖν] πληρεῖν.

Th 693k BFdHaPdT τελεῖν] πληρῶσαι.

Th 693l CNaP + οἱ γράφοντες αἵματος οὐ θεμιτοῦ ἀμαθῶς μὲν γράφουσιν, οὐκ ἔξω δὲ λόγου.

Th 694a εὕρηται γὰρ οὐ μόνον βακχεῖος ἐν τῷ διμέτρῳ χοριαμβικῷ κώλῳ, ἀλλὰ καὶ ἀνάπαιστος, πλὴν ἴστωσαν ὡς ἐπειδὴ οὐ μόνον θεμιτὸς εὕρηται, ἀλλὰ καὶ θεμιστὸς καὶ θεμιστεύω καὶ θέμιστες, οὐκ ἔστιν ἀπᾷδον τὸ θεμιστο ῦ, ἀλλὰ καὶ μᾶλλον οἰκεῖον πρὸς τὸ τῆς στροφῆς κῶλον. T αἵματος] φόνου. [5]

Th 694b AAbBDNaQθT οὐ θεμιτοῦ] οὐ δικαίως γινομένου.

Th 694c ADHYa οὐ θεμιτοῦ] οὐ δικαίου.

Th 694d AbBCV οὐ θεμιτοῦ] ἀνοσίου διὰ τὴν συγγένειαν.

Th 694e θT θεμιτοῦ] ἀλλὰ ἀδίκου δῆλον.

Th 694f Ξa θεμιστοῦ] + διὰ τὸ μέτρον.

Th 694g T ἰαμβικοὶ στίχοι γ′.

Th 695-697a F pc + κατὰ περικοπὴν ἴαμβοι γ′, εἶτα παράγραφος.

Th 695-697b T πρὸς μὲν τὸ πατρὸς τὸ φίλου ὡς γεννήσαντα ἐκεῖνον, τὸ δὲ ἐχθρὰ ὡς πρὸς τὴν κατάρ α· καὶ ἔστι τὸ σχῆμα τοῦτο χιαστόν.

Th 695a Ξa φίλου] ἐνταῦθα τὸ πατρό ς.

Th 695b T ἐχθρά] κακή.

Th 695c AbHa ἐχθρά] ἡ μισητή.

Th 695d Ξa γρ(άφεται) τελε ῖ ' ἀρὰ ξηροῖς ἀκλαύτοι ς· δηλοῖ δὲ ὅτι οὐδόλως ἡ ἀρὰ [.

Th 695e .]ένηται ἐπὶ τῷ ἐλπιζομένῳ. μ[...] οὕτως καὶ ἐν τοῖς ἔμπροσθεν (51) οἶκτος οὔτις ἦν διὰ στόμ α, πλὴν ἐκεῖνοι κατέλειβον δάκρυ, οὗτος δὲ καὶ ἀδάκρυτός ἐστιν. I 1 τέλει' ἀρά] γρ(άφεται) τελεῖ ἀρὰ ἀντὶ τοῦ τελειοῦται.

Th 695f P 2 Pd τελεῖ] τελειοῦται.

Th 695g BHaNaX τελεῖ] πληροῖ.

Th 695h BV τελεία] τελεσθῆναι δυναμένη.

Th 695i Ξa ἀρά] κατάρα.

Th 695j CNaTV ἀδακρύτοις, ἀναλγήτοις διὰ τὸ τυφλοὺς εἶναι τοὺς ὀφθαλμοὺς τοῦ Οἰδίποδος καὶ μὴ δυναμένους διὰ τὴν πήρωσιν κατάγειν δάκρυα.

Th 696a B a CD P 3 XX bis Xc ἀκαμπέσι καὶ ἀσυμπαθέσιν ὀφθαλμοῖς προσιζάνει καὶ προσκάθηται καὶ ἐφορᾷ ἡμᾶς καὶ οὐδαμῶς ὑφίεται τῶν κακῶν, ἀλλ' ἐπισπεύδει τὸν ἡμῶν θάνατον.

Th 696b θT ξηροῖς ἀκλαύτοις] τοῖς ἀναλγήτοις καὶ ἀδακρύτοις διὰ τὴν πήρωσιν.

Th 696c PPd ξηροῖς] ἀσυμπαθέσι, ἀναλγήτοις.

Th 696d AbM ξηροῖς] ἀδακρύτοις.

Th 696e ADH ξηροῖς] τυφλοῖς.

Th 696f VY ξηροῖς] ἀσυμπαθέσι.

Th 696g HaNaQ ξηροῖς] ἀκαμπέσι.

Th 696h AbQ ξηροῖς] + ἐκ παραλλήλου.

Th 696i T ξηροῖς] ἀνύδροις, τοῖς ἀδακρύτοις, τοῖς ἀσυμπαθέσι.

Th 696j Ξa ἀκλαύστοις] ἀναλγήτοις.

Th 696k ACDYa ἀκλαύστοις] πολυκλαύστοις.

Th 696l BSjXcYb προσιζάνει] προσκάθηται.

Th 696m ACDOQSjTVXcYb προσιζάνει] κάθηται.

Th 696n BNaPPd προσιζάνει] προσμένει.

Th 696o AD προσιζάνει] ἐπέρχεται.

Th 696p QΞa λέγουσα κέρδο ς· κέρδος μοι ὑποτιθεμένη τὸ προτερῆσαι ἀποκτείναντα ἢ ὑστερῆσαι.

Th 697a I 1 M λέγουσα κέρδο ς· κέρδος μοι ὑποτιθεμένη τὸ προτερῆσαι ἀποκτείναντα ἢ ὑστερῆσαι, ὅτι κρεῖττον τὸ προφθάσαι καὶ ἀναιρῆσαι τὸν πολέμιον ἢ ὕστερον ἀναιρεθῆναι ὑπ' ἐκείνου.

Th 697b ABCDD a HNdP 1 PdSjVW XaYa λέγουσα κέρδο ς· ὑποτιθεμένη ἐμοὶ κερδίσαι τὴν βασιλείαν, ἐὰν προλαβὼν ἀπέλθω κατὰ τοῦ ἀδελφοῦ μου.

Th 697c P 1 PdSj λέγουσα ἡ ἀρὰ κέρδος εἶναι τὸν πρότερον μόρον τοῦ ὑστέρου μόρου.

Th 697d κέρδος γάρ ἐστι εἰ [.....]στερον ὁ πρότερος θάνατος. X λέγουσα] ὑποτιθεμένη ἐμοί.

Th 697e BHNaPPd λέγουσα] ἐνθυμίζουσα.

Th 697f

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ξa κέρδος πρότερον] τὸ φθάσαι καὶ ἀναιρῆσαι πρότερον τὸν πολέμιον ἢ ὕστερον ὑπ’ ἐκείνου ἀναιρεθῆναι.

Th 697g P 2 Pd κέρδος] τὸ νῦν τεθνάναι.

Th 697h θT πρότερον] τοῦ ἀδελφοῦ.

Th 697i BH πρότερον] τὸ ποιῆσαι.

Th 697j BH πρότερον] προτιμώτερον.

Th 697k DNbΞa πρότερον] τιμιώτερον.

Th 697l θT μόρου] θανάτου.

Th 697m PdTYa ἀλλὰ σὺ μὴ ’ποτρύν ( ο υ)· καλῶς γὰρ πράξας οὐ νομισθήσῃ φαῦλος· οὐ γὰρ ἡ τὴν φοβερὰν ἔχουσα αἰγίδα Ἐρινὺς εἰς τὸν οἶκον ἐκείνου εἴσεισιν, οὗ οἱ θεοὶ θυσίας προσδέχονται, ἀντὶ τοῦ καθαρὰς τὰς χεῖρας ἔχοντος.

Th 698-701a M ἀλλὰ σ ύ· ἀλλὰ σὺ μὴ ’ποτρύνου· καλῶς γὰρ καὶ ἐναρέτως ζήσας πρὸς τοὺς θεοὺς καὶ τὸν βίον εὖ διάξας οὐκ ὀνομασθήσῃ φαῦλος, οὐδὲ ἡ τὴν φοβερὰν καὶ μέλαιναν αἰγίδα ἔχουσα Ἐριννὺς εἶσι καὶ εἰσέρχεται ἐπὶ τὸν οἶκον ἐκείνου τοῦ ἀνθρώπου, οὗ ἂν ἐκ τῶν χειρῶν θεοὶ θυσίαν παραδέχωνται, ἀντὶ τοῦ καθαρὰς τὰς χεῖρας ἔχοντος. [5]

Th 698-701b ABCDHNdP 1 PdSjVWXaXcYYa ἀντισπαστικὰ κῶλα δ′.

Th 698-701c τὰ γ′ τρίμετρα βραχυκατάληκτα, τὸ δ′ ἡμιόλιον. ἔοικε δὲ ἑτέρᾳ στροφῇ. F pc στροφὴ ἑτέρα κώλων δ′.

Th 698-701d T ἡμέτερον· + ἀλλὰ σ ύ· ἡ β′ αὕτη στροφὴ κώλων ἐστὶ δ′ χοριαμβικῶν, ὧν τὰ τρία τρίμετρα ἀκατάληκτα ὅμοια τοῖς τῆς α′ στροφῆς, τὸ δὲ δ′ δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές.

Th 698-701e ἐπὶ τῷ τέλει ἡ συνήθης παράγραφος καὶ αἱ διπλαῖ. T ’ποτρύνου] εἰς τὸ πληροῦν τὰ τῆς ἀρᾶς.

Th 698a BH ’ποτρύνου] διεγείρου.

Th 698b BPdYaYb ’ποτρύνου] εἰς μάχην.

Th 698c BH ’ποτρύνου] παρακινοῦ.

Th 698d CLcNb ’ποτρύνου] ὅρμα.

Th 698e θT ’ποτρύνου] κατὰ τοῦ ἀδελφοῦ ὀτρύνου.

Th 698f Ξa εἰ τὸ μετ’ ἀδελφοῦ μάχεσθαι ἐάσεις, οὐκ ἄνομος ἔσῃ, ὅθεν τὴν Ἐριννὺν μὴ δέδιθι· τοὺς γὰρ ἀνόμους αὐτὴ τιμωρεῖται.

Th 698-699a τοῦτο δὲ λέγει ὁ χορὸς ἵνα εἰς φόβον αὐτὸν ἐμβαλὼν τῷ τῆς Ἐριννύος ὀνόματι τῆς ὁρμῆς ἐπισχήσει. θT κακὸς οὐ κεκλήσῃ] οὐ κεκλήσῃ δειλός.

Th 698-699b PPd κακὸς] δειλός.

Th 698g CDFdTXYaYbΞa κακὸς] φαῦλος.

Th 698h B a P κεκλήσῃ] κληθήσῃ.

Th 698i BV κεκλήσῃ] ὀνομασθήσῃ.

Th 698j AAbCOTYaYb κεκλήσῃ] κληθῇς.

Th 698k NaP βίον εὖ κυρήσας] τὴν ζωὴν καλῶς διάξας.

Th 699a APPdX βίον εὖ κυρήσας] ἤγουν καλῶς βιώσας.

Th 699b Ξa βίον] ζωήν.

Th 699c Dθ εὖ κυρήσας] εὐτυχήσας, εὖ πράξας.

Th 699d M εὖ κυρήσας] ἤγουν καλῶς οἰκονομήσας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 699e HaNaT εὖ κυρήσας] εὐτυχήσας.

Th 699f θ κυρήσας] διάξας.

Th 699g BCDHXcYaYbΞa κυρήσας] τελέσας.

Th 699h BDH καλῶς ἡ ἀρὰ πατρὸς καλεῖται Ἐριννὺς παρ’ αὐτοῦ.

Th 699i ἀρὰ μελαναιγὶς διὰ τὸ [......] ἐπέρχεσθαι τοὺς ἁμαρτάνοντας. I 1 μελαναιγὶς] ἡ τὴν μέλαιναν καὶ φοβερὰν αἰγίδα ἔχουσα.

Th 699j ADNaP YaYb μελαναιγὶς] θανατηρά.

Th 699k BH μελαναιγὶς] μέλαιναν αἰγίδα φοροῦσα.

Th 699l CQθT μελαναιγὶς] ἡ μελαίνας καταιγίδας ἐμποιοῦσα.

Th 699m Ξa εἶσι] εἰσέρχεται.

Th 700a ABCPPdVXcY εἶσι] εἰσελεύσεται.

Th 700b θT ἡμέτερον· + οὐ χρὴ πρὸς τὸ εἶσι τὸ δόμον συντάσσειν καὶ σμικρύνειν τὸ μον—οὐ γὰρ ἁρμόζει τῷ μέτρῳ οὕτως—, ἀλλὰ πρὸς τὸ Ἐριννὺς καὶ μεγεθύνειν καὶ συντάσσειν οὕτως· ἡ Ἐριννὺς γὰρ τῶν δόμων ἡ μελαναιγὶς οὐκ εἶσι καὶ ἐπελεύσεταί τινι, ὅταν δέχωνται οἱ θεοὶ θυσίαν ἐκ χειρῶν αὐτοῦ.

Th 700c οὕτω καὶ τὸ ὅταν λέγε, μηδὲ οὗ τ ’ ἂν γράφε· οὐ γὰρ οἰκεῖον τῷ μέτρῳ. T εἶσι] πορεύεται.

Th 700d HΞa κατὰ τῶν δόμων τοῦ ὁσίου ἀνδρός.

Th 700e M δόμον] ἐκείνου τοῦ ἀνθρώπου.

Th 700f PXc δόμον] τὸν σόν.

Th 700g θ Ἐριννὺς] ἡ κατάρα.

Th 700h BHY Ἐριννὺς] + ἡ τῶν οἴκων φθορά, ἤγουν ἡ τοὺς οἴκους φθείρουσα.

Th 700i T Ἐριννὺς γίνεται ἀπὸ τοῦ ἔρρειν τὸ φθείρειν καὶ τοῦ νοῦ ς, ἢ ἀπὸ τοῦ ερι ἐπιτατικοῦ μορίου καὶ τοῦ ἀνύω τὸ τελεῖν.

Th 700j Ξa ὁσίου ἀνδρὸς οὗ οἱ θεοὶ τὰς θυσίας δέχονται.

Th 700k M οὗ] καθαρὰς τὰς χεῖρας ἔχοντος.

Th 700l APPdX οὗ] τοῦ ἀνθρώπου ἐκείνου τοῦ καθαρὰς τὰς χεῖρας ἔχοντος.

Th 700m YaYb οὗ] τοῦ ἀνθρώπου.

Th 700n BCHNa χερῶν] ἁγνῶν δηλονότι.

Th 700o BHNaP οὗ γὰρ ἡ θυσία εὐπρόσδεκτος, οὗτος ἔννομος καὶ θεῶν οὐ δέδιε κόλασιν.

Th 701a θ θεοὶ] συνίζησις.

Th 701b F pc T + ἤγουν ὅταν τις τοῖς θεοῖς θύῃ, οὐ δέδοικε τὰς Ἐρινῦς.

Th 701c T θεοῖς μὲν ἤδ η· τοῖς μὲν θεοῖς, φησί, ἄρτι καταπεφρονήμεθα· ἀγαθοεργία δέ τις ἀφ’ ἡμῶν θαυμάζεται ὀλομένων, ἤτοι ἀποθανόντων ἡμῶν· ὃ δὲ λέγει τοιοῦτόν ἐστι· μετὰ θάνατον αἱ πράξεις τῶν ἀνθρώπων θαυμάζονται· τί οὐχὶ γενναῖόν τι πράξαντες εὐκλεῶς ἀποθανούμεθα τὸν Πολυνείκην ὡς ἀσεβῆ ἀνελόντες, ἀλλὰ κολακεύομεν τὸν θάνατον, καὶ οὐχὶ χωροῦμεν πρὸς αὐτὸν ἀδεῶς; ABCDHNdP 1 PdSj VWXaXcYa εἰπόντος τοῦ χοροῦ ὡς δειλὸς οὐ κεκλήσῃ τὴν οἰκείαν ζωὴν φυλάξας, φησὶν ὡς οὐ δεῖ τὸ ζῆν ἡμᾶς διώκειν· παρωράθημεν γὰρ τοῖς θεοῖς καὶ οὐδεμίαν ἡμῶν φροντίδα ποιοῦνται, πως· λίαν.

Th 702-704b ἀποθανόντων δὲ ἡμῶν γενναίως θαυμάζεται χάρις, τουτέστι τιμὴ μετὰ θάνατον ἡμῖν ἐστι καὶ εὔκλεια. τί οὖν οὐχὶ καὶ ἡμεῖς τὸ ζῆν ἀφέντες ὡς ἀπηχθημένοι θεοῖς ὡς εὐκλεᾶ τὸν θάνατον

μεταδιώξομεν ὑπὲρ τῆς πατρίδος ἀγωνισάμενοι; ἢ οὕτως· ἐπειδὴ τοῖς θεοῖς ἀπηχθήμεθα, θαυμάζεται ἀφ’ ἡμῶν χάρις ὀλομένων, ἤγουν κάλλιστον δοκεῖ ἀπολέσθαι καὶ μὴ δυστυχῶς προσορᾶν τὸν ἥλιον· κατ’ Εὐριπίδην γὰρ τὸ ζῆν μὴ καλῶς μέγας πόνος (Hec. 378). ὅτι δὲ τοῦτο μᾶλλον δοκεῖ ἢ ἐκεῖνο δῆλον ἐκ τοῦ ἐπαγομένου, τί οὖν σαίνοιμεν καὶ κολακεύοιμεν καὶ παρασύροιμεν ὀλέθριον μόρον καὶ οὐ προθυμίᾳ πρὸς τοῦτον χρώμεθα ὡς εὐεργέτην καὶ τῶν κακῶν ἀπαλλαγήν, εἰ καὶ ὀλέθριος δοκεῖ τῷ τῶν ἀδελφῶν αἵματι. θT ἰαμβικοὶ στίχοι γ′.

Th 702-704c F pc + κατὰ περικοπὴν ἴαμβοι γ′, εἶτα παράγραφος.

Th 702-704d Ht πως] παρέλκον.

Th 702a BDH πως] κατά τινα τρόπον.

Th 702b AbCNa πως] ἴσως.

Th 702c PPdΞa τὸ πως ἐνταῦθα ἢ ἀντὶ τοῦ καταπολὺ ἢ ἀντὶ τοῦ κατά τινα τρόπον.

Th 702d θ πως] καταπολύ.

Th 702e θ παρημελήμεθα] καταπεφρονήμεθα.

Th 702f AAbBHHaPPdVYΞa παρημελήμεθα] οὐ φροντιζόμεθα.

Th 702g ADYaYb παρημελήμεθα] παρεωράθημεν.

Th 702h CLcNa παρημελήμεθα] + κατεφρονήθημεν.

Th 702i T χάρις δ ’ ἀ φ ’ ἡμῶ ν· τὴν ἀπώλειαν ἡμῶν ἐν χάριτος μοίρᾳ λαμβάνουσιν· ἢ μετὰ θάνατον ἴσως εὐκλείας τευξόμεθα.

Th 703-704a ἄλλως· μετὰ θάνατον, φησίν, αἱ πράξεις τῶν ἀνθρώπων θαυμάζονται. τί οὖν οὐχὶ γενναῖόν τι δράσαντες ἀποθανούμεθα τὸν Πολυνείκη ὡς ἀσεβῆ ἀνελόντες, ἀλλὰ κολακεύομεν τὸν θάνατον, καὶ οὐχὶ χωροῦμεν πρὸς αὐτόν; M μετὰ θάνατον, φησίν, αἱ πράξεις θαυμάζονται· τί οὖν οὐχὶ γενναῖόν τι πράξαντες ἀποθανούμεθα τὸν Πολυνείκην ὡς ἀσεβῆ ἀνελόντες, ἀλλὰ φύγοιμεν τὸν θάνατον, μὴ χαρισάμενοι τῇ πατρίδι ὡς μετὰ θάνατον ἴσως εὐκλείας τευξόμενοι; I 1 ἀγαθοεργία δέ τις ἡμῶν μετὰ τὸ ἀποθανεῖν ἡμᾶς ἐπαινεῖται.

Th 703a ADX ἀγαθοεργία δέ τις ἡμῶν ἀποθανόντων ἐπαινεῖται.

Th 703b YaYb ἤγουν θαυμαστὸν τὸ ἀπολωλέναι νομίζομεν καὶ ὥσπερ τινὰ λογιζόμεθα χάριν.

Th 703c T χάρις] ἀγαθοεργία.

Th 703d ABCHNaPPdSjX χάρις] ἡ τῶν ἀγαθῶν πρᾶξις.

Th 703e Ξa ὀλομένων] ἀποθανόντων.

Th 703f BNaPYa ὀλομένων] φθαρέντων.

Th 703g HaPdY ὀλομένων] θανόντων.

Th 703h VXc ὀλομένων] φθειρομένων.

Th 703i AbCΞa θαυμάζεται] ἐπαινεῖται.

Th 703j BNaPYa θαυμάζεται] θαυμασθήσεται.

Th 703k AbFbNaPPd ἔτ’] εἰς τὸ ἑξῆς.

Th 704a T τὸν ἀφανιστὴν θάνατον ἐκφύγοιμεν· ἀπὸ μεταφορᾶς τῶν κυνῶν τῶν σαινόντων τὰς οὐρὰς αὐτῶν, οὓς σαινούρους καλοῦσιν.

Th 704b PX σαίνοιμεν καὶ ἐκφύγοιμεν· ἀπὸ μεταφορᾶς τῶν κυνῶν τῶν σαινόντων τὰς οὐρὰς αὐτῶν, ὅτε πρὸς εὐωχίαν οἱ δεσπόται κληθῶσιν· τούτους λέγομεν σαινούρους.

Th 704c V σαίνοιμεν] ἐκφεύγοιμεν.

Th 704d

Eulogikon public reading copy · View original HTML at eulogikon.org

BCHV σαίνοιμεν] κολακεύοιμεν, ἐκφεύγοιμεν τὸν ἀφανιστὴν θάνατον.

Th 704e AD σαίνοιμεν] κολακεύοιμεν.

Th 704f BFdHaNaOPPdSjXcYYaYbΞa σαίνοιμεν] ὥστε ἐκφυγεῖν τὸν θάνατον.

Th 704g YYaYb σαίνοιμεν] κολακεύοιμεν, μεταχειριζόμεθα, παραπετῶμεν.

Th 704h θT σαίνοιμεν] μεταφορικὴ ἡ λέξις ἀπὸ τῶν κυνῶν.

Th 704i Ξa ὀλέθριον] τὸν ἀφανιστήν.

Th 704j PYaYb ὀλέθριον] φθαρτικόν.

Th 704k FbHaNaΞa μόρον] τὸν θάνατον.

Th 704l CHaNaYbΞa νῦν ὅτε σοι παρέστακε ν· νῦν κολακευτέον τὸν θάνατον ὅτε σοι καὶ οὗτος παρέστακε καὶ ἐπῆλθέ σοι, ἐπεὶ ὁ θυμὸς χρόνια καὶ βραδέως ποτὲ ἴσως ἂν ἔλθοι μετηλλαγμένος ἐν ἀνατροπῇ καὶ μεταλλοιώσει τοῦ φρονήματος ἐν θαλερωτέρῳ καὶ ἀσθενεστέρῳ καὶ ἀναπεπτωκότι πνεύματι· νῦν δὲ ἀκμὴν ἀναβράζει ὁ θυμός. [5]

Th 705-708a τοῦτο δὲ λέγει ὅτι· ὑπολαμβάνω ὅτι ἴσως ὀψέ ποτε ἀναπέσῃς καὶ ῥαθυμήσῃς καὶ τὸν θυμὸν καταστείλῃς καὶ οὐ θελήσῃς ἀποθανεῖν. ABCDHNdP 1 PdSjVWXaYYa ἀντισπαστικὰ κῶλα δʹ ἰσόμετρα τοῖς ἄνω τοῦ χοροῦ κώλοις.

Th 705-708b F pc + ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχή· ἀλλὰ σὺ μὴ ʼποτρύνου (698)· καὶ αὕτη γὰρ κώλων ἐστὶν ὁμοίων δʹ· ἐπὶ τῷ τελευταίῳ κώλῳ διπλαῖ δύο ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.

Th 705-708c T [νῦν κολάκευε] τὸν μόρον ὅτε ἐγγύς σοι ἕστακεν.

Th 705a I 1 νῦν] νῦν κολάκευε μᾶλλον τὸν θάνατον ὅτε πλησίον σοῦ ἐστιν.

Th 705b AD νῦν] ἔκφυγε τὸν θάνατον.

Th 705c BHHaNaX νῦν] ἔκφυγε.

Th 705d CHXcΞa νῦν] νῦν κολάκευε τὸν θάνατον ὅτι πλησίον ἐστίν.

Th 705e YaYb νῦν] κολακευτέον τὸν θάνατον.

Th 705f BV νῦν] σαῖνε.

Th 705g θ παρέστακεν] ὁ θάνατος.

Th 705h BHY παρέστακεν] ἐπῆλθε.

Th 705i AbBNaPPdV παρέστακεν] ἐπλησίασεν.

Th 705j AbC παρέστακεν] ὁ μόρος.

Th 705k XcΞa ἴσως ἂν ἔλθῃ τύχη τις ἀγαθὴ χρόνῳ ποτὲ ἀνατρέπουσα τὸ νῦν θράσος καὶ μεταλλάσσουσα καὶ ἐπιπνεύσῃ σοὶ ἠρεμαιοτέρῳ πνεύματι· ὡς νῦν δὲ πάνυ ζεῖ.

Th 705l I 1 ὁ δαίμων ἴσως ἂν ἔλθοι ἐν χαυνοτέρῳ πνεύματι μόλις μεταλλακτὸς ἐν τῇ ἀνατροπῇ τοῦ λήμματος.

Th 705m X δαίμων] ἡ τύχη.

Th 705n BFHHaTX δαίμων] ὁ θυμός.

Th 705o AbDXc δαίμων] ὁ θυμὸς ἢ ἡ τύχη.

Th 705p NaPPdθ τὸ δαίμων ἢ ἐπὶ τῆς τύχης νοητέον ἢ ἐπὶ τοῦ θυμοῦ ὃν κατʼ ἀλλήλων ἄμφω τὼ ἀδελφὼ ἔχουσιν.

Th 705q θ δαίμων] δαίμονα ἐνταῦθα 〈λέγει〉 τὸν θυμὸν ἀπὸ τῆς τύχης γεγονότα.

Th 705r Ξa λήματος] φρονήματος.

Th 706a AAbBCDHNaθTVWΞa λήματος] λογισμοῦ.

Th 706b HaNaPXc λήματος] τοῦ κατὰ σὲ φρονήματος.

Th 706c PPd λήματος] θυμοῦ.

Th 706d CP λήματος] τοῦ φρονήματος, ἀνδρείας.

Th 706e Ξa ἀντροπαίᾳ] ἀλλοιώσει.

Th 706f BH ἀντροπαίᾳ] ἀνατροπῇ.

Th 706g ABDFbHNaPPdVX ἀντροπαίᾳ] μεταλλαγῇ.

Th 706h PXc ἀντροπαίᾳ] μεταλλαγῇ, ἀνατροπῇ.

Th 706i YaYb ἀντροπαίᾳ] μεταβολῇ.

Th 706j CNaθ ἀντροπαίᾳ] + ἡ ἀνατρέπουσα τὰ φρονήματα.

Th 706k T χρονίᾳ] μόλις.

Th 706l BCHPX χρονίᾳ] βραδέως.

Th 706m BQVYaYb χρονίᾳ] χρονίως καὶ βραδέως, ὀψὲ μετηλλαγμένος.

Th 706n AD χρονίᾳ] ποτέ.

Th 706o PdXc χρονίᾳ] μετὰ ταῦτα.

Th 706p θT μεταλλακτὸς] μετηλλαγμένος.

Th 706q BPPdVYaYb μεταλλακτὸς] μεταλλακτὸς Ἀττικόν.

Th 706r BH μεταλλακτὸς] ἐνηλλαγμένος.

Th 706s θ μεταλλακτὸς] + διά τινος χρόνου.

Th 706t T μεταλλακτὸς] ἴσως ἀλλοιωθείη ἄν.

Th 706u Ξa ἴσως] τάχα.

Th 707a ADYaYb ἔλθοι] + ἐλεύσεται.

Th 707b DT θαλερωτέρῳ] χαυνοτέρῳ.

Th 708a ABDHPX θαλερωτέρῳ] ἀσθενεστέρῳ καὶ ἀναπεπτωκότι.

Th 708b ABYaYb θαλερωτέρῳ] ἀσθενεστέρῳ.

Th 708c DPVYΞa θαλερωτέρῳ] ἡσυχωτέρῳ.

Th 708d PPd θαλερωτέρῳ] μαλακωτέρῳ.

Th 708e λέγει δὲ ὡς εἰ μὴ νῦν ἐθελήσεις αὐτὸν ῥῖψαι πρὸς κίνδυνον, τάχα ἂν ἡ τύχη εὐμενέσιν ὑμᾶς προσβλέψῃ τοῖς ὀφθαλμοῖς, εἰ καὶ τὰ μέγιστα νῦν χαλεπαίνει. θT θαλερωτέρῳ] μαλακωτέρῳ.

Th 708f AbFdHaNaRbSjTYb πνεύματι] φυσήματι.

Th 708g DHNaPX πνεύματι] θυμῷ.

Th 708h CV πνεύματι] φρονήματι.

Th 708i NaP πνεύματι] + ὁρμῇ.

Th 708j T ζεῖ] ἀναβράζει ὁ θυμός.

Th 708k BHPPd ζεῖ] καχλάζει.

Th 708l AP ζεῖ] βράζει ὁ δαίμων.

Th 708m CXc ζεῖ] βράζει.

Th 708n AbHaNaQYa ζεῖ] ἐκμαίνεται, ἀκμάζει.

Th 708o

θT ἰαμβικοὶ στίχοι ια′ ἐν ἐκθέσει τῆς διπλῆς.

Th 709-719 F pc + κατὰ περικοπὴν ἴαμβοι γ′, εἶτα παράγραφος.

Th 709-711 T ἐξέζεσαν] σφοδρῶς ἐκινήθησαν.

Th 709a BDPXYaYbΞa ἐξέζεσαν] εἰς ζέσιν τὸν ἐμὸν θυμὸν ἐξήγειραν.

Th 709b BHPPdX ἐξέζεσαν] ἐξανῆψεν αὐτόν.

Th 709c θT κατεύγματα] αἱ ἀραί.

Th 709d AAbDMVXYYaYbΞa κατεύγματα] αἱ κατάραι.

Th 709e BHHaNaθTXc ἀπὸ τοῦ κατεύχομαι τὸ καταρῶμαι, ἀπὸ τούτου γίνονται καὶ τὰ κατεύγματα.

Th 709f Ξa ἄγαν δ ’ ἀληθεῖ ς· ὡς τοῦτο ἐν τοῖς ὕπνοις φαντασθείς, ὅτι δι’ αἵματος αὐτῷ ἔσται ἡ τῶν χρημάτων διανομή.

Th 710-711a I 1 M ἄγαν δ ’ ἀληθεῖ ς· ὡς τοῦτο ἐν τοῖς ὀνείροις ἰδὼν ὁ Ἐτεοκλῆς, ὅτι δι’ αἵματος αὐτοῖς ἔσται ἡ τῶν χρημάτων διανομή.

Th 710-711b ABCDH NdP 1 PdSjVWXaYYaYb οὐ μόνον Οἰδίπους κατηράσατο τοῖς παισὶ σιδήρῳ τὸ δῶμα διαλαχεῖν, ἀλλὰ καὶ Ἐτεοκλῆς ἔννυχον ὄψιν εἶδε τοῦτο φαντάζουσαν.

Th 710-711c θT ἐνυπνίων] τῶν καθ’ ὕπνους φαινομένων.

Th 710a ADHYaYb ἐνυπνίων] + τῶν κατὰ τοὺς ὕπνους φανέντων ἐμοί.

Th 710b T ὄψεις] φαντασίαι.

Th 711a BDHNaPXYa ὄψεις] θεωρίαι.

Th 711b T πατρῴων] τῶν πατρικῶν.

Th 711c AbB χρημάτων] πραγμάτων.

Th 711d AbTV δατήριοι] μερισταί.

Th 711e HMXc δατήριοι] μερίστριαι.

Th 711f AAbBCDHaNaPPdθTYa δατήριοι] μερίστριαι, αἱ δεικνύουσαι τὴν μοιρασίαν τῶν πατρικῶν κτημάτων διὰ ξίφους.

Th 711g X δατήριοι] μεριστικοί.

Th 711h Ξa ἡμέτερον· + πείθου γυναιξ ί· σύστημα κατὰ περικοπὴν ἀμοιβαῖον ἐν ἐκθέσει στίχων ἰαμβικῶν τριμέτρων η′ ὧν τελευταῖος· θεῶν διδόντων οὐκ ἂν ἐκφύγοι κακά (719).

Th 712-719 ἐπὶ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν. T γυναιξὶ] ἤγουν ἡμῖν.

Th 712a T δι’ ἃ εἶπεν ἐν τοῖς ὄπισθεν ὀνειδίζων αὐτόν.

Th 712b I 1 οὐ στέργων] οὐχ ὑπομένων τὸ πείθεσθαι.

Th 712c ABDHPYYa στέργων] ἀποδεχόμενος ταύτας.

Th 712d CNaθT ὅμως] πείθου.

Th 712e LcV ὅμως] πείσθητι.

Th 712f HaNa λέγετέ τινα ἀνυστά· οὐ γὰρ τοῦ παρόντος μεταβληθείην σκοποῦ.

Th 713a I 1 λέγοιτ’] τὰ πράγματα.

Th 713b HHaPX λέγοιτ’] ὑμεῖς.

Th 713c BH λέγοιτ’] εἴπατε.

Th 713d NaPPd λέγοιτ’] ἃ βούλεσθε εἰπεῖν ταχέως εἴπατέ μοι.

Th 713e PPd λέγοιτ’] ἐκεῖνα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 713f BHaPθT λέγοιτ’] λέγετε.

Th 713g Ξa ὧν ἄνη τι ς· ἀνύσιμα καὶ τελεσθῆναι δυνάμενα.

Th 713h M ἄνυτις] τελείωσις.

Th 713i AbBCHHaNaθTVXXc ἄνυτις] πλήρωσις.

Th 713j ADPYa ἄνυτις] τέλος.

Th 713k CR 1 ἄνυτις] οὐ γενήσεται δῆλον.

Th 713l Ξa χρὴ] λέγειν.

Th 713m FdHaPPdQXXc χρὴ] ὑμᾶς.

Th 713n PPdX χρὴ] λέγειν ἤγουν πολυλογεῖν.

Th 713o θT μακράν] περαιτέρω.

Th 713p BH μακράν] λέγειν ὑμᾶς.

Th 713q CYa μακράν] πόρρω λέγειν τοῦ σκόπου.

Th 713r Ξa μὴ ἔλθῃς] μὴ ἔλθῃς, μὴ πορευθῇς.

Th 714a AB μὴ ἔλθῃς] μὴ πορευθῇς.

Th 714b HNaPPdXYa ὁδοὺς] τὰς ἀγούσας.

Th 714c CXc ἐφ’ ἑβδόμαις πύλαις] ἔνθα ὁ Πολυνείκης.

Th 714d AM ἐφ’ ἑβδόμαις πύλαις] ἔνθα ἦν ὁ Πολυνείκης.

Th 714e BPPdXYa τεθηγμένον] ἠγριωμένον.

Th 715a BH τεθηγμένον] παρωτρυνομένον.

Th 715b ADYa τεθηγμένον] ὡρμημένον.

Th 715c NaXXcY τεθηγμένον] διεγηγερμένον, ἠκονημένον.

Th 715d CSjYb τεθηγμένον] ἤγουν ὁρμώμενον οὐκ ἐπίσχοις.

Th 715e AbRb τεθηγμένον] ἤγουν ὡρμημένον καὶ πρὸς τοῦτο παρεσκευασμένον εὐψυχῶς.

Th 715f θT τεθηγμένον] παρωξυμμένον.

Th 715g Ξa οὐκ ἀπαμβλύνεις] οὐ χαλάσεις.

Th 715h AbHaΞa ἀπαμβλύνεις] χαυνώσεις.

Th 715i BHQYa ἀπαμβλύνεις] κωλύσεις.

Th 715j BH ἀπαμβλύνεις] ἐκθηλύνεις καὶ χαυνώσεις.

Th 715k ADX ἀπαμβλύνεις] ἀποστομώσεις.

Th 715l NaP ἀπαμβλύνεις] ἀσθενῆ ποιήσεις.

Th 715m CXc ἀπαμβλύνεις] ὀξέως ἔχοντα πρὸς τὸν πόλεμον οὐκ ἀπαμβλύνεις.

Th 715n X λόγῳ] τῷ σῷ.

Th 715o FbH νίκην γε μέντοι καὶ κακή ν· τοῦτο λέγει ὅτι· ὅρα μὴ τὸν ἀδελφόν σου φονεύσας τιμωρίαν ὑπόσχῃς τοῖς θεοῖς· τὴν γὰρ κακὴν νίκην καὶ τὴν ἀνόμως γινομένην τιμωρεῖται ὁ θεός.

Th 716a ἢ κατ’ ἐρώτησιν ἀναγνωστέον ἀντὶ τοῦ· ἀποδέχεται ὁ θεὸς καὶ τιμᾷ τὴν ἐπὶ κακῷ νίκην; ABCD HNdP 1 PdSjVWXaXcYYa νίκην μέντο ι· ἤγουν τιμωρεῖται. [5]

Th 716b ἢ ἐν ἐρωτήσει ὁ λόγος. I 1 M νίκην] τὴν ἀνόμως γενομένην νίκην.

Th 716c Ξa κακὴν] τὴν κακὴν νίκην.

Th 716d BH κακὴν] ἐπὶ κακῷ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 716e HaNa κακὴν] παράνομον.

Th 716f T τιμᾷ] τιμωρεῖ.

Th 716g BDPPdVY τιμᾷ] τιμωρεῖται.

Th 716h CYa τιμᾷ] ἀποδέχεται.

Th 716i AbBCDHNaθT οὐκ ἄνδ ρ ’ ὁπλί ( τη ν)· ἐμὲ ὁπλίτην ὄντα οὐ χρὴ στέργειν τὸ ὑμέτερον ἔπος· οὐ χρὴ γὰρ ζητεῖν περὶ ἀγαθῆς ἢ κακῆς νίκης.

Th 717a M ἐμὲ ὡπλισμένον ὄντα καὶ ἑτοιμασμένον πρὸς τὸ πολεμῆσαι τῷ ἀδελφῷ οὐχὶ ὁ ὑμέτερος ἀνακόψει λόγος.

Th 717b καὶ ἄλλως· οὐ δεῖ ζητεῖν περὶ ἀγαθῆς ἢ κακῆς νίκης. I 1 οὐκ ἄνδ ρ ’ ὁπλίτη ν· οὐχὶ χρὴ καὶ πρέπει ἐμὲ στέργειν καὶ ἀγαπᾶν τὸ ὑμέτερον λόγιον στρατιώτην ὄντα καὶ σπεύδοντα τιμωρήσασθαι τὸν ἐχθρόν.

Th 717c AP 1 PdSjVWXaYYa οὐκ ἄνδρ’ ὁπλίτην] οὐ χρή, φησί, ζητεῖν περὶ ἀγαθῆς καὶ κακῆς νίκης.

Th 717d PPdX ὁπλίτην] στρατιώτην.

Th 717e BCHV ὁπλίτην] στρατιώτην ὄντα ἐμέ.

Th 717f ADYa ὁπλίτην] στρατηγόν.

Th 717g T στέργειν] ἀποδέχεσθαι.

Th 717h θT ἔπος] τὸ λόγιον.

Th 717i AAbC ἔπος] ὅπερ λέγεις σύ.

Th 717j AbP ἔπος] τὸ ὑμέτερον.

Th 717k PPd ἔπος] λόγον.

Th 717l T ἀλλ’] ἀλλὰ σφάξαι θέλεις τὸν ἀδελφόν σου.

Th 718a ADHPPdXYa αὐτάδελφον] ἀδελφικόν.

Th 718b BHHaNaTΞa δρέψασθαι] τρυγῆσαι.

Th 718c ABDHTYaΞa δρέψασθαι] θερίσαι.

Th 718d CPPdY δρέψασθαι εἶπε διότι, ὥσπερ τὰ ἄνθη εἰσὶν ἐν τῷ ἐαρινῷ καιρῷ εἰς τὰ δένδρα, οὕτω καὶ τὸ αἷμα ἐν τῷ ἀνθρωπίνῳ σώματι.

Th 718e P 1 PdSj δρέψασθαι] λαβεῖν.

Th 718f AbHaNaθTXc διδόντων] παρεχόντων τοῦτο καὶ θελόντων.

Th 719a ADX διδόντων] παρεχόντων.

Th 719b AbH διδόντων] τοῦτο.

Th 719c T διδόντων] καὶ συνεργούντων.

Th 719d Ξa ἐκφύγοι] ὁ ἀδελφός μου.

Th 719e NaPθT ἐκφύγοι] ἐκεῖνος δῆλον.

Th 719f AbΞa κατὰ σιωπώμενον ὑπανεχώρησεν ὁ Ἐτεοκλῆς καὶ ὁ ἄγγελος.

Th 719g D οὗτος ὁ χορὸς συνέστηκεν ἐκ κώλων οβ′ ὧν τὰ πρῶτα ιδ′ ἀναπαιστικά· τὰ μὲν δίμετρα βραχυκατάληκτα, τὰ δὲ ἀκατάληκτα, τὰ δὲ καταληκτικά, ἤτοι ἑφθημιμερῆ.

Th 720-791 τὰ δὲ ἑξῆς πάντα χοριαμβικὰ καὶ ἀντισπαστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ καὶ ἡμιόλια καὶ τρίμετρα βραχυκατάληκτα. F pc στροφὴ κώλων ζ′. [5]

Th 720-726a T ἡμέτερα· + πέφρικα τὰν ὀλεσίοικο ν· τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται.

Th 720-726b εἰσὶ δὲ τὰ παρόντα στροφῶν ε′. τῆς πρώτης στροφῆς τὰ κῶλα ζ′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α′ περίοδος ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς συζυγίας· ἡ μέντοι τροχαϊκὴ συζυγία τρίβραχυν ἔχει τὸν πρῶτον πόδα, ἤτοι χορεῖον· εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον ὑπερκατάληκτον ἐκ διιάμβου, παίωνος τετάρτου ἀντὶ ἰωνικοῦ καὶ συλλαβῆς. τὸ β′ ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ ἀπ’ ἐλάττονος καὶ τροχαϊκῆς συζυγίας ἢ ἐπιτρίτου δευτέρου· εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερὲς τοῦ πρώτου ποδὸς ἀναπαίστου. τὸ γ′ ἰωνικὸν καθαρὸν ἀπ’ ἐλάττονος ἐξ ἰωνικῶν δύο. τὸ δ′ τροχαϊκὸν καθαρὸν δίμετρον ἀκατάληκτον· δύναται δὲ εἶναι καὶ ἰωνικὸν ὅμοιον τῷ γ′ ἐξ ἰωνικοῦ ἀπ’ ἐλάττονος διὰ τὴν κοινὴν συλλαβὴν καὶ διτροχαίου. τὸ ε′ ὅμοιον κατὰ πάντα τῷ γ′. τὸ ς′ ὅμοιον ἰωνικὸν τρίμετρον καταληκτικὸν ἐκ δύο ἰωνικῶν ἀπ’ ἐλάττονος καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. τὸ ζ′ προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἐκ χοριάμβου, παίωνος τρίτου ἀντὶ ἰωνικοῦ ἀπ’ ἐλάττονος, καὶ σπονδείου. ἐπὶ τῷ τέλει ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. T πέφρικα τὸν ὀλεσίοικον θεόν, τὴν Ἐριννὺν τὴν τοὺς οἴκους φθείρουσαν, τὴν οὐχ ὁμοίαν θεοῖς —πᾶς γὰρ θεὸς ἀγαθοποιός ἐστιν, αὕτη δὲ κακοποιός, καὶ οὐδὲ μετὰ τῶν θεῶν συνδιάγει—, τὴν ἐπὶ κακοῖς ἀληθεύουσαν—ἃ γὰρ εἶπε νύκτωρ ταῦτα καὶ ἐγένετο—, τὴν εὐκταίαν πατρός, ἣν ὁ Οἰδίπους ἐπηύξατο τοῖς ἑαυτοῦ παισί, πέφρικα ταύτην καὶ φοβοῦμαι τελέσαι καὶ εἰς τέλος ἀγαγεῖν καὶ πληρῶσαι τὰς ὀργίλους κατάρας τοῦ Οἰδίποδος τοῦ βλαβέντος κατὰ φρόνησιν διὰ τὸ παρανόμως συνελθεῖν τῇ μητρί. [5]

Th 720-725 ABCDHNdP 1 PdSjVWXaXcYYa φοβοῦμαι τὴν εὐκταίαν Ἐριννὺν τοῦ πατρός, τὴν κακόμαντιν, τὴν φθαρτικὴν θεόν, τὴν οὐχὶ ὁμοίαν τοῖς θεοῖς· ἃ γὰρ κατὰ τὴν νύκτα παρεκελεύσατο, γεγόνασι παναληθῆ.

Th 720-721a X πέφρικα τὰν ὠλε ( σίοικο ν)· δέδοικα τὴν τοὺς οἴκους ἀφανίζουσαν θεὸν Ἐρινύν, οὐδὲν ἔχουσαν θεοῖς ὅμοιον· πᾶς γὰρ θεὸς ἀγαθοποιός.

Th 720-721b M δέδοικα τὴν τοὺς οἴκους ἀφανίζουσαν θεὸν Ἐρινὺν οὐδὲν ὅμοιον ἔχουσαν θεοῖς· πᾶς γὰρ θεὸς ἀγαθοποιός, ὅθεν καὶ Ὅμηρος (θ 325)· θεοὶ δωτῆρες ἑάω ν.

Th 720-721c τὸ δὲ ἀκόλουθον οὕτως· [πέφρικα τὰν ὀλεσίοικον] θεὸν κακόμαντιν Ἐρινύν, τὴν ἐπὶ κακοῖς ἀληθεύουσαν. I 1 πέφρικα] φοβοῦμαι.

Th 720a AAbBCFbHNaPPdTXYa πέφρικα] πτοοῦμαι.

Th 720b AH τὰν ὀλεσίοικον] τὴν φθείρουσαν τοὺς οἴκους.

Th 720c AbBCHaPPdθT XcYaΞa τὰν] τὴν τύχην.

Th 720d NaP ὥσπερ ἀπὸ τοῦ παύσω παυσίκακος, οὕτως καὶ ἀπὸ τοῦ ὀλέσω ὀλεσίοικος.

Th 721a Ξa θεὸν] τὴν Ἐριννύν.

Th 721b BHNaPVYa οὐ θεοῖς ὁμοίαν] θεοὶ γὰρ δωτῆρες ἑάων (Hom.

Th 721c θ 325). MP οὐ θεοῖς ὁμοίαν] τὴν οὐχ ὁμοίαν τοῖς θεοῖς.

Th 721d BV οὐ θεοῖς ὁμοίαν] οἱ γὰρ θεοὶ εὖ ποιοῦσιν, αὕτη δὲ κακοποιεῖ.

Th 721e θT ἃ—γέγονε] οὐκ ἦν ταῦτα ἐν ἑτέροις.

Th 721f F pc + οἱ προστιθέντες ἐνταῦθα τὸ ἃ γὰρ νύκτωρ παρεκελεύσατο καὶ γέγονεν ἀμαθεῖς εἰσι τῶν μέτρων· διὸ περιττὸν ὂν ἐξεβλήθη παρ’ ἐμοῦ.

Th 721g ἀλλὰ καὶ τὸ ς′ κῶλον οὕτω χρὴ γράφειν ὡς διωρθώθη παρ’ ἡμῶν κατάρας Οἰδιπόδα βλαψίφρονος, ἵν’ οἰκείως ἔχῃ πρὸς τὸ τῆς ἀντιστροφῆς κῶλον. T ἃ] ἃ γὰρ καθ’ ὕπνους εἶπε ταῦτα τελεῖται. [5]

Th 721h DH νύκτωρ] ἐν φαντασίαις.

Th 721i BH νύκτωρ] κρυφίως.

Th 721j NaPPdR 1 XΞa νύκτωρ] κατὰ τὴν νύκτα.

Th 721k AbBCFdVYa νύκτωρ] ἀφανῶς.

Th 721l XcY παρεκελεύσατο] εἶπε.

Th 721m AbBPΞa παρεκελεύσατο] ταῦτα.

Th 721n BP παρεκελεύσατο] ἐδήλωσε τῷ Ἐτεοκλεῖ.

Th 721o θ γέγονε] ἐκεῖνα δῆλον.

Th 721p Ξa παναληθῆ κακόμα ( ντι ν)· τὴν ἐπὶ κακοῖς ἀληθεύουσαν· ἃ γὰρ εἶπεν νύκτωρ ταῦτα ἐγένετο.

Th 722a M παναληθῆ] τὴν ἐπὶ κακοῖς ἀληθεύουσαν.

Th 722b ABDHPVYa παναληθῆ] τὴν κακὰ τοῖς ἀνθρώποις μαντευομένην.

Th 722c θT ἣν ἐπηύξατο Οἰδίπους τελέσαι τὰς ἀράς.

Th 723a M πατρὸς εὐκταίαν] ἣν ἐπηύξατο τοῖς παισίν.

Th 723b APXYa πατρὸς] τοῦ Οἰδίποδος.

Th 723c AT εὐκταίαν] τὴν μισητήν.

Th 723d HYYa εὐκταίαν] τὴν καταράσιμον.

Th 723e CP εὐκταίαν] τὴν ἐξ ἀρᾶς κινηθεῖσαν.

Th 723f θT τελέσαι] πληρῶσαι.

Th 724a AAbDHTYa τελέσαι] πέφρικα ὥστε μή.

Th 724b BXc τελέσαι] εἰς τέλος ἀγαγεῖν.

Th 724c BP τελέσαι] ἐκπληρῶσαι.

Th 724d PPd τὰς περιθύμους] ὀργίλους.

Th 724e BHV τὰς περιθύμους] τὰς ὀργίλους καὶ μανικάς.

Th 724f ADHYa τὰς περιθύμους] τὰς ὀργίλους ἢ τὰς περὶ τὸν θυμὸν οὔσας ἀγαπητάς.

Th 724g PPd τὰς περιθύμους] τὰς ἐκ πλείστου θυμοῦ γενομένας.

Th 724h θT τὰς περιθύμους] ὀργίλας, τὰς ἐκ ψυχῆς ῥηθείσας.

Th 724i Ξa βλαψίφρονος] τοῦ τὰς φρένας βεβλαμμένου.

Th 725a ABDYa βλαψίφρονος] φρενοβλαβοῦς.

Th 725b FbR 1 TV βλαψίφρονος] τοῦ φρενοβλαβοῦς ἢ ὅτι τοὺς παῖδας κατηράσατο ἢ ὅτι τοὺς ἑαυτοῦ ὀφθαλμοὺς ἐξέκοψε.

Th 725c B a P 2a Pd βλαψίφρονος] βεβλαμμένου τὰς φρένας· οὐ γὰρ ἂν ἠράσατο τοῖς παισίν.

Th 725d θT παιδολέτωρ δ ’ Ἔρι ς· ταῦτα παρορμᾷ· δῆλον δὲ ὅτι ἐν ταῖς αἰχμαλωσίαις τὰ παιδία ἀναιρεῖται.

Th 726a ὑποκοριστικῶς δὲ τὴν Ἐρινὺν Ἔριν εἶπεν. M ὑποκοριστικῶς Ἔριν εἶπε τὴν Ἐρινύν.

Th 726b I 1 παιδολέτωρ δ ’ ἔρι ς· ὑποκοριστικῶς τὴν Ἐριννὺν Ἔριν εἶπεν· ἡ Ἐριννὺς αὕτη, φησί, ταῦτα παρορμᾷ.

Th 726c δῆλον δὲ ὅτι ἐν ταῖς αἰχμαλωσίαις τὰ παιδία ἀναιρεῖται. P 1 PdSj ἡ δὲ σύνταξις οὕτως· ἡ δὲ Ἐριννὺς ἡ παιδολέτωρ ὀτρύνει τὴν κακόμαντιν πατρὸς εὐκταίαν Ἐριννὺν εἰς τὸ πληρῶσαι τὰς τοῦ Οἰδίποδος κατάρας.

Th 726d

W 1 W 2 Xa ἤδε ἡ ἔρις ἡ παιδολέτωρ διεγείρει ὥστε τελέσαι τὰς περιθύμους κατάρας τοῦ βλαψίφρονος Οἰδίποδος.

Th 726e X παιδολέτωρ] ἡ τοὺς παῖδας φθείρουσα.

Th 726f AAbCDHLcNaPYaYb παιδολέτωρ] ἡ τοὺς παῖδας τούτους ὀλοῦσα.

Th 726g TV ἔρις] φιλονεικία.

Th 726h BH ὀτρύνει] διεγείρει.

Th 726i ACHYb ὀτρύνει] βιάζει πληρωθῆναι αὐτάς.

Th 726j PPd ὀτρύνει] διεγείρει τὴν Ἐριννύν.

Th 726k AbHaNaRb ὀτρύνει] ἐκμαίνει, διεγείρει τοὺς ἀδελφοὺς κατ' ἀλλήλων.

Th 726l θT ξένος δὲ κλήροις ἐπινωμ ᾷ· ποιητικῶς πάνυ ταῦτα ὁ Αἰσχύλος· τὸν γὰρ Χαλυβικὸν καὶ Σκυθικὸν σίδηρον φησὶ ταῦτα πράττειν· σεσωματοποίηκεν γὰρ τὸν σίδηρον, ὅν φησιν οὕτως ταῦτα κινεῖν κατὰ τῶν παίδων τῶν τὰ χρήματα δάσασθαι βουλομένων καὶ διὰ ταῦτα πολεμούντων.

Th 727-739 οὗτος οὖν, φησίν, μερίζει τοῖς παισὶ τούτοις καὶ ὥσπερ ἀποκληροῖ οὐχὶ πεδία μεγάλα, ἀλλὰ παντελῶς μικρά, δυνάμενα μόνα αὐτῶν τὰ σώματα χωρῆσαι πεπτωκότα. ὅταν μέντοι αὐτοὺς κτάνωσι καὶ ἡ πατρῴα αὐτῶν κόνις πίῃ τὸ αἷμα, τίς ἂν τὸ μύσος αὐτῶν ἀποκαθάρῃ; ἢ ὅταν ὁ ἕτερος ἀποκτείνας αὐτὸς ζήσῃ, τίς αὐτὸν καθάρῃ τοῦ μύσους; ἐάν, φησίν, ἡ πατρία γῆ πίῃ τὸ αὐτῶν αἷμα. ἔνθεν καὶ αὐτόχθονάς φαμεν. I 1 M ξένος δὲ κλήροι ς· ποιητικῶς ταῦτα ὁ Αἰσχύλος φησίν· τὸν γὰρ Χαλυβικὸν καὶ Σκυθικὸν λέγει πράττειν ταῦτα. [10]

Th 727-733a ἐσωματοποίησε γὰρ τὸν σίδηρον, ὅν φησιν οὕτω ταῦτα κινεῖν κατὰ τῶν παίδων τῶν τὰ χρήματα μερίσαι βουλομένων καὶ διὰ ταῦτα πολεμούντων. οὗτος οὖν ὁ σίδηρος Χάλυβος Σκυθῶν ἄποικος, ὁ ἀπὸ τῆς Χάλυβος πόλεως τῶν Σκυθῶν ἥκων καὶ ἐρχόμενος εἰς ἡμᾶς, ὁ πικρὸς καὶ ἀπηνὴς χρηματοδαίτης τῶν κτεάνων, ἤγουν ὁ μοιραστὴς τῶν χρημάτων, μερίζει τοῖς παισὶ τούτοις τῷ Ἐτεοκλεῖ καὶ τῷ Πολυνείκει καὶ ὥσπερ ἀποκληροῖ οὐχὶ χώρας πολλὰς καὶ μεγάλας, ἀλλὰ γῆν ὅσην δυναμένην χωρῆσαι μόνα τὰ σώματα αὐτῶν πεπτωκότα. τοῦτο γάρ ἐστι τὸ χθόνα ναίειν διαπήλας ἀντὶ τοῦ τάφου μοῖραν ἀπομοιράσας αὐτοῖς καὶ ἀφορίσας κατοικεῖν γῆν τοσαύτην ὁπόσην καὶ τοῖς νεκροῖς ἔξεστι κατέχειν. ABCDHNdP 1—2 PdSjVW XaYYa ὁ ξένος δὲ Χάλυβος, τῶν Σκυθῶν ὁ ἄποικος, ὁ χρηματοδαίτης τῶν κτεάνων, ὁ πικρὸς ἀπηνὴς σίδηρος ἐπινωμᾷ ἐν τοῖς κλήροις, διαμοιράσας ναίειν χθόνα ὁπόσην ἂν κατέχειν καὶ τοῖς νεκροῖς, ἀμετόχους δὲ τῶν μεγάλων πεδίων. [10]

Th 727-733b ἄποικον δὲ λέγει τῶν Θηβῶν τὸν σίδηρον καὶ καλῶς εἶπε διότι ὁ σίδηρος ἐν τῇ Σκυθίᾳ ἦν. X ἀντιστροφὴ κώλων ζ'. [5]

Th 727-733c T ξένος] ὁ σίδηρος.

Th 727a DHHaNaVYaYb ξένος] φίλος.

Th 727b CFb ξένος] + ἀλλότριος.

Th 727c T κλήρους] ἤγουν τὴν εἰς κλῆρον αὐτοῖς καταλειφθεῖσαν γῆν.

Th 727d θ [ἡμέτερον]· + κλῆρον γράφε, ἵν' οἰκεῖον ᾖ τῷ μέτρῳ, μὴ κλήρους μεγεθύνων καὶ τὸ ἐπινωμ ᾷ.

Th 727e T ἐπινωμᾷ] διεγείρει, μερίζει.

Th 727f BH ἐπινωμᾷ] κινεῖ.

Th 727g BV ἐπινωμᾷ] κινεῖται.

Th 727h HM 2 Y ἐπινωμᾷ] μερίζει, ἀποκληροῖ.

Th 727i

ADYa ἐπινωμᾷ] μερίζει.
Th 727j AbHaNaPPdR 1 Ξa ἐπινωμᾷ] διαμερίζει.
Th 727k CXc ἐπινωμᾷ] ἐπιμερίζει.
Th 727l θ ἐπινωμᾷ] + πάλλει, κινεῖ.
Th 727m T Χάλυβος] πόλεως Σκυθικῆς.
Th 728a AYa Χάλυβος] ἀπὸ τῆς Χάλυβος πόλεως Σκυθῶν.
Th 728b PPd Χάλυβος] τοῦ τόπου.
Th 728c AbRb ἐπειδήπερ εἰς τοὺς Χάλυβας εὕρηται ὁ σίδηρος, οἱ δὲ Χάλυβες μέρος τῶν Σκυθῶν—ἐντεῦθεν δὲ πανταχόσε τῆς γῆς μετενήνεκται—, διὰ τοῦτο καλεῖ αὐτὸν ξένον, ἤτοι φίλον, τοῦ Χάλυβος καὶ ἄποικον τῶν Σκυθῶν.
Th 728d δέον δὲ εἰπεῖν Χαλύβων, Χάλυβος εἶπεν. θT Χάλυβος] τοῦ ἔθνους.
Th 728e FbT ἄποικος] ὁ ἀπ' ἐκείνων ἥκων εἰς ἡμᾶς.
Th 728f APYb ἄποικος] ὁ ἀπὸ τῶν Σκυθῶν μετοικίσας εἰς τὴν Ἑλληνίδα γῆν.
Th 728g Ξa κτεάνων] κτημάτων.
Th 729a DHaNaPXcYa κτεάνων] χρημάτων.
Th 729b ABNbPQR 1 RbVW κτεάνων] τῶν τοῦ Οἰδίποδος κτημάτων.
Th 729c θT χρηματοδαίτης] μεριστής.
Th 729d BHHaNaPR 1 θTXXcY χρηματοδαίτης] μοιραστής.
Th 729e ACD χρηματοδαίτης] χρημάτων μεριστής.
Th 729f PdVYaΞa πικρὸς] ἀπηνής.
Th 730a CLcV ὠμόφρων] ἀπηνής.
Th 730b AbHaNaPTYb χθόνα ναίειν] ἀντὶ τοῦ τάφου μοῖραν ἀπομερίσας αὐτοῖς.
Th 731a NaP χθόνα] γῆν.
Th 731b ABVXc ναίειν] κατοικεῖν.
Th 731c ABCHaNa ναίειν] οἰκεῖν.
Th 731d HPdTV ναίειν] αὐτούς.
Th 731e θT τάφου μοῖραν ἀπομερίσας αὐτοῖς.
Th 731f M διαπήλας] κινήσας.
Th 731g BHXY διαπήλας] ἀπομοιράσας, διακόψας.
Th 731h ADX διαπήλας] διαμερίσας.
Th 731i BCNbR 1 Xc διαπήλας] ἀπομοιράσας.
Th 731j PPd διαπήλας] διαμοιράσας.
Th 731k VY διαπήλας] διὰ κλήρου δούς.
Th 731l θT διαπήλας] διακληρώσας.
Th 731m NaHaΞa δέον εἰπεῖν ὁπόση καὶ φθιμένοισιν, ὁπόσην εἶπε πρὸς τὴν ὄπισθεν αἰτιατικήν.
Th 732a μὴ οὖν λάμβανε ἔξωθεν τὸ εἰκός, ὥς τινες, ἀλλ' οὕτως λέγε· ὁπόσην ἔστι δηλονότι καὶ τοῖς φθιμένοισι κατέχειν. θT ὁπόσην] εἰκός.
Th 732b AbC φθιμένοισι] τοῖς νεκροῖς.
Th 732c ABCDHHaLcNaPPdVXΞa φθιμένοισι] τοῖς ἀποθανοῦσι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 732d θTXc κατέχειν] ἔξεστιν.

Th 732e ABDFbHNaPR 1 Ξa τῶν μεγάλων πεδίων ἀμοίρους] ἤτοι μέλλουσιν ἀποτυχεῖν τῆς βασιλείας.

Th 733a BH τῶν μεγάλων πεδίων] τῶν πολλῶν τόπων.

Th 733b NaPPd τῶν μεγάλων πεδίων] τῆς πολλῆς γῆς.

Th 733c SjYb τῶν μεγάλων πεδίων] + ἤγουν τῆς πολλῆς γῆς ἣν ἡ ἀρχὴ αὐτῶν περιέχει.

Th 733d T πεδίων] τῆς Βοιωτίας.

Th 733e AbHaNaRaRb ἀμοίρους] ἀμετόχους.

Th 733f ABCDSjVXYbΞa ἀμοίρους] ἤγουν τῆς βασιλείας στερηθέντας.

Th 733g NaPPd ἀμοίρους] ποιήσας.

Th 733h BDSjYYaYbΞa ἀμοίρους] κοινὴ συλλαβὴ τὸ μοι διὰ τὸ ρ.

Th 733i F pc ἀμοίρους] + ἀμετόχους· σύναπτε δὲ πρὸς τὸ ναίει ν.

Th 733j T στροφὴ ἑτέρα κώλων η′.

Th 734-741a T ἡμέτερον· + ἐπειδὰν αὐτοκτόνω ς· τῆς δευτέρας ταύτης στροφῆς τὰ κῶλα η′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα.

Th 734-741b τὸ α′ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς ὃ καλεῖται Φερεκράτειον, ἐκ διιάμβου καὶ κρητικοῦ, ἤτοι ἀμφιμάκρου· εἰ δὲ βούλει, περίοδος καταληκτικὴ ἐξ ἰαμβικῆς συζυγίας καὶ τροχαϊκῆς καταληκτικῆς. τὸ β′ χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ διτροχαίου· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς πεντασύλλαβον ἔχει τὸν πρῶτον πόδα. τὸ γ′ ὅμοιον ἐκ χοριάμβου καὶ διιάμβου· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἐπίτριτον τρίτον ἔχει τὸν πρῶτον πόδα. τὸ δ′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου, διτροχαίου καὶ συλλαβῆς. τὸ ε′ ὅμοιον τῷ πρώτῳ κατὰ πάντα. τὸ ς′ ὅμοιον ἀντισπαστικὸν ἡμιόλιον ἐκ διιάμβου καὶ τροχαίου. τὸ ζ′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ η′ ἰαμβικὸν ὅμοιον, ἤτοι δίμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. T ἐπειδὰν αὐτοὶ κτάνωσι ν· ὅταν μὲν οὖν αὐτοὶ ἑαυτοὺς φονεύσωσι καὶ θάνωσιν, αὐτοὶ ἑαυτοὺς διακόψαντες, καὶ ἡ πατρῴα γῆ πίῃ τὸ ἐκ τοῦ φόνου αὐτῶν κενωθὲν μέλαν αἷμα, τίς ἂν κάθαρσιν αὐτοῖς παράσχοι; τίς ἂν αὐτοὺς λούσειεν ὡς νόμος ποιεῖν νεκρούς; ABDHP 1 PdSj VWXaXcYYaYb αὐτοὶ ἑαυτοὺς φονεύσαντες, τῷ ἑαυτῶν σιδήρῳ ἑαυτοὺς τρώσαντες. [5]

Th 734a M κτάνωσιν] φονεύσωσιν.

Th 734b ABV κτάνωσιν] ἑαυτούς.

Th 734c ABDVΞa κτάνωσιν] ἀποθάνωσιν.

Th 734d CYa αὐτοκτόνως] ἀλληλοφόνως.

Th 734e θT αὐτοδάικτοι] αὐτοὶ ἑαυτοὺς διακόψαντες.

Th 735a APVYa αὐτοδάικτοι] αὐτοφόνευτοι.

Th 735b CXc αὐτοδάικτοι] αὐτοσφαγεῖς.

Th 735c θT αὐτοδάικτοι] αὐτοδαΐκτως.

Th 735d Ξa χθονία κόνις] ἡ γῆ.

Th 736a AbC χθονία κόνις] + ἤγουν ἡ γῆ περιφραστικῶς.

Th 736b T χθονία κόνις] ἡ πατρικὴ γῆ.

Th 736c Ξa χθονία] γηΐνη.

Th 736d ADPPdX χθονία] πατρῴα.

Th 736e

ADNaP μελαμπαγὲς] τὸ μέλαν.

Th 737a BHPVY μελαμπαγὲς] τὸ μετὰ τὸ πεπηγέναι μελαινόμενον.

Th 737b θT μελαμπαγὲς] τὸ μεμελανωμένον.

Th 737c Ξa αἷμα φοίνιον] τὸ ἀπὸ τοῦ φόνου χυθέν.

Th 737d ACPdXYa αἷμα φοίνιον] τὸ ἐκ τοῦ φόνου αὐτῶν κενωθέν.

Th 737e BPV φοίνιον] φονικόν.

Th 737f TΞa τίς ἂν εὑρεθείη; τίς αὐτοὺς ἐκλύσει τοῦ τοιούτου μιάσματος; M ἔθος γὰρ ἦν τοῖς παλαιοῖς τὸ γενέσθαι τινὰ μιαιφόνον ἐκφεύγειν τῆς πατρίδος καὶ εἰς ἄλλον τόπον ἐπάγειν αὐτὸν ὡς ἂν λάβῃ κάθαρσιν.

Th 738b X τίς δώσει αὐτοῖς καθάρσεις μεμιασμένοις τῷ φόνῳ; T τίς ἂν ποιήσειε κάθαρσιν; Ξa καθαρμὸν] κάθαρσιν.

Th 738e BX καθαρμοὺς] καθάρσεις.

Th 738f AbFbR 1 πόροι] παράσχοι.

Th 738g AbBHPdV πόροι] παράσχοι αὐτοῖς.

Th 738h ACPXcYa πόροι] αὐτοῖς μεμιασμένοις τῷ φόνῳ.

Th 738i θ πόροι] + δοίη.

Th 738j T σφε] αὐτοὺς ἢ αὐτόν· τυχὸν γὰρ ὁ ἕτερος ζήσεται.

Th 738k I 1 σφε] αὐτούς.

Th 739a AAbBHPPdθTVXcYaYb λούσειεν] ὡς νόμος ποιεῖν νεκρούς.

Th 739b BP λούσειεν] + πλήρεις ὄντας τοῦ αἵματος.

Th 739c T λούσειεν] ἀποκαθάρειε.

Th 739d Ξa ὦ πόνοι νέοι τῶν οἰκημάτων συμμιγεῖς τοῖς παλαιοῖς κακοῖς, ἤγουν τοῦ Λαΐου καὶ τοῦ Οἰδίποδος.

Th 740a X πόνοι] + συμφοραί.

Th 740b T δόμων] οἴκων.

Th 740c ATV νέοι] νεαροί, νεωστὶ γενόμενοι.

Th 740d AB νέοι] + οἱ νῦν γενόμενοι.

Th 740e T παλαιοῖς] τοῖς τοῦ Λαΐου.

Th 740f θT συμμιγεῖς] συμμικτοί.

Th 741a PV συμμιγεῖς] ἡνωμένοι.

Th 741b θT ἀντιστροφὴ κώλων η′.

Th 742-749 T παλαιγενῆ γὰρ λέγ ω· παλαιὰν γὰρ λέγω παραβασίαν, τὴν παρὰ τοῦ Λαΐου γενομένην πάλαι παράβασιν τῶν χρησμῶν τοῦ Ἀπόλλωνος, τὴν ὠκύποινον τὴν ταχέως τιμωρήσασαν καὶ μετελθοῦσαν ἐκεῖνον· μένει δὲ ἀκμὴν εἰς τρίτην γενεάν, Λαΐου, Οἰδίποδος καὶ τῶν τέκνων αὐτοῦ τοῦ Ἐτεοκλέους καὶ Πολυνείκους. [5]

Th 742-745 ABCHNdP 1 PdSjVWXaYYaYb τὴν παλαιὰν παράβασιν· παρέβη γὰρ τὸν χρησμὸν τοῦ Ἀπόλλωνος.

Th 742a M παλαιγενῆ] παλαιάν.

Th 742b AbCVYaΞa παλαιγενῆ] ἀρχαίαν.

Th 742c NaP παλαιγενῆ] + παλαιάν, πάλαι γεγονυῖαν.

Th 742d T παραιβασίαν] τοῦ Λαΐου.

Th 743a I 1 παραιβασίαν] τὴν τῶν χρησμῶν τοῦ Ἀπόλλωνος παράβασιν.

Th 743b APX Ya παραιβασίαν] τὴν παρανομίαν.

Th 743c PPdR 1 παραιβασίαν] παράβασιν.

Th 743d HθTV παραιβασίαν] + ἀντὶ μιᾶς.

Th 743e T ὃν ταχέως ὁ Ἀπόλλων μετῆλθε.

Th 743f I 1 ὠκύποινον] τὴν ταχέως τιμωρήσασαν τὸν Λάιον.

Th 743g AAbCPPdR 1 VXYYaΞa ὠκύποινον] τὴν ταχέως ἀποδοῦσαν αὐτοῖς ποινήν.

Th 743h BH ὠκύποινον] τὴν ταχέως τιμωρηθεῖσαν.

Th 743i PdθT εἰς τρίτην γενεάν· Λάιον, Οἰδίποδα καὶ τοὺς ἐξ Οἰδίποδος.

Th 744a τρὶς γὰρ ἀποτρεψαμένου τοῦ Ἀπόλλωνος σπείρειν—ἀνεῖλε γὰρ τῷ Λαΐῳ· μὴ σπεῖρε τέκνων ἄλοκ α, ἐπεὶ ἀποκτενεῖ ς ’ ὁ φύς (Eur. Ph. 18—19)—ὁ Λάιος παρακούσας ἀνῃρέθη παρὰ τοῦ παιδὸς Οἰδίποδος. I 1 Λαΐου, Οἰδίποδος, Ἐτεοκλέους.

Th 744b M αἰῶνα] ἤγουν εἰς γενεὰν τρίτην· Λάιον, Οἰδίποδα καὶ τοὺς παῖδας τούτου.

Th 744c AX αἰῶνα] εἰς τρίτην γενεάν.

Th 744d CNbPR 1 XcYa αἰῶνα] γενεάν.

Th 744e BM 2 V αἰῶνα] γενεὰν Λαΐου, Οἰδίποδος, Ἐτεοκλέους καὶ Πολυνείκους.

Th 744f θT μένει] ἡ παραβασία.

Th 744g BCTYa μένει] ἀκμήν.

Th 744h BP μένει] ἡ παράβασις ἐξ ἐκείνου τοῦ χρόνου.

Th 744i θ Ἀπόλλωνος εὖτε Λάιο ς· τὸ φιλάνθρωπον τοῦ θεοῦ ἐμφαίνεται διὰ τοῦ τρί ς· ὅταν, φησίν, ὁ Ἀπόλλων τρὶς εἴπῃ τῷ Λαΐῳ (Eur.

Th 745-750a Ph. 18—19) μὴ σπεῖρε τέκνων ἄλοκ α, ἐπεὶ κτενεῖ σε ὁ φύ ς, αὐτὸς δὲ παρωσάμενος τὰς τοῦ θεοῦ ἐντολὰς ὑπὸ τῶν ἡδονῶν αὐτοῦ κατακρατηθεὶς συνῆλθεν τῇ Ἰοκάστῃ. τὸ δὲ ἑξῆς· εὖτε Λάιος κρατηθεὶς ὑπὸ τῶν αὐτῷ φίλων ἡδονῶν ἢ ἀντὶ τῆς γυναικός· κρείσσω γὰρ τὰ πάθη τῶν λογισμῶν. M τὸ ἑξῆς οὕτως· εὖτε Λάιος κρατηθεὶς ὑπὸ τῶν αὐτῷ φίλων ἡδονῶν ἢ ὑπὸ τῆς γυναικός· κρείσσω γὰρ τὰ πάθη τῶν λογισμῶν. [5]

Th 745-750b I 1 Ἀπόλλωνος εὖτε Λάιο ς· ὁπηνίκα ἦλθεν ὁ Λάιος— λείπει δὲ τοῦτο—τοῦ Ἀπόλλωνος εἰπόντος πρὸς αὐτὸν ἐν τοῖς Πυθίοις μαντείοις σῴζειν τὴν πόλιν θνήσκοντα γέννας ἄτερ, ἤγουν χωρὶς παιδοποιίας, μὴ τεκνοποιήσαντα.

Th 745-750c διὰ δὲ τοῦ εἰπεῖν, ὅτι τρὶς εἶπεν ὁ θεὸς τῷ Λαΐῳ (Eur. Ph. 18—19)· μὴ σπεῖρε τέκνων ἄλοκα ἐπεὶ κτενεῖ σε ὁ φύ ς, τὸ φιλάνθρωπον ἐμφαίνεται καὶ κηδεμονικὸν τοῦ θεοῦ. αὐτὸς δὲ ὁ Λάιος παρωσάμενος τὰς τοῦ θεοῦ ἐντολὰς ὑπὸ τῶν αὐτῷ φίλων ἡδονῶν κρατηθείς, ἢ τῆς γυναικός—κρείσσω γὰρ τὰ πάθη τῶν λογισμῶν—ἢ τῶν συγγενῶν οἷς ἀνεκοινώσατο τὸν χρησμόν, ἐγέννησε μὲν τὸν πατροκτόνον Οἰδίποδα, θάνατον ἑαυτῷ. ABCHNdVWXaYYaYb Ἀπόλλωνος εὖτε Λάιο ς· ὁπηνίκα εἰπόντος πρὸς αὐτὸν ἐν τοῖς Πυθικοῖς μαντείοις σῴζειν τὴν πόλιν θνήσκοντα γέννας ἄτερ, ἤγουν χωρὶς παιδοποιίας, μὴ τεκνοποιήσαντα, ἐγείνατο ἐν βίᾳ ἑαυτῷ θάνατον, ἤγουν τὸν Οἰδίποδα, δι’ οὗ τεθανάτωται κρατηθεὶς ταῖς ἀβουλίαις ταῖς ἐκ τῶν φίλων αὐτῷ ἡδονῶν, ἢ ὑπὸ τοῦ φίλτρου τῆς γυναικός— κρείσσω γὰρ τὰ πάθη τοῦ λογισμοῦ—ἢ τὸ ἐκ τῶν φίλων νοητέον ἀντὶ τῶν συγγενῶν οἷς συνεκοινώσατο τὸν χρησμόν. [5]

Th 745-750d P 1 PdSj Ἀπόλλωνος] εἰπόντος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 745a NaP εὖτε] ὁπηνίκα.

Th 745b AAbBCHaLcNaPPdR 1 TVY εὖτε] ἦλθεν.

Th 745c ACHaNaXcYa εὖτε] ἐξ ἐκείνου τοῦ χρόνου.

Th 745d T βίᾳ] ἐν τῷ βιασθῆναι παρὰ τοῦ Λαΐου.

Th 746a ABXYa βίᾳ] παρακοῇ.

Th 746b θT τὸ φιλάνθρωπον τοῦ θεοῦ διὰ τοῦ τρὶς ἐμφαίνει.

Th 746c M διὰ τοῦ εἰπεῖν, ὅτι τρὶς εἶπεν ὁ θεὸς τῷ Λαΐω μὴ σπεῖρε τέκνων ἄλοκα ἐπεὶ κατακτενεῖ ς ’ ὁ φύ ς, τὸ φιλάνθρωπον ἐμφαίνεται καὶ κηδεμονικὸν τοῦ θεοῦ.

Th 746d P 1 PdSj τρὶς] πολλάκις.

Th 746e BHNaPθT εἰπόντος] τοῦ Ἀπόλλωνος.

Th 746f PdX μεσομφάλοις] ἡ γὰρ Πυθία ἐν τῷ μέσῳ ἐστὶ πάσης τῆς γῆς.

Th 747a AB XYa μεσομφάλοις] ἦλθεν.

Th 747b NaYYa μεσομφάλοις] + ἤγουν ἐν τῷ μέσῳ ὀμφαλῷ τῆς γῆς.

Th 747c T Πυθικοῖς] τοῖς μαντικοῖς.

Th 747d T χρηστηρίοις] μαντείοις.

Th 748a ANaPTV χρηστηρίοις] μαντεύμασι.

Th 748b BC θνῄσκοντα] τὸν Λάιον.

Th 748c ADNaPXYYa γέννας ἄτερ] ἄτεκνον, ἄπαιδα.

Th 748d AX γέννας] παιδός.

Th 748e AT γέννας] τέκνου.

Th 748f θT σῴζειν πόλιν] σωθήσεται γὰρ οὕτως ἡ πόλις.

Th 749a M σῴζειν πόλιν] οὕτως γὰρ ἡ πόλις σωθήσεται.

Th 749b ADYa σῴζειν πόλιν] ἀπὸ κοινοῦ τὸ βί ᾳ.

Th 749c X στροφὴ ἑτέρα κώλων η′.

Th 750-757a T ἡμέτερον· + κρατηθεὶς δ ’ ἐκ φίλω ν· τῆς τρίτης ταύτης στροφῆς τὰ κῶλα η′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα.

Th 750-757b τὸ α′ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἐπιτρίτου πρώτου, διιάμβου καὶ ἰάμβου. τὸ β′ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ, χοριάμβου καὶ συλλαβῆς. τὸ γ′ ὅμοιον δίμετρον ἀκατάληκτον ἐξ ὁμοίων ποδῶν· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον εἰ καὶ δοκεῖ οὐκ ἔχειν τὸν δεύτερον πόδα χορίαμβον, ἀλλὰ ἐπίτριτον, ἀλλ’ οὐκ ἔστιν οὕτως. ὡς γὰρ Ἡφαιστίων φησί (5, 20 Consbr.), καὶ τὸ μὲν κοινὴν ποιεῖ συλλαβήν, ὥστε χορίαμβον ἔχει καὶ αὐτὸ τὸν δεύτερον πόδα. τὸ δ′ ἰωνικὸν ἡμιόλιον. ἔχει δὲ τὸ μὲν τῆς στροφῆς κῶλον διτρόχαιον ἀντὶ ἰωνικοῦ, τὸ δὲ τῆς ἀντιστροφῆς καθαρὸν τὸν ἰωνικὸν ἀπ’ ἐλάττονος καὶ σπονδεῖον. τὸ ε′ χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου γ′ καὶ χοριάμβου πεντασυλλάβου· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς διίαμβον ἔχει τὸν πρῶτον πόδα· εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ τρίτου ποδὸς ἐν μὲν τῷ τῆς στροφῆς κώλῳ ἀναπαίστου, ἐν δὲ τῷ τῆς ἀντιστροφῆς δακτύλου. τὸ ς′ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς Φερεκράτειον, ἐκ διτροχαίου καὶ βακχείου· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἐπίτριτον τέταρτον ἔχει τὸν πρῶτον πόδα. τὸ ζ′ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ συλλαβῆς· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς παίωνα δεύτερον ἔχει ἀντὶ ἰωνικοῦ. τὸ η′ τροχαϊκὸν καθαρὸν ἰθυφαλλικόν. ἐπὶ τῷ τέλει τῆς τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. T κρατηθεὶς δ’ ἐκ φίλων] ἀπατηθεὶς ἐκ τῶν ἡδονῶν τῆς συνουσίας, ἐκ τῆς γυναικός.

Th 750a BH κρατηθεὶς] νικηθείς.

Th 750b CTV δύναται δὲ καὶ οὕτως συνταχθῆναι, εἰ λαμβάνεται τὸ δὲ ἀντὶ τοῦ δὴ καὶ τὸ μὲν ἀντὶ τοῦ μήν.

Th 750c P 2a δ’] ἀντὶ τοῦ δή.

Th 750d PPd τὸ δὲ οὐχ ὡς οἴονταί τινες περιττὸν ἀγνοοῦντες τὴν σύνταξιν· ἔχει γὰρ οὕτως· τὴν παλαιγενῆ γὰρ λέγω παραβασίαν τὴν ὠκύποινον καὶ τὴν ταχέως τιμωρηθεῖσαν, εὖτε καὶ ὁπηνίκα ὁ Λάιος ἐν βίᾳ καὶ παρακοῇ τοῦ Ἀπόλλωνος εἰπόντος αὐτῷ τρὶς καὶ πολλάκις ἐν τοῖς μεσομφάλοις Πυθικοῖς χρηστηρίοις σῴζειν τὴν πόλιν αὐτοῦ καὶ τὸ γένος ἅπαν θνήσκοντα χωρὶς τέκνου· πρὸς γοῦν τὸ βίᾳ Ἀπόλλωνος ἐστὶ καὶ τὸ κρατηθεὶς δ’, ἵν’ ᾖ οὕτως· ἐν βίᾳ καὶ παρακοῇ τοῦ Ἀπόλλωνος, κρατηθεὶς δ’ ἐκ φίλων ἐν ἀβουλίᾳ, τουτέστι καὶ τὸν Ἀπόλλωνα παρακούσας καὶ τῆς γυναικὸς ἡττηθεὶς ἀφρόνως, ἐγείνατο μὲν θάνατον αὑτῷ τὸν Οἰδίποδα.

Th 750e ποιεῖ δὲ τὴν δεινότητα ὁ δὲ σύνδεσμος καὶ τὸ εἰπεῖν ‘ἐν βίᾳ‘ καὶ οὐκ ἐπαγαγεῖν παραπλήσιον ὄνομα, ἀλλὰ μετοχήν. ὅτι δὲ ταῦτα οὕτως ἔχει, μαρτύριον ἐν ἄλλοις πολλοῖς ποιηταῖς τε καὶ λογοποιοῖς καὶ ὅπερ ἐν Σωκράτους Ἀπολογίᾳ (22 b 9) πεποίηκε Πλάτων λέγων περὶ τῶν ποιητῶν ὅτι οὐκ ἐν σοφίᾳ ποιοῖεν ἃ ποιοῖε ν , ἀλλὰ φύσει τινὶ καὶ ἐνθουσιάζοντε ς· οὐ γὰρ φύσει τινὶ καὶ ἐνθουσιασμῷ εἶπεν ἀλλὰ μετοχὴν ἐπήνεγκεν. ἔχει δέ τι πλέον ἐνταῦθα Αἰσχύλος τὸ μὴ καὶ ἀλλὰ δὲ θεῖναι· εἰ γὰρ ἦν κα ί, οὐ τοσοῦτον ἂν ἐδόκει τὸ δυσχερές. θT φίλων] οἷς ἐκοινώσατο τὸν χρησμόν.

Th 750f M φίλων] τῶν ἡδονῶν ἢ τῆς γυναικός.

Th 750g ADX φίλων] ἤγουν τῇ ἡδονῇ τῆς γυναικός.

Th 750h CYa φίλων] ἡδονῶν.

Th 750i NaPR 1 XXcY φίλων] τῶν τῆς γυναικὸς φίλτρων.

Th 750j θT φίλων] ἐκ φιλικοῦ πάθους.

Th 750k Ξa Εὐριπίδης (Ph.

Th 750l 21)· ὁ δ ’ ἡδονῇ δοὺς ἔς τε βακχεῖον πεσώ ν. Ξa ἀβουλίαις] ἐν μωρᾷ βουλῇ.

Th 750m BH ἀβουλίαις] ἀσυνεσίαις.

Th 750n AX ἀβουλίαις] ἐν μωρίᾳ.

Th 750o PPd ἀβουλίαις] μωρίαις.

Th 750p CXc ἀβουλίαις] κακῇ βουλῇ.

Th 750q CT ἐγείνατο] ἐγέννησεν.

Th 751a ABCR 1 SjVTYYaYb μὲν] ἀντὶ τοῦ μήν.

Th 751b PPd μόρον] θάνατον.

Th 751c AAbBCSjVYaYb μόρον] τὸν πατροκτόνον.

Th 751d NaP μόρον] + θάνατον ἤγουν ὃς αὐτὸν ἐθανάτωσεν.

Th 751e T πατροκτόνον] ἤγουν τὸν Οἰδίποδα τὸν φονεύσαντα τὸν ἴδιον πατέρα.

Th 752a CXc πατροκτόνον] + ὃς τὸν πατέρα ἀπέκτεινεν.

Th 752b T πατροκτόνον] τὸν μετὰ ταῦτα γεγονότα πατροκτόνον.

Th 752c Ξa ὅς τε μὴ πρὸς ἁγνά ν· ὅστις Οἰδίπους ἔτλη καὶ ἐκαρτέρησε σπείρας ῥίζαν αἱματόεσσαν, ἤτοι ἀρχὴν γένους, ἵνα καὶ ὅπου ἐτράφη, ἤγουν εἰς τὴν τῆς μητρὸς αὐτοῦ γαστέρα, οὐχὶ πρὸς ἁγνὰν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄρουραν, τουτέστιν πρὸς ὁσίαν καὶ νομίμην γυναῖκα· ἡ δὲ ἄνοια συνέμιξε νυμφίους φρενώλεις καὶ τὰς φρένας ἀπολέσαντας, τόν τε Οἰδίπουν καὶ τὴν Ἰοκάστην.

Th 752-757 ABCDHNdP 1 PdSjVWXaXcYYaYb ὅς] ὁ Οἰδίπους.

Th 752d ABLcTWXcYYa ἁγνὰν] καθαράν, νόμιμον.

Th 753a VYa ἁγνὰν] + ἤγουν ὁσίαν καὶ νόμιμον γυναῖκα.

Th 753b T ἁγνὰν] νομικόν.

Th 753c Ξa ἄρουραν] γαστέρα.

Th 754a DYa ἄρουραν] + γῆν, ἤγουν γυναῖκα.

Th 754b T ἵν’ ἐτράφη] ἤγουν εἰς τὴν τῆς μητρὸς γαστέρα.

Th 754c ABNaPYa ἵν’ ἐτράφη] ὅπου σπέρμα καταβληθεὶς ηὐξήθη.

Th 754d θT ἐτράφη] ἐγεννήθη.

Th 754e QY ῥίζαν] ὑπερβατόν· σπείρας ῥίζαν αἱματόεσσαν.

Th 755a M ῥίζαν] ἀρχὴν γένους.

Th 755b ADPTXYa ῥίζαν] παῖδα.

Th 755c BC ῥίζαν] συγγενικὴν σποράν.

Th 755d BCHXc ῥίζαν] γένος.

Th 755e NaP ῥίζαν] γονήν.

Th 755f θT ῥίζαν] ποιῆσαι.

Th 755g Ξa αἱματόεσσαν] μεμολυσμένην.

Th 755h ADXYa αἱματόεσσαν] συγγενικήν.

Th 755i DQθT ἔτλα πα ρ ’ ἀνοί α· ἔτλη δὲ ἀγνοίᾳ συναγαγεῖν τοὺς γάμους ὁ τὰς φρένας βλαβείς.

Th 755j ἡ δὲ ἄγνοια, φησί, τὰς φρένας ἀπολλύουσα συνήγαγεν. M ἔτλα συναγαγεῖν ῥίζαν αἱματόεσσαν, ἤγουν συμμίξαι σπέρμα τῇ μητρί, ὁ πανώλης νυμφίος.

Th 755k εἰ δὲ γράφεται νυμφίους πανώλεις, ῥητέον οὕτω· μητρὸς σπείρας ἄρουραν, ῥίζαν αἱματόεσσαν, συνήγαγε νυμφίους πανώλεις, ἑαυτὸν δηλαδὴ καὶ τὴν μητέρα ἢ τὸν Πολυνείκην καὶ τὴν Ἀδράστου θυγατέρα. I 1 ἔτλα] ὑπέμεινε.

Th 755l AbBCH ἔτλα] ἐκαρτέρησε.

Th 755m AYa ἔτλα] σπεῖραι.

Th 755n PNa ἔτλα] μετὰ καρτερίας.

Th 755o CXc ἔτλα] + ἐτόλμησε ποιῆσαι.

Th 755p T παράνοια] ἄνοια.

Th 755q AHNaPY παράνοια] μωρία.

Th 755r CB παράνοια] μώρανσις.

Th 755s θ παράνοια] + παραφροσύνη.

Th 755t T σύναγε] ἀγαγεῖν.

Th 756a I 1 σύναγε] συνήγαγεν, συνέμιξεν.

Th 756b AD σύναγε] συνέμιξε.

Th 756c NaPVYa σύναγε] συνῆγε.

Th 756d CT σύναγε] ἥνωσε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 756e R 1 θ σύναγε] συνῆψε.

Th 756f Ξa νυμφίους] γάμους.

Th 757a M νυμφίους] τὸν Οἰδίποδα καὶ τὴν Ἰοκάστην.

Th 757b AbBNaPPdθTYa Yb νυμφίους] μίξεις.

Th 757c BH φρενώλεις] τοὺς βεβλαμμένους τὰς φρένας.

Th 757d BCHX φρενώλεις] πανώλεις.

Th 757e YYa φρενώλεις] τὰς φρένας ἀπολέσαντας.

Th 757f AbPθTV ἀντιστροφὴ κώλων η′.

Th 758-765 T κακῶν δ ’ ὥσπερ θά ( λασσ α)· τὰ κακὰ ὥσπερ θαλάσσῃ ἔοικε· καὶ τὰ μὲν ἐπὶ Λαΐου γέγονε, τὰ δὲ ἐπὶ Οἰδίποδος, τὰ δὲ νῦν ἅτινα βρέμει περὶ τὸ ἄκρον τῆς πόλεως.

Th 758-760a M τὰ κακά, φησίν, ὥσπερ θαλάσσῃ ἔοικε· καὶ τὰ μὲν ἐπὶ Λαΐου γέγονε, τὰ δὲ ἐπὶ Οἰδίποδος, ἄλλα δὲ νῦν ἃ βρέμει περὶ τὸ ἄκρον τῆς πόλεως.

Th 758-760b I 1 κακῶν δ ’ ὥσπε ρ· τὰ κακὰ δ’ ὥσπερ θαλάσσῃ ἔοικε· καὶ τὰ μὲν ἐπὶ Λαΐου γέγονε, τὰ δὲ ἐπὶ Οἰδίποδος, τὰ δὲ νῦν ἅτινα βρέμει καὶ ἠχεῖ περὶ τὸ ἄκρον τῆς πόλεως.

Th 758-760c τοῦτο δὲ λέγει ὅτι τὸ μὲν κακῶν κῦμα πίπτει, τὸ δὲ ἐγείρεται, τὸ δὲ περὶ τὴν ναῦν προσρήγνυται. ABCHNd P 1 P 2a PdSjVWXaYYaYb θαλάσσῃ δὲ ἔοικε τὰ κακά. [5]

Th 758a BHXc κῦμ’] συμφοράν.

Th 758b θT ἄγει] ἐπέρχεται.

Th 758c BX ἄγει] ἄγεται.

Th 758d DX ἄγει] φέρει.

Th 758e AbPdT τὸ μὲν πίτνο ν· οὕτως λέγει· τὸ μὲν πίπτει, τὸ δὲ διεγείρεται, τὸ δὲ περὶ τὴν ναῦν προσρήγνυται.

Th 758f I 1 M πρὸ μέν τ ’ ἄλλ α , αὐτὰρ ἐ π ’ ἄλλα (Hom.

Th 758g N 799). M Ὅμηρος· πρὸ μέν τ ’ ἄλλ α , αὐτὰρ ἐ π ’ ἄλλα (N 799)· οὕτω δὲ λέγει· τὸ μὲν πίπτει, τὸ δὲ διεγείρεται, τὸ δὲ περὶ τὴν ναῦν προσρήγνυται.

Th 758h PdSj τὸ μὲν] ἀπὸ τῶν κυμάτων.

Th 759a NaP ἔστι ῥῆμα πέτω καὶ πλεονασμῷ τοῦ ν γίνεται πίτνω, τρεπομένου τοῦ ε εἰς ι, ὡς ἐν τῷ ἔχω ἴσχω καὶ μένω μίμνω, καὶ ἐξ αὐτοῦ πίτνον οὐδετέρως· ἡνίκα γὰρ πλεονάσῃ σύμφωνον συμφώνῳ ἔχοντι παραληγόμενον τὸ ε, τρέπεται τὸ ε εἰς ι.

Th 759b I 1 πίτνον· γίνεται ἐκ τοῦ πέτω καὶ πλεονασμῷ τοῦ ν πίτνω διὰ τὸν κανόνα τὸν λέγοντα· ἡνίκα πλεονάσῃ σύμφωνον συμφώνῳ ἔχοντι παραληγόμενον τὸ ε, τρέπεται 〈τὸ ε〉 εἰς ι, ὡς τὸ ἔχω ἴσχω, μένω μίμνω, πέτω πίτνω καὶ ἀπ’ αὐτοῦ πίτνον.

Th 759c CNdWXaY πίτνον] πίπτον.

Th 759d CHVXc πίτνον] ἡσυχάζον.

Th 759e NaPdR 1 Ya πίτνον] πίπτον, ἡσυχάζον.

Th 759f ADX πίτνον] προσπίπτον.

Th 759g θT πίτνον] τὸ συντριβέν.

Th 759h Ξa ἀείρει] ἐγείρεται.

Th 759i BHVYYa ἀείρει] ὑψοῖ.

Th 759j AAbPdR 1 θTXYaYb ἀείρει] ὑψοῦται.

Th 759k BDNaP ἀείρει] ἐπαίρει.

Th 759l AD ἡ μὲν σύνταξις ἀειρόμενον ἀπῄτει πρὸς τὸ πίτνον, ὁ δὲ ἀείρει πρὸς τὸ θάλασσα εἶπεν.

Th 759m θT τρίχαλον] πολυκλυδώνιστον.

Th 760a BCHXc τρίχαλον] τρίρροθον.

Th 760b ANaPYYa τρίχαλον] γράφεται τροχαλόν, ἢ στρογγύλον.

Th 760c XY τρίχαλον] κυρτόν.

Th 760d CP τρίχαλο ν· τὴν τρικυμίαν βούλεται εἰπεῖν τὴν ἐκ τριῶν μερῶν ποντίζουσαν τὴν ναῦν, ἢ τρίχαλον ἀπὸ τοῦ τρίχ α, ὃ σημαίνει τὰ πολλά, καὶ τοῦ ἅλς ἁλός, ἵν’ ᾖ πολυκύματον, ἢ ἀπὸ τοῦ θρὶξ καὶ τοῦ ἅλ ς· λέγομεν ἐπὶ τῆς θαλάσσης φρίσσειν, ὅταν ἄγρια καὶ μεγάλα κύματα ἀνιστᾷ ὡς ἐπὶ χοίρου, ὅταν ὀρθὰς ἔχει τὰς αὐτοῦ τρίχας.

Th 760e CNd τρίχαλον] τριπλοῦν.

Th 760f BFdI 1 PQTΞa τρίχαλον] τραχύ.

Th 760g FdNaPθ κἀπὶ] + οὕτω διὰ τὸ μέτρον.

Th 760h T πρύμναν] ἤγουν τὸν βασιλικὸν θρόνον.

Th 760i BH περὶ τὸν βασιλικὸν θρόνον· ὅρα πῶς καλῶς ἐχρήσατο ὧδε τῇ τροπῇ.

Th 760j X πρύμναν] τὴν ἀρχήν.

Th 760k CXcYYa πρύμναν] ἀκρόπολιν.

Th 760l NaPV πρύμναν] + ἐπὶ τὸ ἄκρον.

Th 760m T καχλάζει] ἠχεῖ.

Th 760n AbBCNaPθT καχλάζει] ἀναβράζει.

Th 760o AΞa καχλάζει] ἀνεγείρεται.

Th 760p AYa καχλάζει] βοᾷ.

Th 760q NaP μεταξὺ δ ’ ἀλκ ά· μεταξὺ δὲ ἡμῶν δι’ ὀλίγου ἐστὶν ἡ τῶν πολεμίων δύναμις τῆς ἡμετέρας, καὶ τὸ διάστημα ὁ πύργος ὁ διείργων ἐστίν.

Th 761a M τὸ μεσολαβοῦν ἡμῖν εἰς ἀλκὴν ὀλίγον ἐστίν· τὸ εὖρος γὰρ τοῦ τείχους [.

Th 761b ....]. I 1 μεταξὺ δ ’ ἀλκὰ δ ι ’ ὀλίγο υ· μεταξὺ δὲ ἡμῶν καὶ τῶν πολεμίων τείνει καὶ τείνεται ἀλκὴ καὶ βοήθεια ἡμῶν καὶ ἀποσόβησις τῶν πολεμίων δι’ ὀλίγου· τίς δέ ἐστιν ἡ ἀλκή; ὁ πύργος τῆς πόλεως, τουτέστι μόνον τὸν πύργον τῆς πόλεως ἔχομεν βοηθοῦντα ἡμῖν καὶ τοὺς ἐχθροὺς ἀποσοβοῦντα.

Th 761c ABCDHNdP 1 PdSjVWXaXcYYaYb μεταξὺ δὲ ἡμῶν καὶ τῶν ἐναντίων ἐστὶν ἡ ἡμετέρα δύναμις, ὅσον ὁ πύργος δι’ ὀλίγου τείνει ἐν πλάτει.

Th 761d X μεταξὺ] μέσον ἡμῶν καὶ τῶν πολεμίων.

Th 761e ABDHPR 1 VXcYaΞa μεταξὺ] ἡμῶν καὶ τῶν κακῶν.

Th 761f θT ἀλκὰ] βοήθεια.

Th 762a ABCFdHPSjVXcYaYb ἀλκὰ] ἀποσόβησις.

Th 762b BV ἀλκὰ] ἀσφάλεια, βοήθεια.

Th 762c θT ὀλίγου] + ὀλίγον γάρ ἐστι τὸ πλάτος τοῦ τείχους.

Th 762d T ὀλίγου] διαστήματος.

Th 762e Ξa τείνει] τείνεται.

Th 762f ADNaPVYa τείνει] φαίνεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 762g BH τείνει] παθητικόν.

Th 762h PPdX τείνει] διαχωρίζει.

Th 762i HΞa τείνει] φέρεται.

Th 762j θT ἐν πλάτει αὐτοῦ, τουτέστιν ὅσον τόπον καὶ πλάτος ἐπέχει ὁ πύργος, τοσοῦτόν ἐστι τὸ μεταξὺ ἡμῶν καὶ τῶν κακῶν, ὅστις ἐστὶν ἀλκὴ καὶ βοήθεια δι' ὀλίγου τείνουσα καὶ φέρουσα.

Th 763a θT ἐν εὕρει] ἐν πλάτει, ἐν μεταιχμίῳ.

Th 763b MPPd ἐν εὕρει] ἐν πλάτει.

Th 763c ABCHLcNaR 1 SjTVYaYb δέδοικα σὺν βασιλεῦσα ι· δέδοικα δὲ καὶ φοβοῦμαι μὴ σὺν τῷ Πολυνείκει καὶ τῷ Ἐτεοκλεῖ ἀφανισθῇ καὶ ἡ πόλις.

Th 764a ABDHP 1 PdSjV WXaXcYYaYb δέδοικα] φοβοῦμαι.

Th 764b AbBTXYa βασιλεῦσι] τῷ Ἐτεοκλεῖ καὶ τῷ Πολυνείκει.

Th 764c ABPTYa δαμασθῇ] ἀφανισθῇ.

Th 765a BNaP δαμασθῇ] καταβληθῇ.

Th 765b CSjYbΞa δαμασθῇ] ἁλωθῇ.

Th 765c AbΞa στροφὴ ἑτέρα κώλων ς′.

Th 766-771a T ἡμέτερον· + τέλειαι γά ρ· τῆς δ′ ταύτης στροφῆς τὰ κῶλα ς′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα.

Th 766-771b τὸ α′ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ὅμοιον τῷ α′ τῆς τρίτης στροφῆς. τὸ β′ ὅμοιον ἐξ ἀντισπάστου, διτροχαίου καὶ ἰάμβου· τὸ μέντοι κῶλον τῆς στροφῆς χορεῖον ἔχει ἀντὶ ἰάμβου. τὸ γ′ ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου ἀντὶ ἰωνικοῦ καὶ διιάμβου· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἐπίτριτον ἔχει τρίτον· εἰ δὲ βούλει, τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον, τοῦ πρώτου ποδὸς χορείου. τὸ δ′ ἰαμβικὸν καθαρὸν δίμετρον ἀκατάληκτον. τὸ ε′ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐκ δισπονδείου καὶ συλλαβῆς· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἐπίτριτον ἔχει πρῶτον. τὸ ς′ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ βακχείου. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. T τέλεια γὰρ παλαιφ ( άτω ν)· τὸ τέλεια ἀντὶ τοῦ τέλειαι· ὑφῆκεν δὲ τὸ ι διὰ τὸ μέτρον. [10]

Th 766a M τέλεια ἀντὶ τοῦ τέλειαι· ὑφῆκε γὰρ τὸ ι διὰ τὸ μέτρον.

Th 766b P 1 PdSj ἐξεβλήθη τὸ ἰῶτα διὰ τὸ μέτρον· ὤφειλε γὰρ γράφειν τέλειαι.

Th 766c I 1 τέλεια] τέλειαι ὤφειλεν εἰπεῖν· ἀφῆκε δὲ τὸ ι διὰ τὸ μέτρον.

Th 766d BH τέλειαι γὰρ καὶ εἰς τέλος ἐξερχόμεναι καὶ πληρούμεναι αἱ πάλαι ῥηθεῖσαι κατάραι τοῦ Οἰδίποδος ἢ αἱ πάλαι χρησμοδοθεῖσαι τῷ Λαΐῳ.

Th 766e ABDHP 1 PdSjVWXcYYaYb τέλειαι] τέλος λαμβάνουσαι.

Th 766f AbBH τέλειαι] πεπληρωμέναι εἰσίν.

Th 766g NaP παλαίφατοι] αἱ πάλαι χρησμοδοθεῖσαι τῷ Λαΐῳ.

Th 766h APYa παλαίφατοι] αἱ πάλαι λεχθεῖσαι.

Th 766i AbBPT παλαίφατοι] παλαιαί.

Th 766j CNaθV παλαίφατοι] αἱ πάλαι ποτὲ εἰρημέναι.

Th 766k Ξa ἀραὶ] τοῦ Οἰδίποδος.

Th 766l BCFd ἀραὶ] αἱ κατάραι.

Th 766m AbCV δυσχερές ἐστι τὸ διαλυθῆναι αὐτοὺς καὶ φιλιωθῆναι διὰ τὰς ἀράς.

Th 767-768a τὰ δὲ δεινὰ οὐ παρέρχεται πλησιάζοντα. I 1 ἄλλως· βαρεῖα ι· δυσχερές ἐστι, φησί, τὸ φιλιωθῆναι τὸν Ἐτεοκλῆν καὶ τὸν Πολυνείκην διὰ τὰς κατάρας.

Th 767-768b τὰ δὲ δεινὰ ἡμῖν τελούμενα οὐ παρέρχεται. P 1 PdSj βαρεῖαι καταλλα ( γα ί)· δυσχερὲς τὸ φιλιωθῆναι αὐτοὺς διὰ τὰς κατάρας.

Th 767a M βαρεῖαι καταλλαγα ί· χαλεπαὶ αἱ τοῦ Οἰδίποδος καὶ τῆς Ἰοκάστης καταλλαγαὶ καὶ φιλίαι καὶ συνελεύσεις εἰς γάμον.

Th 767b AB a DP 1 Pd SjXYa ἢ διὰ τὸ τοὺς βασιλεῖς μὴ καθέζεσθαι 〈ἐπὶ〉 τῶν βασιλικῶν θρόνων ἐν πολυχρονίᾳ, ἀλλὰ μεταλλαγαὶ τούτων γίνονται συντόμως, διὰ τοῦτο εἶπεν βαρεῖαι καταλλαγα ί.

Th 767c X τὸ γὰρ διὰ πολέμου καὶ μάχης αὐτοὺς βούλεσθαι τὸ δῶμα διαλαχεῖν βαρεῖα καταλλαγὴ ἅτε φόνου συμβήσεσθαι μέλλοντος.

Th 767d θT βαρεῖαι] δυσκατόρθωτοι.

Th 767e Ξa καταλλαγαὶ] φιλίαι.

Th 767f AbHOPd καταλλαγαὶ] φιλιώσεις.

Th 767g NaP καταλλαγαὶ] αἱ φιλιώσεις τοῦ Οἰδίποδος καὶ τῆς Ἰοκάστης.

Th 767h CXc τὰ δ ’ ὀλο ά· τὰ δὲ δεινὰ τελούμενα οὐ παρέρχεται ἡμῶν.

Th 768a M τὰ δ ’ ὀλο ά· τὰ δὲ δεινὰ καὶ ὀλέθρια οὐ παρέρχεται ψευδῶς καὶ μάτην ἀφ’ ἡμῶν ὅσον οὔπω τελούμενα, ἀντὶ τοῦ τελειούμενα καὶ πληρούμενα.

Th 768b ABCDHNdP 1 PdSjVWXaXcYYaYb τὰ ὀλέθρια τελειοῦνται καὶ οὐ παρέρχεται.

Th 768c X ὀλοὰ] δεινά.

Th 768d AbBH ὀλοὰ] τὰ δεινά, τὰ ὀλέθρια.

Th 768e ADP ὀλοὰ] ὀλέθρια.

Th 768f θTV ὀλοὰ] + ἀντὶ μιᾶς.

Th 768g T τελόμεν’] ὅσον οὔπω τελειούμενα.

Th 768h ABDX τελόμεν’] γράφεται τελλόμενα, φαινόμενα.

Th 768i PPd τελόμεν’] πληρούμενα.

Th 768j AbCY τελλόμεν’] δεικνύμεναι, ἐπερχόμεναι.

Th 768k θT τελόμεν’] τελεσθέντα.

Th 768l Ξa οὐ παρέρχεται] οὐ μάτην ἀφίενται.

Th 768m BH οὐ παρέρχεται] οὐ φθείρονται.

Th 768n PR 1 οὐ παρέρχεται] οὐ παρέρχονται.

Th 768o CV οὐ παρέρχεται] οὐ παυθήσεται.

Th 768p Ξa ἔρχεται] παύεται.

Th 768q θT πρόπρυμνα δ ’ ἐκβολ ( ῶ ν)· ὅταν δὲ παχυνθῶσιν οἱ ἄνδρες τῷ ὄλβῳ, τότε ὅλου τοῦ φόρτου ἐκβολὴν ποιοῦνται.

Th 769-771a τοῦτο δὲ πρὸς Ἐτεοκλέα. ἐκβολῶν δὲ τῶν ὑβριστῶν, οἷον δι’ ἐκβολῆς ὑβριζόντων. M πρόπρυμν α· ὁ δὲ ὄλβος καὶ ὁ πλοῦτος καὶ ἡ εὐτυχία τῶν ἀνδρῶν τῶν ἀλφηστῶν καὶ τῶν φρονίμων καὶ τῶν ἐφευρετῶν ἀναγκαίων πραγμάτων—τοῦτο δὲ λέγει διὰ τὸν Οἰδίποδα—ἄγαν παχυνθείς, ἤτοι πολὺς καὶ μέγας γενόμενος, ἐκφορεῖται καὶ ἐκβολὴν πάσχει.

Th 769-771b

τοῦτο δὲ λέγει ὅτι ἡ δόξα τοῦ Οἰδίποδος πολλὴ γενομένη καὶ ἄμετρος νῦν ἀφανίζεται καὶ ἐκδιώκεται ἀπὸ τῆς πόλεως, ἐκ μεταφορᾶς τῶν ἐμπόρων, οἵτινες πλοῦτον πολὺν σωρεύσαντες καὶ παχυνθέντες τῷ ὄλβῳ ὕστερον ἐκβολὴν ποιοῦνται τοῦ ἰδίου φόρτου ναυαγοῦντες καὶ κλυδωνιζόμενοι. ABCDH NdP 1 PdSjVWXaXcYYaYb πρόπρυμνα δι’ ἐκβολῶν ἐκφέρεται ὁ ὄλβος τῶν ἀνδρῶν τῶν ἀλφηστῶν, ἤτοι τῶν ἐμπόρων τῶν ψηλαφώντων τὸ εὑρεῖν κέρδος· νηῒ γὰρ παρεικάζει τὴν πόλιν, ναύταις τοὺς πολίτας, κυβερνήτῃ τὸν Ἐτεοκλέα, κλύδωνι τὸν πόλεμον.

Th 769-771c ὥσπερ οἱ νῦν ἐπὶ τῆς θαλάσσης κλυδωνιζόμενοι ναῦται ἐκφέρονται τῆς πρύμνης τὸν φόρτον, οὕτως, φησίν, καὶ ὁ Ἐτεοκλῆς πολὺν ἐπεισάξας τὸν ὄλβον νῦν αὐτὸν ἀπολέσαι κινδυνεύει. VY οἱ γὰρ εἰς ἄκρον τοῦ φρονεῖν ἀφιγμένοι, αὐξηθέντες τῇ τύχῃ καὶ μέγιστοι πάντων γενόμενοι, ἀθρόον ἀπέσβησαν, καὶ ἡ περὶ αὐτοὺς τύχη εἰς οὐδὲν χωρεῖ· καὶ μάρτυς Οἰδίπους πρόσθεν τοῖς κλεινοῖς αἰνίγμασιν ὥσπερ τις θεὸς θαυμαζόμενος καὶ νῦν τὸν αἰῶνα διάγων ἀθλίως ἄγαν καὶ δυστυχῶς, ὑφ’ ὅτου τις ἂν εἴποι μισούμενος καὶ σκότον κατ’ Εὐριπίδην (Ph.

Th 769-771d 377) ὁρῶν. τοῦτο δὲ εἶπεν ἐκ μεταφορᾶς τῶν ἐμπόρων, οἵτινες πλοῦτον ἐξ ἐμπορίας πλεῖστον συλλέξαντες, εἶτα ναυαγίᾳ χρησάμενοι πάντα τὸν φόρτον ἀπώλεσαν· οἷς κέρδος ἦν συγκαταδῦναι τοῖς κύμασιν. θTΞa πρόπρυμνα] ἀπὸ τῆς πρύμνης.

Th 769a ABDHXYYa πρόπρυμνα] ὑστέρως.

Th 769b XY πρόπρυμνα] ἔξω τῆς πρύμνης.

Th 769c PPdR 1 πρόπρυμνα] λίαν.

Th 769d CXc πρόπρυμνα] διόλου, ἐσχάτως.

Th 769e θTΞa ἐκβολὰν] ῥῖψιν.

Th 769f AbBCHNaPPdR 1 XXcY ἐκβολὰν] ἐκφόρευσιν.

Th 769g AD ἐκβολὰν] ἔκπτωσιν.

Th 769h θT φέρει] πάσχει.

Th 769i ABDR 1 φέρει] ὑπομένει.

Th 769j AAbDNaθT ἀλφηστῶν] φρονίμων.

Th 770a BM 2 NaO ἀλφηστῶν] πλουσίων, ἐφευρετῶν τῶν ἀναγκαίων πραγμάτων.

Th 770b BH ἀλφηστῶν] φρονίμων, ἐφευρετῶν.

Th 770c AAbNaθTYaYb ἀλφηστῶν] ψηλαφητῶν, ἐρευνητῶν.

Th 770d PPdX ἀλφηστῶν] πλουσίων, ἐφευρετῶν.

Th 770e CXc ὄλβος] δόξα.

Th 771a BNaXcYa ὄλβος] πλοῦτος, δόξα.

Th 771b ACH ὄλβος] εὐδαιμονία.

Th 771c θT παχυνθείς] πολὺς γενόμενος.

Th 771d BHXc παχυνθείς] πολὺς καὶ μέγας γενόμενος.

Th 771e ADPYa παχυνθείς] αὐξηθείς.

Th 771f CNaPPdθTX τί ν ’ ἀνδρῶν γά ρ· τίνα γὰρ ἀπὸ τῶν ὅλων ἀνδρῶν, φησί, τοσοῦτον ἐθαύμασαν καὶ οἱ θεοὶ καὶ οἱ κάτοικοι τῆς ἡμετέρας πόλεως καὶ ἁπλῶς πάντες οἱ ἄνθρωποι—τοῦτο γὰρ δηλοῖ τὸ πολύβοτος αἰὼν βροτῶν, ἤγουν ἡ ζωὴ καὶ ὁ βίος τῶν ἀνθρώπων ὁ πολύβοτος καὶ ὁ πολλοὺς τρέφων ἢ ὁ ὑπὸ πολλῶν ἐμβατούμενος ἢ ὁ ἐπὶ πολὺ ἐκτεινόμενος—, ὅσον τίον καὶ ἐτίμων καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐθαύμαζον τότε τὸν Οἰδίποδα ἀφελόντα ἀπὸ τῆς ἡμετέρας πόλεως τὴν κῆρα καὶ τὴν θανατηφόρον μοῖραν, τὴν ἀναρπαξάνδραν, τὴν τοὺς ἄνδρας ἁρπάζουσαν καὶ ἐσθίουσαν.

Th 772-777a λέγει δὲ τὴν Σφίγγα τὴν ὠμόσιτον. ABCDHNdP 1 PdSjVWXaXcYYaYb ἀντιστροφὴ κώλων ϛʹ.

Th 772-777b T παρὰ τοῦτο τὸ ἦν Οἰδίπους τὸ πρῶτον εὐδαίμων ἀνήρ (Eur.

Th 772a fr. 157). M ἀνδρῶν] ἀπὸ τῶν ὅλων ἀνδρῶν.

Th 772b BP θαυμαστὸν ἐποίησαν, ἐδόξασαν.

Th 772c I 1 ἐθαύμασαν] ὕψωσαν.

Th 772d BH ἐθαύμασαν] ἐδόξασαν.

Th 772e NaPPdX ξυνέστιοι] οἱ συμπολῖται.

Th 773a I 1 ξυνέστιοι] οἱ κάτοικοι.

Th 773b ADPV ξυνέστιοι] ἐγκάτοικοι.

Th 773c AbCSjYb ξυνέστιοι] σύνοικοι.

Th 773d T πόλεως] τῶν Θηβῶν.

Th 773e T πολύβοτος τ ʼ αἰώ ν· ὁ ὑπὸ πολλῶν ἐμβατευόμενος ἀνδρῶν, ἢ ὁ ἐπὶ πολὺ ἐκτεινόμενος.

Th 774a M πολύβοτος] καὶ οἱ ἄλλοι ἄνθρωποι· τοῦτο γὰρ δηλοῖ τὸ πολύβοτο ς.

Th 774b I 1 πολύβοτος] ὁ πολλοὺς τρέφων.

Th 774c ABHPPdTVXXc πολύβοτος] ὁ πολύτροφος.

Th 774d CY πολύβοτος] ὁ πολλὰ τρέφων.

Th 774e DYa πολύβοτος] ὁ πολλοὺς βόσκων καὶ τρέφων.

Th 774f T τὸ πολύβοτος ἢ ἀντὶ τοῦ πολυκτήμων λογιστέον ἢ ὁ πολλοὺς βόσκων· καὶ τὸ μὲν δεύτερον πρόδηλον, τὸ δὲ πολυκτήμων οὕτως· τίνα τῶν ἀνδρῶν ἐθαύμασαν καὶ οἱ θεοὶ καὶ οἱ πολῖται καὶ ὁ αἰὼν τῶν βροτῶν ὁ πολύβοτος καὶ πολυκτήμων, τουτέστιν οὐδεὶς πλὴν τοῦ Οἰδίποδος τεθαύμασται καὶ πρὸς ἔσχατα πλούτου ἀφίκετο.

Th 774g θT πολύβοτος] πολυκτήμων ἢ πολλοὺς βόσκων.

Th 774h θ αἰὼν] ἡ ζωή.

Th 774i BDHNaPPdXcΞa αἰὼν] βίοτος.

Th 774j AX αἰὼν] ὁ βίος.

Th 774k PV αἰὼν] χρόνος.

Th 774l BT ὅσον τό τ ʼ Οἰδίπουν τίο ν· ὅσον θαυμασθῆναι καὶ δοξασθῆναι ἐποίησαν.

Th 775a καὶ Εὐριπίδης (fr. 157)· Οἰδίπους τὸ πρῶτον εὐτυχὴς ἀνή ρ . ἀναρπαξάνδραν δὲ τὴν ἀναρπάξασαν πολλοὺς τῶν ἀνδρῶν κακὴν μοῖραν, 〈κατὰ〉 μεταπλασμὸν τοῦ ἀναρπάξανδρος. M [Εὐρ]ιπίδης· [ Οἰδί π ]ους [ τὸ π ρ ]ῶτον [ εὐτυχ ὴ ]ς ἀνή ρ.

Th 775b I 1 τίον] ἐτίμων.

Th 775c AAbBCDHNaOPPdR 1 θVXXcYYaYb τίον] ἐθαύμαζον.

Th 775d ABP τὴν ἁρπάξασαν πολλοὺς τῶν ἀνδρῶν κακὴν μοῖραν, κατὰ μεταπλασμὸν τοῦ ἀναρπάξανδρος.

Th 776a I 1 ἀναρπαξάνδραν] τὴν Σφίγγα.

Th 776b CDI 1 NaNbOPPdQXXcYΞa ἀναρπαξάνδραν] τὴν τοὺς ἄνδρας ἁρπάζουσαν.

Th 776c AbBHPSjVYb ἀναρπαξάνδραν] τὴν ἀναρπάζουσαν πολλοὺς τῶν ἀνδρῶν καὶ κατεσθίουσαν, ἤγουν τὴν Σφίγγα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 776d AYa ἀναρπαξάνδραν] τὴν ἄνδρας ἁρπάζουσαν Σφίγγα.

Th 776e θT κῆρ’] τὴν θανατηφόρον μοῖραν.

Th 776f AI 2 PR 1 VYa κῆρ’] τὴν φθοράν.

Th 776g AbBHNaθT ἀφελόντα] ἐκβαλόντα.

Th 777a AbNaPTV ἀφελόντα] ἀπορρίψαντα.

Th 777b Ξa χώρας] ἀπὸ τῆς ἡμετέρας πόλεως.

Th 777c ABDP ἐπεὶ δ ’ ἀρτίφρω ν· ἐπεὶ ἔμφρων ἐγένετο, ἐπεὶ συνῆκεν ὃ ἔπραξεν κατὰ τῆς μητρός· εὐδαίμων γὰρ ἦν κατὰ πάντα πρὶν ἂν μάθῃ τὸ μητρομίξιον.

Th 778-784a δίδυμα δὲ κακὰ ἔφη τὸ τῶν δύο ὀφθαλμῶν στερηθῆναι· ἓν γὰρ κακὸν τὸ ἑνὸς στερηθῆναι, δύο δὲ τὸ ἀμφοτέρων. ἢ τὸν Ἐτεοκλέα καὶ Πολυνείκη γεννήσας οἳ ἦσαν τῶν ὀφθαλμῶν κρείσσονες· ὀμμάτων δ ’ ἐπλάγχθη ἀντὶ τοῦ ἐστερήθη τῶν κρειττόνων ὀμμάτων, λέγει δὲ τῶν περὶ Ἐτεοκλέα καὶ Πολυνείκη. I 1 M ἐπεὶ δ ’ ἀρτίφρων ἐγένετ ο· ἐπεὶ δὲ ὁ μέλεος καὶ ὁ ἄθλιος ἐγένετο ἀρτίφρων, ἀντὶ τοῦ αἴσθησιν ἔλαβεν καὶ συνῆκεν ὃ ἔπραξε κατὰ τῆς μητρός—εὐδαίμων γὰρ ἦν κατὰ πάντα πρὶν ἂν μάθῃ τὸ μητρομίξιον—, βαρέως φέρων καὶ ἀνιώμενος ἐπὶ τοῖς παρανόμοις γάμοις, ἐτέλεσε καὶ ἔπραξε δίδυμα κακά, ἤτοι τοὺς δύο ὀφθαλμοὺς αὐτοῦ ἐτύφλωσε, τῇ χειρὶ τῇ καὶ τὸν πατέρα Λάιον φονευσάσῃ, ἐπλάγχθη δὲ καὶ ἐχωρίσθη τῶν τέκνων τῶν κρειττόνων τῶν ὀφθαλμῶν· τὰ γὰρ τέκνα τοῖς γονεῦσι κρείττω τῶν ὀφθαλμῶν νομίζονται.

Th 778-784b τοῖς τέκνοις δὲ ἐπαφῆκε κατάρας ὀργίλους. ABHP 1 PdSjWXaYYaYb στροφὴ ἑτέρα κώλων ζʹ.

Th 778-784c T ἡμέτερα· + ἐπεὶ δ ’ ἀρτίφρω ν· τῆς εʹ ταύτης στροφῆς τὰ κῶλα ζʹ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα.

Th 778-784d τὸ αʹ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ συλλαβῆς, ὃ καλεῖται δοχμαϊκὸν πενθημιμερές· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἐπίτριτον ἔχει τρίτον ἀντὶ τοῦ ἀντισπάστου. τὸ βʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον τοῦ δευτέρου ποδὸς χορείου. τὸ γʹ ὅμοιον καθαρόν. τὸ δʹ χοριαμβικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ἐκ χοριάμβου καὶ ἀναπαίστου· εἰ δὲ βούλει, δακτυλικὸν πενθημιμερές. τὸ εʹ ἰαμβικὸν ἑφθημιμερὲς τοῦ πρώτου καὶ τρίτου ποδὸς χορείου· εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον ὑπερκατάληκτον ἐκ προκελευσματικοῦ, παίωνος πρώτου ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος—οἰκεῖοι γὰρ τῷ μέτρῳ—καὶ συλλαβῆς. τὸ ςʹ ὅμοιον τῷ δʹ. τὸ ζʹ χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐκ χοροιάμβου, διτροχαίου καὶ σπονδείου. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνὶς ἐξιόντος τοῦ χοροῦ. T ἀρτίφρων ἐγένετο] νῦν γνοὺς ὃ ἔπραξεν ἀνόμιμα.

Th 778a ABDX ἀρτίφρων ἐγένετο] ἀντὶ τοῦ αἴσθησιν ἔλαβε.

Th 778b BPYa ἀρτίφρων ἐγένετο] + ἤγουν αἴσθησιν ἔσχε.

Th 778c T ἀρτίφρων] ἐπιγνώμων.

Th 778d AbBI 1 R 1 RbXc ἀρτίφρων] φρόνιμος.

Th 778e HV ἀρτίφρων] ἐπιγνώμων, ὑστερόφρων.

Th 778f NaPPd ἀρτίφρων] ἀρτιμαθής.

Th 778g AbNbRb ἀρτίφρων] ἐπιγνώμων, εἰδήμων.

Th 778h θT ἀρτίφρων] ἐν αἰσθήσει γεγονώς.

Th 778i Ξa μέλεος] ἄθλιος.

Th 779a AAbBCTV ἀθλίων] τῶν παρανόμων.

Th 779b

T ἀθλίων] τῶν ἐμβαλόντων εἰς ἀθλιότητα.

Th 779c Ξa ἄλγει] τῇ παρανομίᾳ.

Th 780a θT δυσφορῶν] βαρέως φέρων.

Th 780b BHPYa δυσφορῶν] ἀνιώμενος.

Th 780c BP δυσφορῶν] λυπούμενος.

Th 780d AbCPV δυσφορῶν] ἀγανακτῶν.

Th 780e θT δυσφορῶν] δυσκόλως φέρων.

Th 780f Ξa μαινομένᾳ καρδίᾳ] λυπουμένῃ, ζεούσῃ τῷ θυμῷ.

Th 781a θT μαινομένῃ] ἐν ὀργίλῳ καὶ μανικῇ.

Th 781b AYa μαινομένῃ] ἐσκοτισμένῃ.

Th 781c Ξa δίδυμα] τοὺς δύο ὀφθαλμοὺς ἑαυτοῦ ἐτύφλωσεν.

Th 782a ADYa δίδυμα] διπλᾶ.

Th 782b AbBCHI 1 RaRb δίδυμα] διπλᾶ, ἤγουν τὰ τῶν δύο ὀφθαλμῶν.

Th 782c θT δίδυμα] τὴν τύφλωσιν καὶ τὴν ἀράν.

Th 782d Ξa ἐτέλεσε] ἐπλήρωσε.

Th 782e AbBC ἐτέλεσε] ἐποίησε.

Th 782f θT πατροφόνῳ] τῇ τὸν πατέρα φονευσάσῃ χειρί.

Th 783a I 1 M πατροφόνῳ] τῇ τὸν πατέρα Λάιον φονευσάσῃ.

Th 783b AθTYa κρεισσοτέκνων] τῶν κρειττόνων.

Th 784a CHR 1 + οἱ λέγοντες κρεισσοτέκνων δ ʼ ἀ π ʼ ὀμμάτων ἐπλάγχθη ἀγνοοῦσι τὰ μέτρα· διὸ περισσὸν ὂν τὸ ἀπὸ ἐξεβλήθη παρʼ ἐμοῦ, ἵνʼ εἴη τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς καὶ πρὸς τὴν σύνταξιν ἔχοι ὀρθῶς.

Th 784b T κρεισσοτέκνων] + ἕκαστος γὰρ κρείττονα τῶν αὑτοῦ παίδων τὰ οἰκεῖα λογίζεται ὄμματα.

Th 784c T δ ʼ ἀ π ʼ ὀμμάτων ἐπλάγχθ η· ἀντὶ τοῦ ἐχωρίσθη καὶ ἐστερήθη· οἳ κρείσσονες τῶν ὀφθαλμῶν ἦσαν.

Th 784d V ὀμμάτων] ὀφθαλμῶν.

Th 784e BV ἐπλάγχθη] ἀπεπλανήθη, ἐστερήθη.

Th 784f I 1 ἐπλάγχθη] ἐχωρίσθη.

Th 784g AbBCHNaMPPdR 1 θTXXcYYaYb ἐπλάγχθη] ἀπεχωρίσθη.

Th 784h AD ἐπλάγχθη] ἐστερήθη.

Th 784i BFdNaOV ἐπλάγχθη] ἐπλανήθη.

Th 784j CV ἐπλάγχθη] ἐξέπεσε.

Th 784k CΞa ἀραίας] ἀρὰς καταρασίμους.

Th 785a BH ἀραίας] κατάρας.

Th 785b PVWYYa ἀραίας] καταρασίμους.

Th 785c AbCNaθTX ἀντιστροφὴ κώλων ζʹ.

Th 786-791 T γράφεται ἀφῆκεν ἐπικότους τροφᾶ ς· στικτέον δὲ εἰς τὸ τροφᾶ ς.

Th 786a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ δὲ σύνταξις τοιαύτη· ἕνεκα δὲ τῆς τροφῆς καὶ τῆς ἀνατροφῆς ἀφῆκε καὶ ἔπεμψε τοῖς τέκνοις ἀραίας καὶ κατάρας ἐπικότους καὶ ὀργίλους καὶ μανικάς, ἀρὰς πικρονόμους ἢ πικρογλώσσους. τὸ δὲ αἶ αἶ διὰ μέσου. P 2a ἐφῆκεν] ἔπεμψεν.

Th 786b CNaθT ἐπικότους τροφά ς· ἐπιβλαβεῖς δὲ ἐντολὰς περὶ τροφῶν ἐφῆκεν αὐτοῖς.

Th 786c M ἐπικότους] μανικάς.

Th 786d ADPYa ἐπικότους] ὀργίλους.

Th 786e AAbBHI 2 NaθTVXc ἐπικότους] χολώδεις.

Th 786f Ξa τροφὰς] ἀνατροφάς· ἠράσατο γὰρ αὐτοῖς πάντα τὸν αὐτῶν αἰῶνα ἐκ παιδὸς μάχαις διαγαγεῖν, ἔπειτα ὕστερον καὶ σιδήρῳ τὴν βασιλείαν διαλαχεῖν.

Th 786g θTΞa τροφὰς] ἀνατροφάς.

Th 786h BT αἶ αἶ] διὰ μέσου.

Th 787a NaPT πικρογλώσσους] + ἤγουν πικράς.

Th 787b AbT ἀρὰς] + κατάρας.

Th 787c T καί σφε σιδαρονόμ ῳ· καὶ κατηράσατο αὐτούς ποτε λαχεῖν καὶ διαμερίσαι τὴν περιουσίαν ἅπασαν ἐν διαχειρίσει τῇ ἀπὸ σιδήρου γινομένῃ, ἤτοι μετὰ πολέμου καὶ σφαγῆς· νῦν δὲ φοβοῦμαι μὴ εἰς τέλος ἀγάγῃ τὰς ἀρὰς ἐκείνου ἡ Ἐριννὺς ἡ καμψίπους, ἡ κάμπτουσα τῶν κολαζομένων τοὺς πόδας καὶ συμποδίζουσα καὶ μὴ ἐῶσα φυγεῖν, ἢ ἡ τοὺς ἑαυτῆς πόδας ἐπικλίνουσα καὶ πρὸς πάντας ἐπερχομένη.

Th 788-791 ABCDHNdP 1 PdSjVW XaYYaYb καί σφε σιδαρονόμ ῳ· καὶ τοῦτο ἐπηράσατο διὰ σιδήρου αὐτοὺς τὴν οὐσίαν κτήσασθαι.

Th 788a M καί σφε] καὶ αὐτοὺς κατηράσατο.

Th 788b ABDNaPPdWYa σιδαρονόμῳ] τῇ διὰ σιδήρου γινομένῃ.

Th 788c AD σιδαρονόμῳ] διὰ σιδήρου τὸν μερισμὸν ποιησάσῃ.

Th 788d θT διαχειρίᾳ] διαχειρήσει.

Th 789a ABVYa διαχειρίᾳ] σφαγῇ.

Th 789b ANaPPdR 1 XY διαχειρίᾳ] φονεύσει.

Th 789c CNbXc διαχειρίᾳ] διαχειρήσει ἀλλήλων.

Th 789d θT διαχειρίᾳ] μάχῃ, πολέμῳ.

Th 789e AbRb διαχειρίᾳ] οἰκονομίᾳ.

Th 789f RaΞa λαχεῖν] διαμερίσαι.

Th 789g ABDHNaPYa λαχεῖν] μερίσαι.

Th 789h PdR 1 V λαχεῖν] + κληρώσασθαι.

Th 789i T κτήματα] τὴν περιουσίαν.

Th 789j AB τρέω] φοβοῦμαι.

Th 790 AAbBHLcLhNaPRaRbT μὴ τελέσῃ καμψίπους Ἐριννύ ς· ἤγουν μὴ εἰς ἔργα ἀγάγῃ καὶ πληρώσῃ τὰς τοῦ Οἰδίποδος ἀρὰς ἡ Ἐριννὺς ἡ καμψίπους καὶ τελεσφόρος, ἡ πάντας πρὸς ἑαυτὴν ἑλκύουσα καὶ ἀντιτιμωροῦσα καὶ κάμπτουσα.

Th 791a V τελέσῃ] πληρώσῃ.

Th 791b AbBCTV τελέσῃ] εἰς ἔργον ἀγάγῃ τὰς τοῦ Οἰδίποδος ἀράς.

Th 791c AD ἡ κάμπτουσα τῶν κολαζομένων τοὺς πόδας, οἱονεὶ ἡ συμποδίζουσα καὶ μὴ ἐῶσα φυγεῖν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 791d I 1 M καμψίπους] ἡ κάμπτουσα τῶν κολαζομένων τοὺς πόδας ἢ ἡ μὴ ἐῶσα τοὺς ἀξίους τιμωρίας φεύγειν.

Th 791e BH καμψίπους] ἡ εἰς πάντας ἐπερχομένη Ἐριννύς.

Th 791f AD καμψίπους] ἡ κάμπτουσα τῶν κολαζομένων τοὺς πόδας.

Th 791g PPdVYa καμψίπους] ἡ συμποδίζουσα καὶ μὴ ἐῶσα φυγεῖν οὓς τιμωρεῖται.

Th 791h θT κῶλα οβʹ.

Th 791i F pc εἴσθεσις μερικῆς διπλῆς.

Th 792-821a οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λʹ. F pc ἡμέτερα· + θαρσεῖτε παῖδε ς· ἡ συστηματικὴ αὕτη περίοδος καὶ αἱ ἑξῆς ἀμοιβαῖοι στίχοι ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι λʹ ὧν τελευταῖος (821)· πέπτωκεν αἷμα γᾶν ἐ π ' ἀλλήλων φόν ῳ.

Th 792-821b ἐπὶ δὲ τῷ τέλει τοῦ συστήματος παράγραφος, ἐπὶ δὲ τῷ τέλει πάντων κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν καὶ εἰσιόντος αὖθις τοῦ χοροῦ. T θαρσεῖτε παῖδε ς· ἄγγελος ὁ καὶ πρότερον ἀπαγγείλας περὶ τῆς τῶν Ἀργείων ἐφόδου, οὗτος καὶ νῦν ἀπαγγέλλει τὴν ἀδελφοκτονίαν. [5]

Th 792a I 1 M θαρσεῖτε παῖδε ς· ἄγγελος ὁ καὶ πρὶν ἀπαγγείλας περὶ τῆς τῶν Ἀργείων ἐφόδου, οὗτος νῦν ἀπαγγέλλει τὴν ἀδελφοκτονίαν καί φησι πρὸς τὰς τοῦ χοροῦ γυναῖκας· μὴ φοβεῖσθε.

Th 792b ABDHP 1 PdSjVWXaXcY YaYb θαρσεῖτε] θάρρος ἔχετε.

Th 792c AbC θαρσεῖτε] + μὴ φοβεῖσθε.

Th 792d T παῖδες] αἱ ὑπὸ μητέρων ἁπλῶς τραφεῖσαι.

Th 792e ADI 3 PPdXYa παῖδες] παρθένοι.

Th 792f BPdX παῖδες] παῖδας λέγει τὰς ἀπὸ τοῦ χοροῦ γυναῖκας.

Th 792g P 2a μητέρων τεθραμμέναι] συγγενεῖς ἢ δειλαί, ὑπὸ μητέρων ἁπλῶς τραφεῖσαι.

Th 792h M ἀντὶ τοῦ παρθένοι· τοὺς γὰρ ἄρρενας οἱ πατέρες παιδεύουσιν.

Th 792i ἢ δειλαὶ ὑπὸ μητέρων ἁπλῶς τραφεῖσαι. I 1 μητέρων τεθραμμένα ι· τὰς ἀπὸ τοῦ χοροῦ φησι γυναῖκας τὰς ἁπλῶς ὑπὸ μητέρων τραφείσας.

Th 792j V τεθραμμέναι] ἀνατραφεῖσαι.

Th 792k BSjVYb τεθραμμέναι] τραφεῖσαι.

Th 792l R 1 Y τεθραμμέναι] ἀνατεθραμμέναι.

Th 792m AbC + εἰκότως εἶπε τὸ τεθραμμέναι πρὸς τὸ παῖδες, ἵνα μή τισι δόξῃ πάνυ νεαρὰς εἶναι τὴν ἡλικίαν, ἀλλὰ τεθραμμένας καὶ εἰς τελείαν ἡλικίαν ἐλθούσας· ἡ γὰρ παιδικὴ ἀτελής ἐστιν ἡλικία.

Th 792n T τεθραμμέναι] + ἀνατεθραμμέναι καὶ εἰς τελείαν ἡλικίαν φθάσασαι.

Th 792o T πόλις πέφευγεν τῆς προσβολῆς καὶ συγκρούσεως τῶν πολεμίων καὶ τῆς ἐκ τούτων ζάλης· τροπικῶς τῷ λόγῳ ἐχρήσατο.

Th 793a V πέφευγεν] ἐξέφευγεν.

Th 793b CSjTYb ἥδε] ἡ ἡμετέρα.

Th 793c ABDNaPPdX δούλειον] δουλικόν.

Th 793d AbBCI 2 LcSjVYb δούλειον] + δουλικόν, ἤγουν τὸ δουλωθῆναι τοῖς ἐχθροῖς.

Th 793e T πέπτωκεν] ἔπεσεν.

Th 794a AbV πέπτωκεν] Πολυνείκους θανόντος.

Th 794b θT ἀνδρῶν] Ἀργείων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 794c NaPθT ὀβρίμων] ἰσχυρῶν.

Th 794d ACHI 2 XYYa ὀβρίμων] μεγαλαύχων.

Th 794e NaPθT κομπάσματα] τὰ παλαιὰ αὐτῶν κομπάσματα.

Th 794f M κομπάσματα] ἀλαζονεύματα.

Th 794g BHT κομπάσματα] ἐπάρσεις, κενοδοξίαι.

Th 794h AYa κομπάσματα] ὑψηγορήματα.

Th 794i NaP πόλις δ ’ ἐν εὐδίᾳ τ ε· ἀλληγορεῖ πάλιν καὶ λέγει ὅτι πολλῶν προσβαλόντων τῇ πόλει οὐδεὶς εἰς αὐτὴν εἰσέπεσεν.

Th 795-798 I 1 M πολλὰ χειμασθεῖσα ἡ πόλις παρὰ τῶν πολεμίων ἀπόρθητος μόλις ἔμενε καὶ ἀβλαβὴς διεσώθη.

Th 795-796 ἐξέφυγε καὶ ἀπηλλάγη τῆς τοῦ χειμῶνος δριμύτητος, φρουρηθείσης καὶ φυλαχθείσης τῆς πόλεως τῇ τῶν θεῶν ἐπιδρομῇ καὶ βοηθείᾳ, κἀκεῖνοι μὲν εἰς ἀντιπαράταξιν τῇ τῶν πολεμίων μάχῃ ἀντέστησαν καὶ πολλὰς κατ’ ἐκείνων τὰς τιμωρίας ἐπήγαγον καὶ εἰς φυγὴν ὤθησαν καὶ ἔτρεψαν, ὡς μὴ δυναμένων κἀκείνων τοῖς θεοῖς ἀντιμαχεσθῆναι καὶ πολεμήσασθαι· ἀνίκητοι γάρ εἰσιν οἱ θεοὶ καὶ ἀπροσπέλαστοι καὶ οὐδέποτε τρέπονται, ἀλλ’ ὅπῃ νεύσειεν ἀκλινεῖς ἵστανται εἰς ἀντιπαράταξιν. V πολλὰ χειμασθεῖσα ἡ πόλις παρὰ τῶν πολεμίων ἀβλαβὴς διεσώθη. [5]

Th 795a X εὐδίᾳ] γαλήνῃ.

Th 795b ABPPdVX εὐδίᾳ] ἡσυχίᾳ.

Th 795c AC εὐδίᾳ] + ἤγουν ἐκτὸς ταραχῆς γέγονεν.

Th 795d T κλυδωνίου] τῆς προσβολῆς τῶν πολεμίων καὶ τῆς ἐκ τούτων ζάλης.

Th 795e τροπικῶς δὲ τῷ λόγῳ ἐχρήσατο. AD κλυδωνίου] ταραχῆς.

Th 795f AbLc πληγαῖς] ταραχαῖς.

Th 796a PPd ἄντλο ν· ναυάγιον, πλημμύρα.

Th 796b ἄντλον δὲ λέγεται τὸ ἀπὸ τοῦ κλύδωνος εἰσερχόμενον ὕδωρ. ἑτοίμως οὖν οἱ ναῦται ἐξαντλοῦσι καὶ χέουσι καὶ ἔξω 〈τὸ ὕδωρ〉 τῆς θαλάσσης ἐκφέρουσιν, ἐξ οὗ καὶ τὸ καλούμενον ἀντλητήριον. V ἄντλο ν· τοῦ κύματος τὸ ὕδωρ, ἤγουν τὸ κῦμα αὐτό.

Th 796c ἀλληγορεῖ δὲ πάλιν καί φησιν ὅτι πολλῶν προσβαλόντων τῇ πόλει οὐδεὶς αὐτὴν εἰσέπεσεν. P 1 PdSj οὐκ ἐδέξατο ἄντλον ἐν ταῖς πολλαῖς πληγαῖς τοῦ κλυδωνίου.

Th 796d X + ἤγουν πολλὰ παθοῦσα ὑπὸ τῶν πολεμίων οὐ κατεποντίσθη.

Th 796e T ἄντλον] τοῦ κύματος τὸ ὕδωρ.

Th 796f M ἄντλο ν· [.

Th 796g ..]. I 1 ἄντλον] κίνδυνον.

Th 796h ἄντλον δὲ ἡ πλημμύρα τοῦ ὕδατος. BH ἄντλον] ναυάγιον, ῥεῦμα.

Th 796i CP ἄντλον] κῦμα.

Th 796j AbPPdRbY ἄντλον] ναυάγιον.

Th 796k ADR 1 VXcYa ἄντλον] κίνδυνον.

Th 796l I 3 Y ἄντλον] ναυάγιον, τὸ ἀπὸ κλύδωνος εἰσερχόμενον ὕδωρ.

Th 796m X ἄντλον] κῦμα καὶ ἀπώλειαν.

Th 796n θT στέγει] ἵσταται.

Th 797a BHNaPdR 1 XYΞa στέγει] ὑγιὴς μένει.

Th 797b DPX στέγει] ὑπομένει.

Th 797c CYYb στέγει] ἀντέχει καὶ σῶος ἵσταται.

Th 797d θT φερεγγύοις] βεβαίοις, τοῖς φέρουσιν ἐγγύην.

Th 797e BHX φερεγγύοις] ἱκανοῖς.

Th 797f BH φερεγγύοις] ἀξιομάχοις, ἱκανοῖς πρὸς φυλακήν.

Th 797g AD φερεγγύοις] ἀξιομάχοις.

Th 797h CYYa φερεγγύοις] βεβαίοις.

Th 797i CI 3 XcYa γράφεται φερεγγύους ἵν’ ᾖ πρὸς τὸ πύλα ς· φερεγγύους πύλας τὰς δυναμένας φέρειν τὴν ἐγγύην.

Th 797j P 2a Pd φερεγγύοις] ἀποχρῶσιν εἰς φυλακήν.

Th 797k θT ἐφραξάμεθα] κατησφαλισάμεθα.

Th 798a ABPdX ἐφραξάμεθα] κατησφαλίσαμεν.

Th 798b CYa ἐφραξάμεθα] ἀσφαλισάμεθα.

Th 798c θT μονομάχοισι] ἀντιστάταις.

Th 798d θ προστάταις] στρατιώταις.

Th 798e BNaP προστάταις] βοηθοῖς.

Th 798f AbCYa προστάταις] ἄρχουσιν, ἀντιστάταις.

Th 798g T καλῶς ἔχει] εὐημερεῖ, εὐτυχεῖ.

Th 799a Ξa καλῶς] εὐτυχῶς.

Th 799b θT τὰ πλεῖστ’] + ἤγουν τὸ πλεῖστον μέρος δηλονότι.

Th 799c T πυλώμασιν] πύλαις.

Th 799d BNaTVY τὰς δ ’ ἑβδόμα ς· ἀξιοπίστως καὶ τὸν ἀριθμὸν τῶν πυλῶν εἴρηκεν· ἡ γὰρ ἑβδόμη, φησί, πύλη 〈.

Th 800-802a ...〉 ἵνα τὰ μαντεύματα τοῦ Ἀπόλλωνος τὰ Λαΐῳ δοθέντα τέλος λάβῃ· ἑβδόμῃ γὰρ ἐγεννήθη Ἀπόλλων. πέπονθεν οὖν οὐχὶ αὕτη ἡ πύλη ἡ ἑβδόμη, ἀλλὰ ὁ φυλάττων αὐτὴν Ἐτεοκλῆς. I 1 M τὰς δὲ ἑβδόμας ὁ σεμνό ς· ἀξιοπίστως καὶ τὸν ἀριθμὸν τῶν πυλῶν ὁ ἄγγελος εἴρηκεν· τὴν δὲ ἑβδόμην, φησί, πύλην προέκρινεν ὁ Ἀπόλλων φυλάττεσθαι τῷ Οἰδίποδος τέκνῳ Ἐτεοκλεῖ, ἵνα τὰ μαντεύματα τοῦ Ἀπόλλωνος τῷ Λαΐῳ δοθέντα πάλαι πέρας λάβοιεν. [5]

Th 800-802b ἑβδόμῃ δὲ ἡμέρᾳ ἐγεννήθη ὁ Ἀπόλλων· διὸ καὶ ἑβδομαγέτας λέγεται. ABCDHNd P 1 PdSjVWXaXcYYaYb τὰς δ’ ἑβδόμας] πύλας. [5]

Th 800a AbBDT σεμνὸς ἑβδομαγέτα ς· λέγει δὲ τὸν Ἀπόλλωνα ὅτι ἐν ἑβδόμῃ ἡμέρᾳ τοῦ μηνὸς γεννηθεὶς ἐκλήθη ἑβδομαγέτας.

Th 800b V ὁ σεμνὸς] ὁ Ἀπόλλων.

Th 800c CSj ὁ σεμνὸς] ὁ σεβάσμιος.

Th 800d LcT ἑβδομαγέτας] ὁ ἐν ἑβδόμῃ γεννηθείς.

Th 800e ACDMPPdSjXYaYb ἑβδομαγέτας] ὁ Ἀπόλλων ὅτι ἐγεννήθη ἐν ἑβδόμῃ ἡμέρᾳ.

Th 800f BH ἑβδομαγέτας] ἤγουν ὁ Ἀπόλλων.

Th 800g XYb ἑβδομαγέτας] διὰ τὸ ἐν ἑβδόμῃ ἡμέρᾳ γεννηθῆναι.

Th 800h

Eulogikon public reading copy · View original HTML at eulogikon.org

NbP ἑβδομαγέτας] ὁ ἐν ταῖς ἑβδόμαις πύλαις ἡγεμονεύων, ἢ ὁ ἐν ἑβδόμῃ γεννηθεὶς καθ' Ἡσίοδον (Op.

Th 800i 771) ἡμέρᾳ· θTΞa + ἐμοὶ ἑβδομαγέτην τὸν Ἀπόλλω λέγειν δοκεῖ ὡς τὴν ἑβδομάδα ἄγοντα· ταῖς γὰρ ἀνατολαῖς αὐτοῦ καὶ δύσεσι τὰς ἡμέρας ποιῶν εἰκότως ἑβδομαγέτης κέκληται· ἑπτὰ γὰρ διαγαγὼν ἡμέρας τὴν ἑβδομάδα ἀποτελεῖ.

Th 800j T ἄναξ] θεός.

Th 801a AB 〈εἵλετ'〉] ἔσωσεν.

Th 801b M εἵλετ'] ἐπελέξατο.

Th 801c I 1 εἵλετ'] προέκρινεν ὥστε φυλάττεσθαι.

Th 801d ABHYa εἵλετ'] προέκρινεν.

Th 801e CNaPPdR 1 RaRbTVYYb εἵλε τ ' Οἰδίπου γένε ι· ἐνέβαλε, προέκρινεν ὥστε φυλάττεσθαι τῷ Ἐτεοκλεῖ.

Th 801f DVX εἵλετ'] διεχώρισε.

Th 801g PPd εἵλετ'] προέκρινε· τοῦτο δὲ λέγει ἐπειδὴ ὁ κατ' ἀλλήλων τοῖς ἀδελφοῖς γινόμενος πόλεμος Ἀπόλλωνος βουλήσει συνέβη διὰ τὴν Λαΐου παρακοήν.

Th 801h θTΞa εἵλετ'] + καθεῖλεν τοὺς ἐν αὐταῖς μαχομένους παραδούς.

Th 801i T εἵλετ'] κατέσχεν.

Th 801j Ξa γένει] τῷ Ἐτεοκλεῖ.

Th 801k AP κραίνων] τελειῶν.

Th 802a AbBCHYa κραίνων] πληρῶν.

Th 802b AVYaΞa κραίνων] τελῶν.

Th 802c ANaθT δυσβουλίας] παρακοάς.

Th 802d AbBNaθT δυσβουλίας] κακοβουλίας.

Th 802e QVYa δυσβουλίας] δυσβούλευτα γὰρ ἐποίησεν ὁ Λάιος παρεωραθεὶς τὸν χρησμόν.

Th 802f Ξa πρᾶγος] πρᾶγμα.

Th 803a AbFdPT νεότοκον] νεωστὶ κατεσκευασμένον.

Th 803b ACDMNaPPdθTYaYb νεότοκον] νεωστὶ προσπεσόν.

Th 803c BHI 3 Xc νεότοκον] νέον.

Th 803d AbRaRbY νεόκοτον] + ἐκ νέας ὀργῆς τῶν θεῶν ἐπελθόν.

Th 803e T νεόκοτον] νεοφανές.

Th 803f Ξa πλέον] ὧν ἴσμεν.

Th 803g T σέσωσται] ἄκουε τὸ πᾶν.

Th 804a BH σέσωσται] ἐσώθη.

Th 804b AbCSjVYb σέσωσται] + σεσωσμένη ἐστί.

Th 804c T βασιλέες] + διὰ τὸ μέτρον.

Th 804d T ὁμοσπόροι] οἱ ἀδελφοί.

Th 804e BC ὁμοσπόροι] αὐτάδελφοι.

Th 804f NaPV ὁμοσπόροι] + οἱ ἐκ τοῦ αὐτοῦ σπέρματος γεννηθέντες.

Th 804g

Eulogikon public reading copy · View original HTML at eulogikon.org

T οἱ ἐκ τοῦ αὐτοῦ σπέρματος, οἱ τῶν αὐτῶν τυχόντες σπερμάτων καὶ τὰς αὐτὰς ὠδῖνας διαλυσάμενοι.

Th 804h Ξa ὁμοσπόροι] οἱ ὁμογενεῖς.

Th 804i Ξa τεθνήκασιν] ἀπέθανον.

Th 805a AbCSjVYb τεθνήκασιν] + ἀπέθανον διὰ τῶν οἰκείων χειρῶν ἀναιρεθέντες.

Th 805b T αὐτοκτόνων] ἀπὸ τῶν οἰκείων.

Th 805c SjYb διὰ τὸ εἶναι μίαν φύσιν τῶν ἀδελφῶν.

Th 805d αὐτοκτόνος ὁ αὐτὸν φονεύσας. Ξa τίνες] ἀπέθανον.

Th 806a AbCP παραφρονῶ] μαίνομαι.

Th 806b PSjYb παραφρονῶ] παράνους γίνομαι.

Th 806c BH παραφρονῶ] τῶν φρενῶν ἐξίσταμαι· εἰπὼν γὰρ ταῦτα εἰς φόβον ἐνέβαλες.

Th 806d θT παραφρονῶ] ἔξω τῆς φρονήσεως γίνομαι.

Th 806e Ξa φρονοῦσα] μὴ μαίνῃ.

Th 807a NaP φρονοῦσα] + ἤγουν συνάξασα τὸν νοῦν σου ἄκουσον.

Th 807b T φρονοῦσα] ἤτοι ἔχουσα τὴν φρόνησιν καθεστηκυῖαν καὶ σώαν.

Th 807c Ξa τὸ ἑξῆς· τὸ γένος τοῦ Οἰδίποδος, ἤγουν οἱ παῖδες τοῦ Οἰδίποδος, ἀναμφιλέκτως εἰσὶν εἰς γῆν κείμενοι· τὸ δὲ οἲ ἐγὼ διὰ μέσου ὡς θαυμάζοντος τοῦ χοροῦ.

Th 807d I 1 γένος] ἔθανε.

Th 807e BY γένος] τεθνᾶσιν, πρὸς τὸ σημαινόμενον.

Th 807f I 3 Xc γένος] ὤλετο.

Th 807g SjYb γένος] τεθνεός.

Th 807h AbRb γένος] τέθνηκεν.

Th 807i θT τάλαινα] ἀθλία.

Th 808a AbCYb μάντις εἰμὶ τῶν κακῶ ν· λαμβάνει κατὰ νοῦν ὁ χορὸς ἃ πρότερον τὸν Ἐτεοκλέα προεῖπε μέλλοντα τῷ ἀδελφῷ συμβαλεῖν καί φησιν· ὡς ἔοικε μάντις εἰμὶ τῶν κακῶν· προεῖπον γὰρ αὐτά.

Th 808b I 1 〈μάντις εἰμὶ〉 ] προεῖπον γὰρ αὐτά.

Th 808c M προεῖπε γὰρ ὁ χορὸς ὅτι ἀναιρεθήσονται οἱ ἀδελφοί.

Th 808d ABDNaPPd VX τῶν κακῶν] τῶν νῦν· πάλαι γὰρ ὁρῶσα αὐτοὺς εἰς μάχην σπεύδοντας ἐμαντευσάμην ταυτί.

Th 808e θTΞa οὐ δ ’ ἀμφιλέκτω ς· ἤτοι οὐδ’ ἀμφιβόλως καὶ ἀπιθάνως καὶ δυσχερῶς, ἀλλ’ ἀληθῶς καὶ ἀναμφιβόλως εἰσὶ τῇ σποδῷ κεκονιαμένοι, κατακεχωσμένοι, ἀνῃρημένοι.

Th 809a V οὐδ’ ἀμφιλέκτως] οὐδ’ ἀμφιβόλως, ἀλλ’ ἀληθῶς.

Th 809b ABDTXYa οὐδ’ ἀμφιλέκτως] ἀναμφιβόλως.

Th 809c AbCSjYb ἀμφιλέκτως] ἀμφιβόλως.

Th 809d HMNaPPdθVYΞa κατεσποδημένοι] οἱ καὶ τῇ σποδῷ καὶ τῷ χοΐ κεκονισμένοι ὡς ἀναιρεθέντες.

Th 809e AD κατεσποδημένοι] κατακεχωσμένοι τῇ σποδῷ καὶ τῇ κόνει.

Th 809f BH κατεσποδημένοι] σποδῷ κεκονιαμένοι.

Th 809g PPdVX κατεσποδημένοι] κεκονιαμένοι.

Th 809h

Eulogikon public reading copy · View original HTML at eulogikon.org

I 2 NaQ κατεσποδημένοι] πεπτωκότες.

Th 809i θT κατεσποδημένοι] ἐπὶ τῇ σποδῷ τῆς γῆς κείμενοι.

Th 809j R 1 Ξa ἐκεῖθι κἦλθο ν· εἰς τοσοῦτον ἦλθον ὥστε καὶ φονευθῆναι τὸν βασιλέα; M ἐκεῖθι κἦλθον] εἰς τοσοῦτον ἦλθον ὥστε φονευθῆναι.

Th 810b ADP ἐκεῖθι κἦλθον] εἰς τὸ φονεῦσαι ἀλλήλους.

Th 810c BHPPdQR 1 ἐκεῖθι κἦλθον] εἰς τὸ ἀποκτεῖναι εἷς τὸν ἕτερον.

Th 810d X ἐκεῖθι κἦλθον] εἰς τοῦτο ἦλθον, εἰς τὸ ἀποκτεῖναι ἑτέρους.

Th 810e CSjYb ἐκεῖθι κἦλθον] ἐνταῦθα ἤγουν εἰς τὸ θανεῖν.

Th 810f θT βαρέα] χαλεπὰ μὲν καὶ ἀφόρητα θέλεις εἰπεῖν· ὅμως δ’ οὖν εἰπέ.

Th 810g A βαρέα] ἅπερ ἐρεῖς.

Th 810h T φράσον] εἰπέ.

Th 810i AbCTV οὕτως] οὕτως ἐφονεύθησαν ὑπ’ ἀλλήλων οἱ ἀδελφοί.

Th 811a A οὕτως] ὠμῶς, ἀγρίως καὶ ἀπηνῶς· τὸ δὲ οὕτως αὐτὸ καθ’ ἑαυτὸ τὴν σύνταξιν ἔχει.

Th 811b Ξa ἀδελφαῖς] ἀδελφικαῖς.

Th 811c BCNaPθTV ἠναίροντ’] ἐφονεύθησαν.

Th 811d AbBHI 3 PPdQθTXcYaYb ἠναίροντ’] ἐφονεύοντο.

Th 811e CNaR 1 ἄγαν] ἤγουν παντελῶς.

Th 811f θT οὕτως] ὡς φῂς ὅτι τεθνήκασι.

Th 812a Ξa ὁ δαίμων] ἡ Ἐριννύς.

Th 812b BH ὁ δαίμων] ἡ δυστυχία.

Th 812c BPPd ὁ δαίμων] ἡ τύχη.

Th 812d HNaVYa ὁ δαίμων] ἡ τοῦ θανάτου εἱμαρμένη.

Th 812e θT ὁ δαίμων] ἤγουν μετάληψις τοῦ φόνου.

Th 812f Ξa ἅμα] + ὥστε ἅμα θανεῖν.

Th 812g T ἅμα] + ἐκ παραλλήλου τὸ κοινὸν καὶ τὸ ἅμ α.

Th 812h T αὐτὸς δ ’ ἀναλο ῖ· ὁ Ἀπόλλων ἀναλίσκει τὸ τοῦ Οἰδίποδος γένος.

Th 813a AMPVX αὐτὸς] ὁ Ἀπόλλων.

Th 813b BHNa αὐτὸς] ὁ δαίμων.

Th 813c AbNaPPd ἀναλοῖ] ἀφανίζει.

Th 813d ABHVXcYYa ἀναλοῖ] φθείρει.

Th 813e NaNbP ἀναλοῖ] ἀναλίσκει.

Th 813f AbR 1 TWXΞa ἀναλοῖ] ἀπόλλυσι.

Th 813g θT δύσποτμον] τὸ δυστυχές.

Th 813h BHTVΞa δύσποτμον] ἄθλιον.

Th 813i θT γένος] τοῦ Οἰδίποδος.

Th 813j BYa τοιαῦτα χαίρει ν· τοιαῦτα πάρεστι χαίρειν καὶ δακρύειν· χαίρειν μὲν τὴν πόλιν ὡς εὖ πράσσουσαν ἤτοι σωθεῖσαν, οἱ δὲ τῆς πόλεως ἄρχοντες καὶ βασιλεῖς, οἱ δισσοὶ καὶ δύο στρατηγοί, ὁ Ἐτεοκλῆς καὶ ὁ Πολυνείκης, διέλαχον καὶ διεμέρισαν τὴν παμπησίαν καὶ τὴν

κτῆσιν καὶ τὴν διανομὴν τῶν κτημάτων ἐν τῷ διὰ σφύρας χαλκευομένῳ σιδήρῳ Σκύθῃ, τῷ ἀπὸ Σκυθίας ὄντι· ἐκεῖσε γὰρ γεννᾶται ὁ σίδηρος. [5]

Th 814-817 σφυρήλατον δὲ σίδηρον τὴν σπάθην καλεῖ. ABCDHNdP 1 PdSjVWXaYYaYb ἢ καὶ οὕτως· τοιαῦτα, γεγόνασι δηλονότι, ὥστε χαίρειν ἡμᾶς· στικτέον δὲ εἰς τὸ χαίρει ν.

Th 814-815 τὸ δὲ ἑξῆς οὕτως· καὶ πάρα καὶ πάρεστιν, ἡμῖν δηλονότι, δακρύσασθαι καὶ θρηνῆσαι τὴν πόλιν· οἱ δὲ ἐπιστάται τόδε καὶ τόδε. P 2a τοιαῦτα χαίρει ν· χαίρειν μὲν ἐπὶ τῷ τὴν πόλιν σωθῆναι· δακρύειν δὲ ἐπὶ τοῖς θανοῦσιν.

Th 814a AVYYa τοιαῦτα χαίρειν] διὰ τὴν ἧτταν τῶν πολεμίων.

Th 814b θT δακρύεσθαι] δακρῦσαι.

Th 814c BC δακρύεσθαι] δακρύειν.

Th 814d PT δακρύεσθαι] διὰ τὸν ὄλεθρον τῶν βασιλέων.

Th 814e θT πόλιν] χαίρειν πάρεστι.

Th 815a BHTXc εὖ πράσσουσαν] εὐτυχοῦσαν.

Th 815b CV εὖ πράσσουσαν] + καλῶς ἔχουσαν καὶ μὴ κινδυνεύσασαν.

Th 815c T εὖ πράσσουσαν] τῆς πόλεως εὐτυχούσης.

Th 815d Ξa εὖ] καλῶς.

Th 815e AbBP ἐπιστάται] οἱ βασιλεῖς.

Th 815f ABDY ἐπιστάται] οἱ ἡγεμόνες.

Th 815g CSjYb ἐπιστάται] οἱ ἄρχοντες.

Th 815h BNaVΞa ἐπιστάται] ἄρχοντες ἡμῶν καὶ τῶν πολεμίων Ἐτεοκλῆς καὶ Πολυνείκης.

Th 815i θT δισσὼ] δύο.

Th 816a AAbC δισσὼ] οἱ δύο στρατηγοί.

Th 816b NaPPdV δισσὼ] οἱ δύο, Ἐτεοκλῆς καὶ Πολυνείκης.

Th 816c T διέλαχον] διεμέρισαν.

Th 816d BHPVYa διέλαχον] ἐκληρώσαντο.

Th 816e NaPPd διέλαχον] διεμοίρασαν.

Th 816f AD διέλαχον] διεμερίσαντο.

Th 816g AbCθT σφυρηλάτῳ] διὰ σφύρας κατασκευασθέντι.

Th 816h ADT Σκύθῃ] τῷ ἀπὸ Σκυθίας ὄντι.

Th 817a ABP Σκύθῃ] Σκυθικῷ.

Th 817b AbBCNaR 1 VXcYYaΞa Σκύθῃ] Σκυθικῷ παρόσον οἱ Χάλυβες εὗρον αὐτόν.

Th 817c θT σιδήρῳ] σπάθῃ.

Th 817d BNaPV παμπησία ν· περιουσίαν παρὰ τὸ πῶ τὸ κτῶμαι.

Th 817e I 1 παμπησία ν· περιουσίαν, διανομήν, ὁλοκληρίαν ἀπὸ τοῦ πᾶν παντὸς καὶ τοῦ πῶ τὸ κτῶμαι.

Th 817f λέγεται δὲ ἡ πᾶσα περιουσία τοῦ βίου. ADV WXY παμπησίαν] καὶ τὴν περιουσίαν ἀπὸ τοῦ πῶ τὸ κτῶμαι.

Th 817g BPXc παμπησίαν] τὴν περιουσίαν.

Th 817h ACHM 2 NaPPdR 1 Y παμπησίαν] διανομήν.

Th 817i AB παμπησίαν] πᾶσαν τὴν περιουσίαν.

Th 817j θT παμπησίαν] τὸν κλῆρον τὸν πατρικόν.

Th 817k Ξa ἕξουσι ἣν λάβωσι ν· λάβωσι δὲ τοσαύτην γῆν ἕκαστος εἰς οἰκείαν μερίδα, ὅσην ἕξουσιν ἀρκοῦσαν αὐτοῖς πρὸς ταφήν, φερόμενοι καὶ ἀγόμενοι ὥσπερ κατηράσατο αὐτοῖς ὁ πατὴρ Οἰδίπους.

Th 818-819a ABCHNdP 1 PdSjVWXaYYaYb συντακτέον καὶ οὕτως οἱ στίχοι οὗτοι· ἕξουσι δ' ἣν λάβωσιν ἐν ταφῇ χθονὸς πατρὸς κατ' εὐχὰς δυσπότμους φορούμενοι.

Th 818-819b P 2a ἕξουσι δὲ ἣν τῆς χθονὸς λάβωσιν ἐν ταφῇ, τουτέστιν ἣν γῆν ταφέντες κτήσονται.

Th 818a ἢ τὸ ἣν διὰ τὴν παμπησίαν νόει οὕτως· ἕξουσι δὲ ἐκείνην τὴν περιουσίαν ἣν λάβωσιν ἐν ταφῇ χθονός· καὶ γὰρ καὶ ἡ γῆ εἰς ἣν ἔμελλον ταφήσεσθαι μέρος ἦν τῆς περιουσίας αὐτῶν. θT ἕξουσι] λάβωσι.

Th 818b AB ἕξουσι] λήψονται.

Th 818c AbC ἕξουσι] κληρονομήσουσι.

Th 818d NaP ἣν] κληρονομίαν, τὴν γῆν ἐκείνην.

Th 818e CXc ἣν] τόσην γῆν.

Th 818f BHPR 1 X χθονὸς] ὅσον ἐνταφῆναι.

Th 818g M χθονὸς] τῆς γῆς.

Th 818h AAbTV κατ' εὐχὰς] κατὰ τὴν βούλησιν τῶν εὐχῶν.

Th 819a Ξa εὐχὰς] κατάρας.

Th 819b AbPPdθTV δυσπότμους] δυστυχεῖς.

Th 819c AbBFdNaRbTV δυσπότμως] δυστυχῶς.

Th 819d LcLh δυσπότμους] δυστυχεῖς ἐπειδήπερ εὐχὰς εἶπεν· τὸ δὲ τῆς εὐχῆς ὄνομα ἐπὶ καλοῦ λαμβάνεται· διὰ τοῦτο εἶπε δυσπότμου ς.

Th 819e θT φορούμενοι] φερόμενοι.

Th 819f AbBHNaPPdQθT φορούμενοι] ἀγόμενοι.

Th 819g BV φορούμενοι] κινούμενοι, περιαγόμενοι.

Th 819h AD σέσωσται] ἐσώθη.

Th 820a AbCV σέσωσται] ἐφυλάχθη.

Th 820b SjYb σέσωσται] πεφύλακται.

Th 820c Ξa σώζω τὸ σῶον.

Th 820d τὸ σῶον καὶ ὁλόκληρον καὶ ἀμείωτον καὶ ἀκολόβωτον ποιῶ. Ξa βασιλέοιν] + τῶν αὐταδέλφων βασιλέων.

Th 820e T γράφεται καὶ οὕτως ὁ στίχος· πέπωκεν αἷμα γα ῖ ' ὑ π ' ἀλλήλων φόν ῳ.

Th 821a P 2a πέπωκεν] ἔπιεν.

Th 821b ABDT πέπτωκεν] ἔπεσεν.

Th 821c SjYb ὦ μεγάλε Ζε ῦ· ὁ χορὸς οὗτος συνίσταται ἐκ κώλων καὶ στίχων με′ ὧν τὰ πρῶτα δέκα ἀναπαιστικά.

Th 822-870 τὰ μὲν πρῶτα δύο δίμετρα ἀκατάληκτα, τὸ γ′ μονόμετρον, τὰ ἑξῆς πέντε δίμετρα ἀκατάληκτα, τὸ ἔννατον μονόμετρον, τὸ δὲ ι′ δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται παροιμιακόν. εἶτα μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξεν. εἰσὶν οὖν τὰ ἑξῆς δύο κῶλα τροχαϊκά, τὸ πρῶτον δίμετρον ἀκατάληκτον, τὸ δὲ δεύτερον ἑφθημιμερές, ὁ ιγ′ ἰαμβικὸς

στίχος τρίμετρος ἀκατάληκτος, τὰ ἑξῆς β′ κῶλα τροχαϊκὰ ἑφθημιμερῆ, τὰ ἑξῆς δύο κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα, τὰ ἑξῆς γ′ τροχαϊκά, τὸ β′ δίμετρον ἀκατάληκτον, τὰ δὲ β′ ἑφθημιμερῆ, ὁ κα′ ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος, τὰ ἑξῆς δ′ ἰαμβικὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ε′ τροχαϊκὸν ἑφθημιμερές, ὁ κζ′ ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος, τὰ ἑξῆς δ′ κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ε′ τροχαϊκὸν ἑφθημιμερές. εἶτα μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξεν. εἰσὶν οὖν στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ε′, ἐν ἐκθέσει δὲ κῶλον ἀναπαιστικὸν ἑφθημιμερὲς ὅμοιον τοῖς ἑξῆς· ἔθος γάρ ἐστι τοῖς ποιηταῖς ἐν ταῖς ἐκθέσεσι τῶν μελῶν τοιαῦτα κῶλα τιθέναι ὅμοια τοῖς ἑξῆς. εἶτα μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξεν αὖθις. καὶ εἰσὶ κῶλα ἀναπαιστικὰ θ′ ὧν τὰ μὲν ἑπτὰ δίμετρα ἀκατάληκτα, τὸ η′ μονόμετρον, ὃ καὶ παρατέλευτον ὀνομάζεται· ἔθος γάρ ἐστιν ἐν ταῖς ἐκθέσεσι τῶν μελῶν ὡς ἐπὶ τὸ πλεῖστον τὸ παρατέλευτον κῶλον τιθέναι. τὸ δὲ θ′ κῶλον ἐστὶν ἑφθημιμερές, ὃ καλεῖται παροιμιακόν· σύνηθες γὰρ τὸ ἑφθημιμερὲς ἐν τῷ τέλει κεῖσθαι τοῦ μέλους. F pc σύστημα ἐπιφθεγματικὸν κώλων ι′. [20]

Th 822-831a Τ ἡμέτερον· + ὦ μεγάλε Ζε ῦ· τὸ παρὸν εἶδος τοῦ χοροῦ ἑτέρως ἐστὶν ἐσχηματισμένον· ἔχει γὰρ πρῶτον ὡς ἐν τάξει προῳδοῦ σύστημα ἐπιφθεγματικὸν ὀνομαζόμενον ἀνομοιομερὲς κώλων ἀναπαιστικῶν ι′, εἶτα στροφὴν καὶ ἀντιστροφὴν καὶ ἐπῳδὸν καὶ συστήματα ἕτερα ἁρμόζοντα τῇ χρείᾳ τῆς ὑποθέσεως. [5]

Th 822-831b εἰσὶ γοῦν τοῦ παρόντος συστήματος τὰ κῶλα, ὡς εἴρηται, ἀναπαιστικά, ὧν τὸ γ′ καὶ θ′ μονόμετρον, ἤτοι ἀναπαιστικὴ βάσις, τὰ λοιπὰ δίμετρα ἀκατάληκτα· τὸ δὲ δέκατον δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει μόνη παράγραφος. Τ ὦ μεγάλε Ζεῦ καὶ πολισσοῦχοι θεο ί· ὦ μέγιστε Ζεῦ καὶ οἱ τὰς πόλεις συνέχοντες θεοί, οἵτινες δὴ ῥύεσθε καὶ φυλάττετε τούτους τοὺς πύργους τοῦ Κάδμου, ἤτοι τῆς πόλεως τῶν Θηβαίων, ἆρα χαίρω καὶ ὑμνήσω καὶ παιανίσω ἐπὶ τῇ τῆς πόλεως σωτηρίᾳ, ἢ θρηνήσω καὶ ἀποκλαύσομαι τοὺς τληπαθεῖς καὶ δυστυχεῖς πολεμάρχους, ἤγουν τὸν Ἐτεοκλέα καὶ τὸν Πολυνείκην; φρονίμως δὲ ὁ ποιητὴς μέσην ὁδὸν ἔδραμε καὶ σωθείσης τῆς πόλεως ἄτοπον ἡγεῖται τὸ θρηνεῖν. [5]

Th 822-828 ABCDHNdP 1 PdSjVWXaXcYYaYb ὁ τρόπος ἐξοχή· Ζεῦ ἄλλοι τε θεοί (Hom.

Th 822a Z 476). ADI 1 M μεγάλε] μέγιστε.

Th 822b BHVXcYb μεγάλε] μέγα.

Th 822c AbSjYaYb μεγάλε] κραταιὲ καὶ ἰσχυρέ.

Th 822d Ξa πολισσοῦχοι] οἱ τὰς πόλεις συνέχοντες.

Th 822e BHPTVY πολισσοῦχοι] φυλακτικοὶ τῆς πόλεως.

Th 822f SjYb πολισοῦχοι] + διὰ τὸ μέτρον.

Th 822g Τ πολισσοῦχοι] φύλακες τῆς πόλεως.

Th 822h Ξa δαίμονες] θεοί.

Th 823a AAbBCT πύργους] ἤτοι τὰς Θήβας.

Th 823b BH πύργους] + ἤγουν τὴν πόλιν.

Th 823c R 1 T τούσδε ῥύεσθε] μονόμετρον.

Th 824a F pc ῥύεσθε] φυλάσσετε.

Th 824b ABCPTYYaΞa πότερον χαίρ ω· φρονίμως ὁ ποιητὴς μέσην ὁδὸν ἔδραμεν καὶ σωθείσης τῆς πόλεως ἄτοπον 〈ἡγεῖται〉 τὸ θρηνεῖν· καὶ οὐχ ὁσίη κταμένοισιν ἐ π ’ ἀνδράσιν εὐχετάασθαι (Hom.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 825a χ 412). I 1 M πότερον] + ποῖον ἕτερον ποιήσω δηλονότι.

Th 825b T ἀπολολύξω] ὑμνήσω.

Th 825c ABHNaPPdQR 1 XYa ἀπολολύξω] εὔξομαι.

Th 825d BHXcYa ἀπολολύξω] παιανίσω.

Th 825e AAbCDPθT ἀπολολύξω] καὶ θαυμάσω καὶ ᾄσω.

Th 825f Ξa ἀσινεῖ] ἀβλαβεῖ.

Th 826a BCHNaPQTVXΞa ἀσινεῖ] ἐπὶ τῇ σωτηρίᾳ.

Th 826b BPX ἀσινεῖ] ἀβλαβεῖ· τοῦτο γὰρ τοῦ σωτῆρος ἐπίθετον.

Th 826c θ σωτῆρι] τῇ σωτηρίᾳ τῆς πόλεως.

Th 826d PPdQYa σωτῆρι] ἀποκοπή· σωτηρίᾳ γὰρ ὤφειλε εἰπεῖν.

Th 826e BXc μογεροὺς] τληπαθεῖς.

Th 827a ABPY μογεροὺς] ἀθλίους.

Th 827b CNaθT δυσδαίμονας] δυστυχεῖς.

Th 827c AAbBCDNaθTV ἀτέκνους] ἐπὶ κακῷ τεχθέντας.

Th 828a M ἀτέκνου ς· τοὺς ἐπὶ κακῷ τεκνωθέντας, τοὺς μὴ τεκνογονήσαντας.

Th 828b I 1 ἀτέκνους] τοὺς ἐπὶ κακῷ τεκνωθέντας.

Th 828c ABCDHQXc ἀτέκνου ς· τοὺς ἐπὶ κακῷ τεχθέντας ἢ ἀτέκνους θανόντας· οἳ δή, φησίν, ὀρθῶς κατ' ἐπωνυμίαν πολυνεικεῖς ὤλοντο.

Th 828d P 1 PdSj ἀτέκνους] τοὺς ἐπὶ κακῷ τεκνωθέντας τῷ πατρὶ καὶ τῇ μητρί.

Th 828e AbPPdX ἀτέκνους] τοὺς μὴ τέκνα εἰς διαδοχὴν τοῦ γένους αὐτῶν λιπόντας.

Th 828f θT ἀτέκνους] καὶ κακοπαῖδας, ἤγουν κακοὺς παῖδας ἐπὶ κακῇ μοίρᾳ γεγενημένους.

Th 828g Ξa κλαύσω] θρηνήσω.

Th 828h BCV πολεμάρχους] τὸν Ἐτεοκλῆν καὶ τὸν Πολυνείκην.

Th 829a AP πολεμάρχους] τοὺς στρατηγούς.

Th 829b BH οἳ δῆ θ ' ὀρθῶ ς· ὀρθῶς οὖν καὶ ἐπωνύμως Ἐτεοκλῆς καὶ Πολυνείκης ἐκλήθησαν.

Th 829c M τὸ μὲν [ οἱ δ ' ὀρθῶ ς] ταὐτὸν τῷ ἐτεοκλεῖς διὰ τὸν Ἐτεοκλῆ[ν .

Th 829d .....], πολυνεικεῖς διὰ τὸν Πολυνείκην. I 1 οἵτινες δῆτ' ὀρθῶς καὶ προσηκόντως Ἐτεοκλῆς καὶ Πολυνείκης ἐκλήθησαν.

Th 829e APVYYa ὀρθῶς] οἰκείως.

Th 829f θT ὀρθῶς] ἀληθῶς.

Th 829g TV σύλληψις τὸ σχῆμα.

Th 830a B πολυνεικεῖς] + τὸ τοῦ ἑνὸς ὄνομα εἰς ἀμφοτέρους ἐκλαμβάνει· ἀμφότεροι γὰρ ἐφιλονείκουν.

Th 830b T ὤλοντ'] ἐφθάρησαν.

Th 831a AAbBCH ὤλοντ'] + ἀπώλοντο.

Th 831b T ἀσεβεῖ διανοίᾳ] κακῇ γνώμῃ.

Th 831c BCHXcYa ἀσεβεῖ διανοίᾳ] + παρανόμῳ γνώμῃ.

Th 831d T ἀσεβεῖ διανοίᾳ] ἀσεβῆ διανοηθέντες.

Th 831e Ξa στροφὴ κώλων η'.

Th 832-839a T ἡμέτερον· + ὦ μέλαιν α· τῆς παρούσης στροφῆς τὰ κῶλα η' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα.

Th 832-839b τὸ α′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον καθαρόν, τὸ β′ ὅμοιον δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς Εὐριπίδειον, τοῦ πρώτου ποδὸς χορείου. τὸ γ′ ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ δ′ περίοδος καταληκτικὴ ἐξ ἰαμβικῆς συζυγίας καὶ τροχαϊκῆς καταληκτικῆς· εἰ δὲ βούλει, χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ διιάμβου καὶ δακτύλου. τὸ ε′ ὅμοιον τῷ β′ τροχαϊκὸν καθαρόν. τὸ ϛ′ καὶ ζ′ ἰαμβικὰ καθαρὰ δίμετρα ἀκατάληκτα. τὸ η′ τροχαϊκὸν καθαρὸν ὅμοιον τῷ β′. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος μόνη. T ὦ μέλαινα καὶ τελεί α· ὦ μέλαινα καὶ τελειουμένη ἐπὶ τῷ γένει τοῦ Οἰδίποδος ἀρά, κρύος καὶ φόβος τις κακὸς καὶ χαλεπὸς περιπίπτει τῇ καρδίᾳ μου, ἢ φόβος κακοῦ ἀντὶ τοῦ κινδύνου. [5]

Th 832-834 ABHP 1 PdSj VWXaYYaYb τροχαϊκὰ β′.

Th 832-833 F pc μέλαινα] ἡ σκοτοποιός.

Th 832a PPd μέλαινα] σκότους καὶ θανάτου αἰτία.

Th 832b θT μέλαινα] καὶ σκοτεινή, ζοφώσεως καὶ λύπης καὶ φθορᾶς αἰτία.

Th 832c Ξa καὶ τελεία γένεο ς· καὶ τελουμένη ἐπὶ τῷ γένει τοῦ Οἰδίποδος ἀρά.

Th 832d I 1 M τελεία] τελειουμένη.

Th 832e ABHP τελεία] εἰς τέλος ἐλθοῦσα.

Th 832f θTΞa γένεος] ἤτοι τῶν παίδων.

Th 833a θT τ’] τὸ τε παρέλκον.

Th 833b PPd ἀρά] κατάρα.

Th 833c CV ἰαμβικὸς τρίμετρος.

Th 834a F pc καρδίᾳ] ὅλον καὶ μέρος.

Th 834b θT περιπίτνει κρύος] περιπίπτει φόβος κακοῦ.

Th 834c M περιπιτνεῖ κρύος] φρίσσω, δέδοικα.

Th 834d I 1 περιπιτνεῖ] περιπίπτει.

Th 834e BCLcPdTV περιπιτνεῖ] ἐπέρχεται.

Th 834f AHXY πίτνω γίνεται ἀπὸ τοῦ πέτω καὶ πλεονασμῷ τοῦ ν γίνεται πίτνω διὰ τὸν κανόνα τὸν λέγοντα· ἡνίκα πλεονάσῃ σύμφωνον 〈συμφώνῳ ἔχοντι〉 παραληγόμενον ἔχον τὸ ε, τρέπεται 〈τὸ ε〉 εἰς ι.

Th 834g Ya κρύος] φόβος.

Th 834h ACNaPPdR 1 VX κρύος] λύπη, κίνδυνος, φόβημα.

Th 834i BH κρύος] τρόμος.

Th 834j θT ἔτευξα τύμβῳ μέλο ς· ἤτοι κατεσκεύασα καὶ ἐποίησα μέλος ἐπὶ τύμβῳ, ἤγουν θρῆνον ἐπιτύμβιον, ὡς θυὰς καὶ ὡς βάκχη, κλύουσα καὶ ἀκούουσα αὐτοὺς καὶ μαθοῦσα νεκροὺς αἵματι βεβρεγμένους δυσμόρως θανόντας ὑπὸ δορὸς ἀλλήλων.

Th 835-839 ABCDHNdP 1 PdSjVWXaXcY YaYb ἔτευξα τύμβῳ μέλο ς· τὸ ἑξῆς· κλύουσα αὐτοὺς δυσμόρως θανόντας ὑπὸ δορὸς ἀλλήλων ἐπιτυμβίδιον θρῆνον ἔτευξα ὡς θυιάς. [5]

Th 835-838 M τροχαϊκὰ β′.

Th 835-836 F pc ἔτευξα] κατεσκεύασα.

Th 835a ABCDHPdθTXXcYaYbΞa ἔτευξα] ἐποίησα.

Th 835b AbBV τύμβῳ] τῷ τάφῳ.

Th 835c ALcTV μέλος] θρηνώδημα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 835d AXc θυὰς] ὡς βάκχη.

Th 836a AAbBCHNaPPdR 1 θTVXXcYYaYb θυὰς] ἐκστᾶσα ἐμαυτῆς.

Th 836b Ξa αἱματοσταγεῖς] τοὺς αἵματι βεβρεγμένους.

Th 836c BHPV αἱματοσταγεῖς] ᾑμαγμένους τῷ φόνῳ.

Th 836d θT αἱματοσταγεῖς] τοῦ ἀπὸ τοῦ φόνου γεγονότος.

Th 836e Ξa κλύουσα] ἀκούουσα.

Th 837a AAbBCTV κλύουσα] μαθοῦσα.

Th 837b BPR 1 δυσφόρους] δυσμόρους ὑπὸ δορὸς ἀλλήλων.

Th 837c BHV δυσμόρως] δυστυχῶς.

Th 837d AbNb δυσμόρως] κακοθανάτως.

Th 837e T θανόντας · ἦ δύσορνι ς· ὄντως δυσοιώνιστος καὶ οὐ κατὰ σκοπὸν γέγονεν αὐτοῖς ν συμφορὰ καὶ ἡ συνέλευσις τῆς μάχης, ἐπεὶ κακῶς συνῆλθον εἰς μάχην.

Th 838-841 ἡ δὲ τοῦ Οἰδίποδος κατάρα ἐξέπραξε καὶ εἰς τέλος ἤγαγε τὰ κακὰ οὐδ’ ἀπεῖπεν οὐδ’ ἀπηγόρευσε τὸ ποιῆσαι τὰ δεινά. ABC DHNDP 1 PdSjVWXaXcYYa ἦ δύσορνις ἄδ ε· δυσοιώνιστος γέγονεν αὐτοῖς ἡ συμρορὰ τῆς μάχης· ἐπὶ κακῷ συνῆλθον εἰς μάχην. [5]

Th 838a *M ἦ δύσορνι ς· δυσοιώνιστος [γέγονεν] αὐτοῖς ἡ συμφορὰ τῆς μάχης, ἤγουν ἐπὶ κακῷ [συνῆλ]θον εἰς μάχην.

Th 838b καὶ ἄλλως· ἡ δύσ[ορνις συ]μφορὰ τῆς μάχης ἐξέπραξε τὸ ἑαυτῆς [καὶ εἰς] τέλος ἦλθεν. *I 1 δύσορνις] κακόμαντις ὑπῆρχεν· τίς γὰρ ὁρῶν αὐτοὺς ξυμβαλόντας ἀλλήλοις εἰς μάχην οὐκ ἂν ἅπερ ἔπαθον ἐμαντεύσατο; ξυναυλίαν δὲ δορὸς λέγει τὴν ἕνωσιν καὶ τὴν συμβολὴ τοῦ πολέμου.

Th 838-839 θT δύσορνις] δυσοιώνιστος.

Th 838c ABDHPSjVYb δύσορνις] κακόμαντις.

Th 838d AbKLhNbPPdR 1 RbTXcY δύσορνις] δυστυχής.

Th 838e R 1 X δύσορνις] κακομαντευτός.

Th 838f Ξa ἅδε ξυναυλία δορὸς] ἡ συνέλευσις τῆς μάχης.

Th 839a APPdX ξυναυλία] συνέλευσις.

Th 839b BCDHI 1 PVXcY ξυναυλία] ὁμιλία.

Th 839c BH ξυναυλία] ἤτοι ἡ τούτων μονομαχία.

Th 839d AbRb ξυναυλία] ἕνωσις.

Th 839e AbLcNa ξυναυλία] ἡ ἕνωσις καὶ συμβολὴ τοῦ πολέμου.

Th 839f T ξυναυλία] ἡ συνάφεια τοῦ πολέμου.

Th 839g Ξa δορός] τῆς μάχης.

Th 839h SjYb ἀντιστροφὴ κώλων η'.

Th 840-847 T ἐξέπραξεν] εἰς τέλος ἤγαγεν τὰ κακά.

Th 840a BHPVΞa ἐξέπραξεν] εἰς τέλος ἐξῆλθεν.

Th 840b ADX ἐξέπραξεν] ἐτελέσθη.

Th 840c PPd ἐξέπραξεν] ἐτελείωσεν.

Th 840d CXc ἐξέπραξεν] ἐτελείωσεν ἑαυτὴν ἢ ἠφάνισεν ἐκείνους.

Th 840e

θT οὐδ’ ἀπεῖπεν· οὐκ ἀπηγόρευσεν τὸ ποιῆσαι τὰ δεινὰ ἡ ἀρὰ Οἰδίποδος.

Th 840f M οὐδ’ ἀπεῖπεν] οὐκ ἀπηγόρευε.

Th 840g PPd ἀπεῖπεν] ἀπηγόρευσεν.

Th 840h AAbDNaR 1 TVXΞa ἀπεῖπεν] ἀπηγόρευσε τοῦ ποιῆσαι τὰ δεινά.

Th 840i CXc πατρόθεν] ἡ ἀπὸ τοῦ πατρός.

Th 841a APVYa πατρόθεν] ἡ πατρική.

Th 841b T εὐκταία φάτις] ἡ κατάρα τοῦ Οἰδίποδος.

Th 841c BH εὐκταία φάτις] ἡ εὐχὴ τοῦ πατρός.

Th 841d Ξa εὐκταία] καταράσιμος.

Th 841e AbNaPPdθT φάτις] φήμη.

Th 841f AbPTV φάτις] λόγος.

Th 841g NaP βουλαὶ δ’ ἄπιστοι· αἱ βουλαὶ δὲ τοῦ Λαΐου διῆλθον καὶ διεπληρώθησαν· λέγει δὲ τὰς περὶ τὴν μῖξιν τῆς ἑαυτοῦ γυναικός.

Th 842a ἄπιστοι δέ, ὅτι οὐκ ἐπείσθη τῷ Ἀπόλλωνι εἰπόντι αὐτῷ μὴ συνελθεῖν τῇ γυναικὶ Ἰοκάστῃ. ABCDHNdP 1 PdSjVWXaXcYYaYb ἰαμβικὸς τρίμετρος.

Th 842b F pc βουλαὶ] ἤγουν αἱ κατάραι.

Th 842c CXc βουλαὶ] καθ’ ἃς οὐκ ἐπείσθη Ἀπόλλωνι.

Th 842d θT ἄπιστοι] ἐπεὶ οὐκ ἐπείσθη Ἀπόλλωνι.

Th 842e I 1 M ἄπιστοι γοῦν ἀντὶ τοῦ δυσπειθεῖς ἀπὸ δυσπειθείας γενόμεναι τῆς τοῦ Λαΐου πρὸς τὸν Ἀπόλλωνα.

Th 842f P 1 PdSj ἄπιστοι] δυσπειθεῖς.

Th 842g PPd ἄπιστοι] αἱ κακαί.

Th 842h CV ἄπιστοι] κακαὶ διὰ τὸ μὴ πιστεῦσαι τῷ θεῷ καὶ ποιῆσαι τὸ νομιζόμενον συμφέρον αὐτοῦ.

Th 842i Ξa διήρκεσαν] ἐτελειώθησαν.

Th 842j BCH διήρκεσαν] διεπληρώθησαν.

Th 842k AP διήρκεσαν] ἐπληρώθησαν CI 1 NaR 1 VXc διήρκεσαν] ἐτελέσθησαν.

Th 842m PPd διήρκεσαν] μέχρι τοῦ νῦν ἐπάγουσαι συμφορὰς τὰς ἐξ ἐκείνου.

Th 842n θT μέριμνα δ ’ ἀμφὶ πτό ( λι ν)· ἡ δὲ φροντίς, ἣν ἔσχεν ὁ Λάιος περὶ τὴν μῖξιν, καὶ τὰ θεσπίσματα παρὰ τοῦ θεοῦ οὐχ ἡσύχασεν, οὐκ ἀμβλύνεται, φησίν, ἀλλ’ ἐκ τοῦ ἐναντίου ὀξέως τελεῖται.

Th 843-844a I 1 M μέριμνα δ ’ ἀμφὶ πόλι ν· ἡ μέριμνα δέ, ἤτοι ἡ φροντίς, ἣν ἔσχεν ὁ Λάιος περὶ τὴν μῖξιν, καὶ τὰ θεσπίσματα τοῦ Ἀπόλλωνος οὐκ ἀμβλύνεται καὶ εἰς ἀνυπαρξίαν ἔρχεται, ἀλλ’ ἔργοις τελεῖται.

Th 843-844b ACHNd P 1 PdSjVWXaYYa μέριμνα] φροντίς.

Th 843a NaP μέριμναι] φροντίδες.

Th 843b CΞa μέριμνα] φροντὶς καὶ ταραχὴ διὰ τὸν τῶν βασιλέων θάνατον.

Th 843c θT θέσφατ’] τὰ μαντεύματα.

Th 844a BCTY θέσφατ’] τὰ θεσπίσματα τοῦ Ἀπόλλωνος.

Th 844b APV θέσφατ’] αἱ τοῦ Ἀπόλλωνος μαντεῖαι δι’ ὧν εἶπεν αὐτῷ, ὡς εἰ τεκνώσει παῖδα, αὐτόν τε καὶ πᾶν ἀιστώσει γένος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 844c θT θέσφατ’] τὰ τοῦ θεοῦ λόγια.

Th 844d Ξa οὐκ ἀμβλύνεται] ἀλλὰ δηλονότι τελειοῦνται.

Th 844e PPd ἀμβλύνεται] ἐλαττοῦται καὶ παρέρχεται.

Th 844f BH ἀμβλύνεται] παρέρχεται.

Th 844g NaPV ἀμβλύνεται] ἀπρακτοῦσι.

Th 844h CXc ἀμβλύνεται] ἐξασθενεῖ.

Th 844i θT ἀμβλύνεται] ἀσθενῆ γίνονται.

Th 844j Ξa πολύστονοι] ἀποστροφὴ πρὸς τοὺς βασιλεῖς.

Th 845a BH πολύστονοι] πρὸς τὸν Ἐτεοκλέα καὶ τὸν Πολυνείκην.

Th 845b PPd πολύστονοι] πολυστένακτοι.

Th 845c AV πολύστονοι] πολλῶν στεναγμάτων ἄξιοι.

Th 845d AbCθTΞa τόδ’] λείπει τὸ ἔργον.

Th 845e APPdX τόδ’] ὅπερ κατ’ ἀλλήλων ἐδράσατε.

Th 845f θT τόδ’] τὸ φονευθῆναι ὑπ’ ἀλλήλων.

Th 845g Ξa εἰργάσασθ’] ἐποιήσατε.

Th 845h T ἄπιστον] δύσπιστον.

Th 846a BH ἄπιστον] ἤγουν μικροῦ δεῖν εἰς ἀπιστίαν πῖπτον.

Th 846b τις γὰρ ἂν πιστεύσειεν ὡς ἀδελφοὶ ἀλλήλους ἀπέκτειναν; θT ἄπιστον] ὃ οὐκ ἄν τις ἐπίστευσεν.

Th 846c T οὐδεὶς γὰρ τῶν ἀκουόντων πιστεύσειε φόνον ἀδελφῶν ὑπ’ αὐτῶν.

Th 846d Ξa τροχαϊκόν.

Th 847a F pc αἰακτ ά· θρηνητικά.

Th 847b ADMNaPPdR 1 θTVYYb αἰακτὰ] θρήνου ἄξια.

Th 847c CXcY αἰακτὰ] τὰ ἄξια θρήνου.

Th 847d BH αἰακτὰ] τὰ θρήνου καὶ κλαυθμοῦ ἄξια.

Th 847e Ξa πήματ’] βλάβαι, συμφοραί.

Th 847f T οὐ λόγῳ] ἀλλ’ ἔργῳ.

Th 847g AAbDMNaPPdTX οὐ λόγῳ] οὐχὶ ἐν λόγῳ μόνῳ, ἀλλὰ καὶ ἔργῳ.

Th 847h BH οὐ λόγῳ] ἀλλ’ ἐν πράξει.

Th 847i CXc ἐπωδὸς κώλων ς′.

Th 848-852a T ἡμέτερον· + τά δ ’ αὐτόδηλ α· τῆς ἐπῳδοῦ ταύτης τὰ κῶλα ς′.

Th 848-852b τὸ α′ ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ β′ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον· εἰ δὲ βούλει, προσοδιακὸν τρίμετρον καταληκτικὸν ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ ἀναπαίστου. τὸ γ′ ἰαμβικὸν ἑφθημιμερὲς τοῦ β′ ποδὸς χορείου. τὸ δ′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον τοῦ δευτέρου ποδὸς χορείου. τὸ ε′ ὅμοιον καθαρόν. τὸ ς′ τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. ἐπὶ τῷ τέλει κορωνίς, εἶτα παράγραφος· ταῦτα γὰρ τοῦ τέλους τῆς ἐπῳδοῦ τὰ σημεῖα, ὡς εἴρηται (sch. T Pr. 425—435). T ἰαμβικὸς τρίμετρος. [5]

Th 848a F pc τά δ ’ αὐτόδηλ α· αὐτὰ δὲ ταῦτα φανερά· ὁρᾷ ὁ χορὸς τὰ σώματα βασταζόμενα.

Th 848b M ταῦτα λέγει ὁ χορὸς ὁρῶν τὰ σώματα βασταζόμενα.

Th 848c I 1 τά δ ’ αὐτόδηλ α· αὐτὰ τὰ σώματα ὁ χορὸς ὁρᾷ βασταζόμενα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 848d P 1 PdSj τάδ’] τὰ πήματα.

Th 848e AbDPdX αὐτόδηλα] φανερά.

Th 848f AbBCDFdNaR 1 V αὐτόδηλα] φανερὰ καὶ οὐκ ἀμφίβολα.

Th 848g θT προὖπτος] ὁμολογούμενος.

Th 848h M προὖπτος] ἐμπρέπων, ὁμολογούμενος.

Th 848i I 1 προὖπτος] ἀληθής.

Th 848j BHR 1 VX προὖπτος] φανερός.

Th 848k AbCDNaOXcYΞa προὖπτος] φανερός, ἀληθής.

Th 848l PPd προὖπτος] φανερὸς καὶ διαπρεπὴς καὶ διάδηλός ἐστιν.

Th 848m θT ἰαμβικὰ δ′, τὸ δὲ ε′ τροχαϊκόν.

Th 849-851 F pc αἱ διπλαῖ καὶ αἱ δύο μέριμναι καὶ φροντίδες, τοῦ τε Ἐτεοκλέους καὶ Πολυνείκους—εἶχον γὰρ μέριμναν καὶ φροντίδα εἰς τὸ φονεῦσαι ἀλλήλους—ἐν τῇ διδύμᾳ ἀνορέᾳ, ἤγουν τῇ τῶν δύο ἀνδρείᾳ, δίμοιρα καὶ διπλᾶ κακὰ αὐτόφονα εἰργάσαντο.

Th 849a P 2a διπλαῖ] ἐπειδὴ καὶ οἱ φονευθέντες δύο εἰσίν.

Th 849b θT διπλαῖ] διὰ τὸν Ἐτεοκλέα καὶ Πολυνείκην.

Th 849c Ξa δίδυμ’ ἀνορέα] γρ(άφεται) καὶ διδυμανορέα ἤτοι διπλῇ ἀνδρείᾳ.

Th 849d I 1 δίδυμ’ ἀνόρεα] τῇ τῶν δύο ἀνδρείᾳ.

Th 849e ADPPd διδυμανόρια] ἤγουν δύο ἀνδρῶν ἐστιν.

Th 849f θT δίδυμ’ ἀνόρια] ἐκ δύο ἀνδρῶν.

Th 849g Ξa δίδυμ’] διπλᾶ.

Th 849h BHV δίδυμ’] ἐν διπλῇ.

Th 849i CXc ἀνόρεα] ἀνδρείᾳ.

Th 849j BCHNaOR 1 Xc κά κ ’ αὐτοφόν α· ἀλληλοκτόνοι γὰρ ἐγένοντο.

Th 850a MPPd αὐτοφόνα] αὐτόχειρα.

Th 850b BHPXY αὐτοφόνα] αὐτοσφαγῆ.

Th 850c θT αὐτοφόνα] αὐτόπρακτα.

Th 850d Ξa δίμοιρα] διπλᾶ.

Th 850e AAbCDI 1 NaPPdR 1 θTXY δίμοιρα] καὶ διπλᾶ καὶ διπλὴν μοῖραν ἔχοντα.

Th 850f Ξa τέλεια] πεπληρωμένα.

Th 850g BP τέλεια] ἔσχατα καὶ ὑπερβολὴν οὐκ ἔχοντα.

Th 850h θT φῶ] εἴπω.

Th 850i AAbBNaPPdQSjYYb φῶ] λέξω ἄν.

Th 850j TV τί δ ’ ἄλλο γ ’ ἢ πόνοι πόνω ν· τί δ’ ἄλλο εἴπω ἢ ὅτι πόνοι ἀπὸ πόνων κατὰ διαδοχὴν ἐφέστιοι καὶ ἐγκάτοικοι τούτων τῶν οἴκων; ἀντὶ τοῦ κακὰ ἀπὸ τῶν κακῶν οἰκεῖ ἐν τῇδε τῇ ἑστίᾳ καὶ ἐν τοῖς οἴκοις τούτοις.

Th 851-853 ABDHVWXaXcYYaYb τί δ’ ἄλλο] τί δὲ ἄλλο εἴπω.

Th 851a AD ἄλλο] εἴπω.

Th 851b AbBCHNa ἢ] ὅτι.

Th 851c BP πόνοι πόνω ν· ἢ τὰ κακὰ ἀπὸ τῶν κακῶν οἰκεῖ ἐν τῇδε τῇ ἑστίᾳ καὶ τοῖς οἴκοις τούτοις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 851-852 MP 1 PdSj πόνοι] οἱ πόνοι οὗτοι ὅμοιοι τοῖς τοῦ Λαΐου καὶ τοῦ Οἰδίποδος, ἐγκάτοικοι τῶν δόμων τούτων.

Th 851a X πόνων] ἐπὶ τῶν παλαιῶν πόνων.

Th 851b RΞa πόνων] τῶν τοῦ Λαΐου καὶ Οἰδίποδος.

Th 851c θT δωμάτων ἐφέστιοι] τροχαϊκόν.

Th 851d F pc δόμων] τῶν οἴκων.

Th 852a PV δωμάτων] οἰκημάτων.

Th 852b T ἐφέστιοι] ἐγκάτοικοι.

Th 852c ABCNaPQV ἐφέστιοι] οἰκεῖοι, συνήθεις, ἐγκάτοικοι.

Th 852d θT ἰαμβικοὶ τρίμετροι ε′, τὸ δὲ ς′ ἀναπαιστικὸν ἑφθημιμερές.

Th 853-860a F pc + σύστημα κατὰ περικοπὴν στίχων ς′.

Th 853-860b T ἡμέτερον· + ἀλλὰ γόω ν , ὦ φίλα ι· σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ς′, ὧν οἱ μὲν πέντε στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι—οὕτω γὰρ χρὴ γράφειν τούτους ὡς διωρθώθησαν παρ’ ἡμῶν—τὸ δὲ ἕκτον ἀναπαιστικὸν ἑφθημιμερὲς διὰ τὰ ἑξῆς.

Th 853-860c ἐπὶ τῷ τέλει παράγραφος μόνη. T ἀλλὰ γόω ν , ὦ φίλα ι· ἀλλὰ θρῆνον ἐρέσσετε καὶ κινεῖτε, ἀπὸ μεταφορᾶς τῶν πλεόντων, σὺν τῇ τῆς κρατὸς προοδευούσῃ κρούσει τῶν χειρῶν. [5]

Th 853-855 ABDHP 1 PdSjVWXaXcYYaYb τὸ ἑξῆς· γόου πίτυλον.

Th 853a I 1 γόον] θρῆνον.

Th 853b ABCSjVYb φίλαι] + αἱ τοῦ χοροῦ πρὸς ἀλλήλας λέγουσιν.

Th 853c T φίλαι] ἐκτείνουσαι τὸν γόον.

Th 853d Ξa κατ’ οὖρον] κατ’ εὐθεῖαν.

Th 853e ABDHI 3 KNaPTXXcYbΞa κατ’ οὖρον] κατ’ εὐθεῖαν γὰρ καὶ ἀκολούθως ἐστὶ τὸ θρηνεῖν τινας νεκρωθέντας.

Th 853f PPd κατ’ οὖρον] κατ’ εὐθεῖαν κινεῖτε.

Th 853g CSj κατ’ οὖρον] ἀκωλύτως.

Th 853h OY κατ’ εὐθεῖαν, καθ’ ὁρμήν, κατ’ ἀναλογίαν, ἤγουν πρὸς τοὺς στεναγμούς, ποιῶμεν καὶ τὰς ἐν τῇ κεφαλῇ καὶ στέρνοις πληγάς.

Th 853i ἔχει δὲ λόγον καὶ τὸ γόον μικρογραφεῖσθαι· δέον δὲ εἰπεῖν καὶ πίτυλον, ἀσυνδέτως εἶπεν. θT οὖρον] τοῦτο δηλοῖ τὸ οὖρον, τὸν κατὰ τάξιν θρῆνον.

Th 853j Ξa αἴρετε] ὑψοῦτε.

Th 854a T ψυχρὰ μὲν ἡ τροπή, ὅτι δὲ χερσὶ τύπτουσιν ἑαυτοὺς οἱ θρηνοῦντες, ἐρέταις αὐτοὺς εἰκάζει.

Th 854b πρὸς ὃ ἐπάγει καὶ τὸ κα τ ’ οὖρον ὃ δηλοῖ τὴν τοῦ θρηνεῖν εὐχέρειαν. I 1 ἐρεσσετ’] κινεῖτε.

Th 854c ABDFdHNaPPdR 1 RbVXXcYYb ἐρέσσετ’] πλήττετε, ποιεῖτε.

Th 854d T ἐρέσσετ’] κινήσετε.

Th 854e I 2 P κρατὶ] κεφαλῇ.

Th 854f AHNaTV πόμπιμον] πεμπομένη.

Th 855a DHO πόμπιμον] προπεμπτικόν.

Th 855b NaPPd πόμπιμον] προπεμπτικόν, ἐπιτήδειον, τὸν μέλλοντα εἰς γόους ἀγαγεῖν ἡμᾶς.

Th 855c X πόμπιμον] τὸν ἐν τοῖς ἐξοδίοις πομπαῖς γινόμενον.

Th 855d

θΤ πόμπιμον] προπέμπουσαι γὰρ τοὺς νεκροὺς ἔκλαιον.

Th 855e Ξa πίτυλον ὃς αἰέ ν· ὅστις, ὁ γόος, αἰὲν καὶ διὰ παντὸς διέρχεται τὸν Ἀχέροντα, ὅστις ἐστὶ ποταμὸς τοῦ Ἅιδου, κατὰ τὴν πολύστονον ναύστολον θεωρίδα τὴν τοὺς νεκροὺς διάγουσαν πρὸς τὸν Ἅιδην, τὴν ἀστιβῆ Ἀπόλλωνι, εἰς ἣν οὐ στείβει ὁ Ἀπόλλων ἀλλ᾽ ὁ Χάρων, τὴν σκοτεινήν, ἣν οὐδὲ ὁ ἥλιος ἐφορᾷ, τὴν πάντας δεχομένην τοὺς ἀποθνήσκοντας, εἰς ἀφανῆ τε χέρσον. [5]

Th 856-860a ἀπὸ κοινοῦ τὸ ἀμείβετα ι. ABCDHNdP 1 PdSj VWXaXcYYaYb ἐπειδὴ ὁ γόος περὶ τοὺς νεκροὺς γίνεται, οὗτοι δὲ ἐν Ἅιδου ἀπέρχονται, δι᾽ Ἀχέροντος τοῦτον ἀμείβεται, φασί, διὰ νηὸς εἰς χέρσον ἀνήλιον καὶ σκοτεινήν, τουτέστιν μετὰ νηὸς διὰ τούτου πρὸς τὸν Ἅιδην χωρεῖ· ἣν ναῦν θεωρίδα καλεῖ ἄστονον, ἤτοι κακοστένακτον, ἢ ἄστολον καὶ κακῶς ἐσταλμένον, μελάγκροκον καὶ μέλαν λαῖφος ἔχουσαν· ταῦτα δὲ τὰ ὀνόματα, τό τε ἄστολον καὶ τὸ μελάγκροκον, οἰκεῖα τῇ εἰς Ἅιδην φερούσῃ νηὶ ὡς τῶν ἐν βίῳ ἐναντίως ἐχουσῶν. [5]

Th 856-860b θεωρίδα δὲ λέγει τὴν τοῦ Χάροντος ναῦν ἐκ μεταφορᾶς τῆς νηὸς τῆς κατ᾽ ἐνιαυτὸν ἐξ Ἀθηνῶν εἰς Δῆλον ἀγούσης τῷ Ἀπόλλωνι θυσίαν ἣν θεωρίδα ἐκάλουν. δέον δὲ δ ι ᾽ Ἀχέροντος εἰπεῖν, δ ι ᾽ Ἀχέροντα εἶπεν ποιητικῷ ἔθει, ὡς ἔχει καὶ τὸ ἱππικῶν τ ᾽ ἀύπνων πηδαλίων διὰ στόμα (206) καὶ πολλὰ ἕτερα. μὴ λάμβανε δὲ καὶ εἰς τὸ θεωρίδα τὸ διὰ ἀπὸ κοινοῦ ὥς τινες λέγουσιν, ἀλλ᾽ ὥσπερ φαμέν· διέρχομαι διὰ τῶν πυλῶν τὴν αὐτὴν εἰς τὸν οἶκον, οὕτω καὶ τοῦτο· ὃς αἰὲν ἀμείβεται δι᾽ Ἀχέροντα τὴν τοιάνδε θεωρίδα εἰς τὴν ἀνάλιον πανδόκον καὶ ἀφανῆ χέρσον τὴν ἀστιβῆ τῷ Ἀπόλλωνι. θΤ ἡ σύνταξις τῶν δύο στίχων τούτων τοιαύτη· ὃς καὶ ὅστις πίτυλος καὶ κτύπος ἀμείβεται καὶ ἔρχεται αἰὲν καὶ διηνεκῶς δι᾽ Ἀχέροντα καὶ εἰς τὸν Ἀχέροντα, ὅστις ἐστὶ ποταμὸς Ἅιδου, — ἡ διὰ δὲ ἀντὶ τῆς εἰς προθέσεως—ἀμείβεται δὲ κατὰ τὴν ἄστονον καὶ πολύστονον θεωρίδα καὶ νῆα τὴν μελάγκροκον καὶ μέλαιναν τὴν ναύστολον, ἤγουν τὴν τοὺς νεκροὺς διάγουσαν πρὸς τὸν Ἅιδην. [5]

Th 856-857 P 1a πίτυλος ὁ θόρυβος ἀπὸ τοῦ πίπτω πίπτυλος καὶ πίτυλος καὶ ἔστιν ὁ ἀπὸ τῶν ἐρεσσομένων κωπίων γενόμενος θόρυβος.

Th 856a NdP 2a VWXaY YaYb πίτυλος ὁ κτύπος ὡς ἀπὸ τοῦ τύπτω τύπτιλος καὶ ἐκβολῇ τοῦ ἑνὸς τ καὶ μεταθέσει τῶν γραμμάτων πίτυλος· ἔστι δὲ ὁ ἐκ τῶν κωπίων γενόμενος.

Th 856b P 1 PdSj πίτυλον] κτύπον.

Th 856c I 2 M 2 NaPdR 1 θΤΞa πίτυλον] θόρυβον.

Th 856d BHVY πίτυλον] κτύπον, κροῦσιν, τύψιν, θόρυβον.

Th 856e BPX πίτυλον] τύψιν.

Th 856f ACDRbXcY πίτυλον] κροῦσιν.

Th 856g AD πίτυλον] ἦχον.

Th 856h TY ὃς] ὁ γόος.

Th 856i AbBCXc ὃς] ὁ πίτυλος.

Th 856j I 1 W ὃς] ὁ θρῆνος.

Th 856k DY δι᾽ Ἀχέροντ᾽] εἰς τὸν Ἅιδην.

Th 856l PPdX δι᾽ Ἀχέροντ᾽] τὸν ἐν Ἅιδου ποταμόν.

Th 856m T δι᾽ Ἀχέροντ᾽] διὰ τοῦ Ἀχέροντος διέρχεται.

Th 856n AbΞa Ἀχέροντ᾽] ποταμόν.

Th 856o DHNaR 1 Rb ἀμείβεται] διέρχεται.

Th 856p BDHI 1 NaPPdR 1 θTV ἀμείβεται] + διαβιβάζει.

Th 856q QT τὰν ἄστονον] τὴν πολύστονον.

Th 856r ABCDHNaPPdQVXXcYb ναύστολον θεωρίδ α· {οὐ} τὴν τοῦ Χάρωνος ναῦν θεωρίδα εἶπεν· κυρίως δὲ τοῦ Ἀπόλλωνος ἡ εἰς Δῆλον ἀπερχομένη.

Th 857-860 λέγει δὲ ὅτι ταύτην ὁδὸν θεωρικὴν ὥσπερ ὁδεύει ὁ στόνος τὴν ἐπὶ τὸν Ἀχέροντα, τὴν ἀνάλιον ἣν μηδὲ ἥλιος ὁρᾷ, ἢ τὴν ἀναπνοήν· ἁγνὴ γὰρ ἐκείνη ἡ εἰς Δῆλον ἀπιοῦσα. πανδόκον δὲ ἐπεὶ πάντας δέχεται τοὺς ἀποθνήσκοντας. M ἰαμβικὸν τρίμετρον. [5]

Th 857a F pc ἔχουσαν ἱστίον ἐκ μελαίνης κρόκης· πρέπον δὲ τοιοῦτον ἱστίον τῇ εἰς Ἅιδου κατιούσῃ νηί.

Th 857b θεωρίδα δὲ τὴν τοῦ Χάρωνος εἶπε· κυρίως δὲ ἡ τοῦ Ἀπόλλωνος ἡ εἰς Δῆλον ἐρχομένη. I 1 μελάγκροκον θεωρίδ α· λέγεται ἢ ὡς κροκόπεπλος ἡ μέσον λευκοῦ καὶ μέλανος ἢ ὡς ῥοδοδάκτυλος.

Th 857c μελάγκροκος δὲ μέλαινα κυρίως. P 1 PdSjY καὶ ἄλλως· φησὶ θεωρίδα ὅτι οἱ Ἀθηναῖοι ἔστελλον ναῦν ἐστεφανωμένην εἰς τὸν Ἀπόλλωνα διὰ μαντείας.

Th 857d θεωρίδα γοῦν ἐκείνην ἐκάλουν ὡς εἰς τὸν θεὸν ἀπερχομένην καὶ τοῦ θεοῦ θέσφατα πάλιν κομίζουσαν· ἐξ ἐκείνης οὖν καταχρηστικῶς τὴν νῆα θεωρίδα ἐκάλεσαν. P 1 Pd SjVWXaYYaYb ἀντίπτωσις· ὤφειλε γὰρ εἰπεῖν διὰ μελαγκρόκου θεωρίδος· ἢ ἀπὸ κοινοῦ τὸ ἐρέσσετ ε. [5]

Th 857e I 1 μελάγκροκον τὴν μέλανα ἔχουσαν ἄρμενα· τὰ γὰρ ἐν Ἅιδῃ σκοτεινά.

Th 857f τὸ δὲ τοῦ Ἀπόλλωνος λευκόκροκον· κρόκον δὲ τὸ ὑφάδιον. CNdX Xa μελάγκροκον τὴν διάγουσαν τοὺς νεκρούς· μελάγκροκος λέγεται, ἤτοι κροκόπεπλος, ἡ μέσον λευκοῦ καὶ μέλανος.

Th 857g V μελάγκροκον] τὴν διάγουσαν τοὺς νεκρούς.

Th 857h AMVX μελάγκροκον] σκοτεινήν.

Th 857i BH μελάγκροκον] μέλαιναν.

Th 857j OPPdR 1 μελάγκροκον] τὴν μέλανα ἔχουσαν τὰ ἄρμενα.

Th 857k HP μελάγκροκον] τὴν ἔχουσαν μέλαν λαῖφος.

Th 857l θT μελάγκροκον] τὴν ἔχουσαν ἱστίον μέλαν.

Th 857m Ξa ναύστολον] τὴν ὡς ναῦν ἐσταλμένην.

Th 857n θT ναύστολον] ναυστολοῦσαν, τὴν πέμπουσαν τὴν ναῦν.

Th 857o Ξa θεωρὶς δὲ ἦν ἡ τοῦ Ἀπόλλωνος ναῦς μεθ’ ἧς ἀπήρχετο εἰς τὴν Δῆλον θεωρῶν καὶ ἐρευνῶν τὰ ἐκεῖσε· τοιαύτη γοῦν ἦν καὶ ἡ τοῦ Χάρωνος· διὰ τοῦτο δὲ εἶπε τὴν ἀστιβῆ Ἀπόλλωνι, ἤτοι· οὐ λέγω ἐκείνην τὴν θεωρίδα εἰς ἣν οὐκ εἰσέρχεται ὁ Ἀπόλλων, ἀλλ’ ὁ Χάρων.

Th 858-860 AAbBCDHNdP 1 PdSjVWXaXcYYaYb θεωρίδα] πλοῖον. [5]

Th 858a I 1 PX θεωρίδα] νῆα.

Th 858b ACHPdQR 1 VYYb θεωρίδα] εἶδος νηός.

Th 858c NaP θεωρίδα] τὴν ναῦν τοῦ Χάρωνος.

Th 858d θT ἀστιβῆ] εἰς ἣν οὐ στείβει ὁ Ἀπόλλων, ἀλλ’ ὁ Χάρων.

Th 858e ADPXYb ἀστιβῆ] ἀδιόδευτον.

Th 858f CBRb ἀστιβῆ] ἀπόρευτον.

Th 858g θT ἀστιβῆ] ἀπεριπάτητον.

Th 858h HΞa Ἀπόλλωνι] τῷ ἡλίῳ.

Th 858i PPdR 1 RbΞa ἀνάλιον] σκοτεινήν.

Th 858j HNaPdR 1 VX ἀνάλιον] τὴν σκοτεινήν, ἣν οὐδ’ ὁ ἥλιος ὁρᾷ.

Th 858k ADPYb ἀνάλιον] εἰς ἣν οὐ διέρχεται ἥλιος.

Th 858l BQ ἀνάλιον] τὴν ἀφώτιστον.

Th 858m AbRbΞa ἀναπαιστικόν.

Th 860a F pc πανδόκον] τὴν πάντας δεχομένην.

Th 860b ABCDHPPdQRbVXcY YbΞa πανδόκον] πάντας δεχομένη μετὰ θάνατον.

Th 860c θT εἰς] τουτέστιν εἰς τὸν Ἅιδην.

Th 860d Ξa ἀφανῆ τε χέρσον] ἀπὸ κοινοῦ τὸ ἀμείβετα ι.

Th 860e APX ἀφανῆ τε χέρσον] ὃς ἀμείβεται ἀπὸ κοινοῦ.

Th 860f PPd καὶ ὅστις ἀμείβεται δῆλον εἰς τὴν χέρσον τὴν ἀφανῆ, τουτέστιν εἰς τὸν Ἅιδην.

Th 860g Ξa ἀφανῆ] σκοτεινήν.

Th 860h θTV χέρσον] τὴν τοῦ Ἅιδου.

Th 860i I 1 χέρσον] ἀμείβεται.

Th 860j CQR 1 Xc ἀναπαιστικὰ θ′.

Th 861-870a F pc + σύστημα ἕτερον κώλων θ′.

Th 861-870b T + ἀλλὰ γὰρ ἥκουσι ν· σύστημα ἕτερον κατὰ περικοπὴν ἐν ἐκθέσει κώλων ἀναπαιστικῶν θ′ ὧν τὰ μὲν ζ′ δίμετρα ἀκατάληκτα, τὸ η′ μονόμετρον ὃ καὶ παρατέλευτον καλεῖται, τὸ δὲ θ′ δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ἐπὶ τῷ τέλει κορωνίς.

Th 861-870c T ἀλλὰ γὰρ ἥκου ς ’ αἵ δ ’ ἐπὶ πρᾶγο ς· ὁ χορὸς ὁρᾷ τὴν Ἀντιγόνην καὶ τὴν Ἰσμήνην ἐρχομένας καί φησιν· ἥκουσιν αὗται, ἡ δεῖνα καὶ ἡ δεῖνα, ἐπὶ πρᾶγος πικρόν, τουτέστιν ἐπὶ τὴν συμφορὰν τῶν ἀδελφῶν αὐτῶν.

Th 861-863a ABDHP 1 PdSjVWXaYYaYb ἢ καὶ οὕτως συντακτέον· ἀλλὰ γὰρ ἥκουσι καὶ ἔρχονται αἵδε καὶ αὗται, ἡ Ἀντιγόνη καὶ ἡ Ἰσμήνη, ἐπὶ τὸ πικρὸν πρᾶγος ἀδελφοῖν καὶ τῶν ἀδελφῶν, ὥστε δοῦναι ἐκείνοις θρῆνον.

Th 861-863b ἢ γράφεται ἀδελφῶν καὶ ἔστιν οὕτως ἡ σύνταξις· ἀλλὰ γὰρ ἥκουσιν αἵδε καὶ αὗται, ἡ Ἀντιγόνη καὶ ἡ Ἰσμήνη, ἐπὶ τὸ πρᾶγος τῶν ἀδελφῶν. τί δέ ἐστι τὸ πρᾶγος τῶν ἀδελφῶν; εἰς πικρὸν θρῆνον. ἤ· ἀλλὰ γὰρ ἥκουσιν αἵδε καὶ αὗται ἐπὶ τὸν θρῆνον τῶν ἀδελφῶν, ἢ ἐπὶ τὸν ἀδελφὸν καὶ τὸν ἀδελφικόν, ἵν’ ᾖ τὸ φο διὰ τὸ ο μικροῦ γραφόμενον, πρᾶγος καὶ πρᾶγμα πικρὸν καὶ χαλεπόν. P 1 γὰρ] ἀργόν. [5]

Th 861a Ξa ἥκους’] ἔρχονται.

Th 861b AAbBCDHNaPR 1 TVXcYb αἵδ’] καὶ αὗται, ἡ Ἀντιγόνη λέγω καὶ Ἰσμήνη.

Th 861c Ξa ἐπὶ τὸ πρᾶγμα, τουτέστιν ἐπὶ τὴν συμφοράν, αἱ ἀδελφαὶ τῶν βασιλέων.

Th 862a M ἤγουν ἐπὶ τὸ πρᾶγμα καὶ τὴν συμφορὰν τὴν πικρὰν διὰ τὸ ἀλληλοκτονῆσαι τοὺς ἀδελφούς.

Th 862b I 1 ἐπὶ πρᾶγος] ἐπὶ τὴν συμφορὰν τῶν ἀδελφῶν.

Th 862c ABDNaPPdXYb πρᾶγος] πρᾶγμα.

Th 862d AbCHNaR 1 RbT πικρὸν] τουτέστιν ἄξιον πικρίας.

Th 862e SjYb πικρὸν] τὸ πικροποιόν.

Th 862f Ξa Ἀντιγόνη τ’ ἠδ’ Ἰσμήνη] αἱ ἀδελφαὶ αὐτῶν.

Th 862g T θρῆνον] ὥστε δοῦναι.

Th 863a HP οὐκ ἀμφιβόλως] ἀλλὰ ἀληθῶς.

Th 863b CRbXcY οὐκ ἀμφιβόλως] ἀλλὰ βεβαίως.

Th 863c PTΞa οὐκ ἀμφιβόλως] ἀκριβῶς ἐπίσταμαι.

Th 863d θ οἶμαι] νομίζω αὐτὰς πέμψειν ἄλγος καὶ θρῆνον ἐπάξιον ἀπὸ καρδίας.

Th 864a AXYb οἶμαι] ὑπολαμβάνω.

Th 864b CT σφ'] αὐτάς.

Th 864c AbBCPPdQR 1 θTVXcYYb ἐρατῶν] ἐπιθυμητῶν.

Th 864d AbCNaPQ ἐρατῶν] παρθενικῶν.

Th 864e θT ἐρατῶν] ἐπεράστων.

Th 864f Ξa ἐκ βαθυκόλπω ν· ἰστέον ὅτι αἱ γυναῖκες τῷ τότε καιρῷ, παρθένοι μὲν οὖσαι ἐπάνω τῶν ἱματίων ἐζώννυντο, ἐπεὶ δὲ ἀνδράσιν συνεμίγησαν, ὑποκάτω.

Th 864g Xa βαθυκόλπων] τῶν πλουσίων.

Th 864h CNaΞa βαθυκόλπων] τῶν βαθεῖς τοὺς κόλπους ἐξ ἱματίων ἐχόντων.

Th 864i θT στηθέων] συνίζησις.

Th 865a T ἥσειν] πέμψειν.

Th 865b AAbBDNaPPdQR 1 θTVYYbΞa ἥσειν] ὑπομεῖναι ἢ πέμψαι.

Th 865c CXc ἐπάξιον] ἁρμόδιον καὶ προσῆκον ἐξ ἀδελφῶν εἰς ἀδελφοὺς γίνεσθαι.

Th 865d θT ἐπάξιον] δίκαιον.

Th 865e KΞa ἡμᾶς δὲ δίκ η· ἡμᾶς δὲ δίκαιον πρότερον τῶν παρθένων κατάρχεσθαι τοῦ γόου, ἕνεκα τῆς φημισθείσης φήμης τοῦ θανάτου τῶν βασιλέων ἰαχεῖν τε καὶ βοᾶν τὸν δυσκέλαδον καὶ κακόηχον ὕμνον τῆς Ἐριννύος, ἐπιμέλπειν τε καὶ λέγειν τὸν μισητὸν καὶ κάκιστον παιᾶνα καὶ ὕμνον τοῦ Ἅιδου, ἤγουν τὸν ἐπὶ τῷ θανάτῳ τῶν βασιλέων γινόμενον. [5]

Th 866-869 ABCDHNdP 1 PdSjVWXaYYaYb ἡμᾶς δὲ δίκη πρότ ( ερο ν)· δίκαιον ἡμᾶς προκατάρχεσθαι τῶν θρήνων ὡς προακουσάσας, ὑπακούειν δὲ ἐκείνας.

Th 866a I 1 M ἡμᾶς] τὰς παρθένους.

Th 866b NaYb δίκη] δίκαιόν ἐστιν.

Th 866c AAbBCDHOPdR 1 θTVXYYb δίκη] δίκαιον καὶ πρέπον ἐστίν.

Th 866d PΞa πρότερον] ἤγουν πρὸ τοῦ τῶν παρθένων κλαυθμοῦ.

Th 866e PPd πρότερον] ἤγουν πρὸ τοῦ κλαῦσαι ἐκείνας.

Th 866f θT φήμης] τούτων τῶν παρθένων.

Th 866g BP φήμης] ἕνεκα τῆς τιμῆς.

Th 866h Ξa δυσκέλαδον] τὸν δυσθρήνητον.

Th 867a ADXYb δυσκέλαδον] κακόηχον.

Th 867b AbBCNaPXcYΞa δυσκέλαδον] κακόφημον.

Th 867c θT ὕμνον δὲ Ἐρινύος τὸν θρῆνον καλεῖ.

Th 867d I 1 ὕμνον] θρῆνον.

Th 867e θT ἐπεὶ γάρ ἐστιν αὕτη φόνων καὶ θανάτων παρεκτική, εἰκότως καὶ ὁ θρῆνος ὕμνος αὐτῆς λέγοιτ' ἂν οὐδενὶ ἄλλῳ τοσοῦτον χαιρούσης ὅσον ὀδυρμοῖς καὶ δάκρυσιν, ὃν ὀδυρμὸν καὶ παιᾶνα καλεῖ Ἅιδου.

Th 868a θT Ἐριννύος] τῆς φθορᾶς ἤτοι τοῦ θανάτου.

Th 868b

T ἰαχεῖν Ἀίδα] παρατέλευτον μονόμετρον.

Th 869a F pc ἰαχεῖν] βοᾶν.

Th 869b ABCHNaOPPdR 1 RbVXcYb ἰαχεῖν] φωνεῖν.

Th 869c AP ἰαχεῖν] θρηνεῖν.

Th 869d AbT ἔστι γὰρ καὶ παιὰν ἐπ' ἀγαθοῖς.

Th 870a MPPd ἐχθρὸν εἶπε παιᾶνα διὰ τὸ εἶναι καὶ παιᾶνα ἐπ' ἀγαθοῖς.

Th 870b I 1 ἐχθρὸν] μισητόν.

Th 870c BHY ἐχθρὸν] κάκιστον.

Th 870d BP ἐχθρὸν] πᾶσι.

Th 870e NaPPdXc ἐχθρὸν] κακὸν παρόσον ὁ παιὰν χαρᾶς αἴτιος.

Th 870f θT ἐχθρὸν] τὸν μεμισημένον πᾶσι.

Th 870g Ξa παιᾶν'] ὕμνον.

Th 870h AbBCHNaP ἐπιμέλπειν] λέγειν.

Th 870i ABPPd ἐπιμέλπειν] ὑμνεῖν.

Th 870j AbCY ἐπιμέλπειν] ᾄδειν.

Th 870k QTV γράφεται καὶ ἐπιμάπτειν καὶ σημαίνει πάλιν τὸ ἐπιμέλπειν.

Th 870l P 1 PdSj τὸ α' ἰαμβικὸν μονόμετρον, τὰ δὲ δ' ἀναπαιστικά.

Th 871-874a F pc + σύστημα ἐπιφθεγματικὸν κώλων ε'.

Th 871-874b T ἡμέτερα· + ἰὼ ἰ ώ· διαιρεῖται ὁ χορὸς καὶ θρήνους ποιεῖται ὑπὲρ τῶν τεθνηκότων, ἐπεὶ καὶ οὗτοι δύο εἰσὶ καὶ αἱ θρηνοῦσαι αὐτοὺς ἀδελφαὶ αὐτῶν.

Th 871-874c ἔστι γοῦν τὸ παρὸν ἐπιφθεγματικὸν σύστημα κώλων ε'. τὸ α' ἰαμβικὴ βάσις, τὰ ἑξῆς τρία ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα. τὸ δὲ ε' ὅμοιον δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος. T ἰὼ δυσαδελφότ ( ατα ι)· ὦ δυσαδελφόταται πασῶν παρθένων αἳ μίτρας κατὰ τὴν φθορὰν λύονται· ἀντὶ δὲ τῆς μίτρας καὶ ζώνης νῦν στρόφον εἶπεν. [5]

Th 871-872 M δυσαδελφόταται] εἰς ἀδελφοὺς δυστυχεῖς.

Th 871a θT πασῶν] γυναικῶν.

Th 871b AbBCHNaTYYbΞa ὁπόσαι] αἵτινες οὐκ ἔλυσαν τὴν ζώνην τῆς παρθενίας.

Th 872a DPPdR 1 νῦν στρόφον τὴν μίτραν καλεῖ ἤγουν τὴν ζώνην διὰ τὸ ἑλίσσεσθαι περὶ τὴν ὀσφύν.

Th 872b I 1 στρόφον] στρέψιν.

Th 872c APPdWXYb στρόφον] ζώνην.

Th 872d ACFdHNaPPdR 1 WXcYb στρόφον] στρέψιν, ζώνην.

Th 872e APdYb στρόφον] ζώνην βασιλικήν.

Th 872f PQ στρόφον] ζώνην ἢ τὴν ἰδιωτικῶς λεγομένην κομβοθηλείαν.

Th 872g θT γράφεται δὲ καὶ στρόφον ἐσθῆτα, ἤγουν ἐζωσμένην.

Th 872h τὸ δὲ περιβάλλονται, εἰ μὲν ἐσθῆτα εἴποις, ἀντὶ τοῦ ἐνδύονται λάβῃς, λέγων· ὁπόσαι περιβάλλονται καὶ ἐνδύονται στρόφον καὶ ἐζωσμένην ἐσθῆτα, εἰ δὲ ἐσθῆσι γράψεις, ἀντὶ τοῦ περιάγουσι νοήσεις οὕτως· ὁπόσαι περιβάλλονται καὶ περιάγουσιν ἐν ταῖς ἐσθῆσι στρόφον καὶ ζώνην. θ στρόφον] γυναικεία στολή. [5]

Th 872i Ξa ἐσθῆσιν] ἱματίοις.

Th 872j

Eulogikon public reading copy · View original HTML at eulogikon.org

AAbBHNaPQTWX περιβάλλονται] ἐνδύονται.

Th 872k BCLc περιβάλλονται] περιάγουσιν.

Th 872l LcT κλαίω] θρηνῶ.

Th 873a AbB στένομα ι· ἀντὶ τοῦ στένω Ἀττικῶς· καὶ γὰρ ἰατρεύομαι καὶ ἀλεύομαί φασιν.

Th 873b M στένομαι] στενάζω.

Th 873c AAbC στένομαι] Ἀττικῶς ἀντὶ τοῦ στένω.

Th 873d I 1 PPd στένομαι] + στένω.

Th 873e T δόλος] μέμψις.

Th 873f BDHOPPdY δόλος οὐδεὶς] ὅτι οὐκ ἐκ ψυχῆς θρηνῶ.

Th 873g AM δόλος οὐδεὶς] ἀπάτη οὐδεμία.

Th 873h AAb δόλος] πανουργία.

Th 873i θT ἐκ φρενὸς] ἐκ μέσης ψυχῆς.

Th 873j AbDOPPdYYb ἐκ φρενὸς] ἐκ ψυχῆς καὶ γνώμης αὐτῆς.

Th 873k T ὀρθῶς] ἀληθῶς.

Th 874a θ Ξa ὀρθῶς] ἀληθῶς καὶ οὐκ ἐπιπλάστως.

Th 874b T λιγαίνει ν· κλαίειν.

Th 874c ἀνωτέρω (868) γὰρ ὕμνον Ἐριννύος εἶπε τὸν θρῆνον. I 1 λιγαίνειν] θρηνεῖν.

Th 874d ABFdNaQXcYYbΞa λιγαίνειν] ἤγουν λίγα καὶ ὀξέα θρηνεῖν.

Th 874e PPd λιγαίνειν] ὑμνεῖν.

Th 874f AbC λιγαίνειν] βοᾶν.

Th 874g BOY λιγαίνειν] κλαίειν.

Th 874h CR 1 XYb λιγαίνειν] ὀλολύζειν.

Th 874i θT λιγαίνειν] ἀλαλάζειν.

Th 874j RaRb τροχαϊκὰ τὰ γ′, τὸ δὲ β′ ἰαμβικόν.

Th 875-878a F pc στροφὴ κώλων δ′.

Th 875-878b T + ἰὼ ἰὼ δύσφρονε ς· τὰ παρόντα εἴδη εἰσὶν ὡς εἴρηται (sch.

Th 875-878c T Pr. 128) ἀλλοιόστροφα. εἰσὶν γοῦν τῆς παρούσης στροφῆς τὰ κῶλα δ′. τὸ α′ περίοδος καταληκτικὴ ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς καταληκτικῆς. τὸ β′ ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ γ′ ὅμοιον τῷ α′. τὸ δ′ τροχαϊκὸν ἰθυφαλλικόν· ἔχει δέ, εἰ βούλει, συνίζησιν, ἢ τὸν πρῶτον πόδα δάκτυλον. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ συνήθως, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου ἔξω νενευκυῖα, ἡ δὲ κατὰ τὸ τέλος ἐντός. T πρὸς τὸν Ἐτεοκλέα καὶ τὸν Πολυνείκην· οἱ μὴ φυλάξαντες ἐπὶ τοῖς φίλοις πίστιν. [5]

Th 875a BDI 3 Yb ταῦτα λέγει ὁ χορὸς πρὸς τὸν Ἐτεοκλέα καὶ τὸν Πολυνείκην.

Th 875b P 2a ἰὼ ἰὼ δύσφρονες] τροχαϊκὸν περιοδικόν.

Th 875c F pc δύσφρονες] κακόφρονες.

Th 875d AbBVΞa δύσφρονες] κακὰ φρονοῦντες.

Th 875e AC δύσφρονες] κακόφρονες οἱ μὴ φυλάξαντες ἀδελφικὰς φιλίας.

Th 875f X δύσφρονες] ἐπὶ κακῷ φρονήσαντες.

Th 875g NaYb δύσφρονες] κακογνώμονες.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 875h θT ἰαμβικὸς τρίμετρος.

Th 876a F pc ἢ οὕτως· φίλων ἄπιστοι, φίλους μὴ ἔχουσαι κωλῦσαι ὑμᾶς τοῦ ὀδυρμοῦ.

Th 876b P 2a PdPd g1 Sj φίλων ἄπιστοι] μὴ τοῖς φίλοις πεισθέντες ὥστε καταλῦσαι τὸν πόλεμον.

Th 876c θT φίλων ἄπιστοι] καὶ μὴ πιστεύοντες τοῖς φίλοις.

Th 876d Ξa κακῶν ἀτρύμονες] ἐν κακοῖς ἀκμῆτες.

Th 876e M κακῶν ἀτρύμονε ς· οἱ ἀκαταπόνητοι ὑπὸ τῶν κακῶν, ἵν’ ᾖ ἀποτεινόμενον πρὸς τὰς αὐτῶν ἀδελφάς.

Th 876f PPdPd gl Sj ἀτρύμονε ς· ἀκμῆτες, τῶν καιρῶν ἀκόρεστοι· ταῦτα λέγει ὁ χορὸς πρὸς τὸν Ἐτεοκλῆν καὶ Πολυνείκην.

Th 876g VW ἄλλως· ἀτρύμονε ς· ἀδάμαστοι, ἀκαταπόνητοι, ὑπὸ τῶν κακῶν μὴ νικηθέντες, ἢ οὓς πολλὰ κακὰ ἐδάμασαν.

Th 876h VW ἀτρύμονες] ἄγευστοι, ἀδάμαστοι, ἀνίκητοι, πολὺ δαμασθέντες ἐν τοῖς κακοῖς.

Th 876i X ἀτρύμονες] ἄκαμπτοι καὶ μὴ φοβούμενοι τὰ κακὰ ὥστε τούτων ἀφίστασθαι.

Th 876j θT ἀτρύμονες] ἀκαταπόνητοι.

Th 876k BI 3 PXcY ἀτρύμονες] πολυδάμαστοι.

Th 876l CDPPdR 1 ἀτρύμονες] ἀκόρεστοι.

Th 876m NaQSjYYb ἀτρύμονες] πολυπαθεῖς.

Th 876n SjYb ἀτρύμονες] ἀδάμαστοι.

Th 876o R 1 VYb ἀτρύμονες] συμβουλευόμενοι τὰ λῷστα.

Th 876p Ξa μέλεο ι· ἄθλιοι ἑλόντες καὶ πορθήσαντες καὶ ἐρήμους ποιήσαντες ἐν τῷ πολέμῳ τοὺς πατρικοὺς οἴκους.

Th 877-878a AP 1 PdSjVWXaYYaYb λαβόντες ἄθλιοι καὶ οὐκ εὐτυχεῖς· τεθνηκότες γὰρ εἰσῆλθον ἄμφω τὰς Θήβας καὶ πατρῴων μνημάτων τυχεῖν ἔμελλον, εἰ καὶ Πολυνείκης βίᾳ Κρέοντος ἄτιμος ἔρριπτο ὡς κατὰ τῆς πατρίδος ἐστρατευκώς.

Th 877-878b μελέως δὲ εἰπεῖν ἔδει, ἀλλ’ ἐπήγαγε πρὸς τὸ ἑλόντες —τὸ δὲ σὺν ἀλκῇ ἀντὶ τοῦ σὺν πολέμῳ—, ἢ τὸ ἑλόντες ἀντὶ τοῦ πορθήσαντες καὶ καταβαλόντες· τὸ γὰρ ἀποθανεῖν σφας καταβολή τις ὥσπερ τῶν δόμων ἦν. θT πατρῴους δόμους ἑλόντ ( ε ς)· αἴτιοι τῆς ἁλώσεως γενόμενοι, πορθήσαντες, ἐρήμους ποιήσαντες τῷ ξίφει. [5]

Th 877a M πατρῴους] πατρικούς.

Th 877b TV δόμους] οἴκους.

Th 877c TV ἑλόντες] μερίσαντες.

Th 877d BHNaPV ἑλόντες] ῥίψαντες.

Th 877e DY ἑλόντες] ἐρημώσαντες.

Th 877f PPd ἑλόντες] πορθήσαντες.

Th 877g I 2 LcNaPQR 1 Yb ἑλόντες] οἱ καταβαλόντες.

Th 877h CI 2 ἑλόντες] λαβόντες.

Th 877i LcRaT ἑλόντες] διελόντες.

Th 877j Ξa μέλεοι] ἄθλιοι.

Th 877k AAbBCV μέλεοι] ἄθλιοι καὶ οὐκ εὐτυχεῖς.

Th 878a T μέλεοι] συνίζησις.

Th 878b T ἀλκᾷ] πολέμῳ.

Th 878c AAbBHDI 3 PRaSjYb ἀλκᾷ] μάχῃ.

Th 878d NaVSjYb ἀλκᾷ] ξίφει.

Th 878e DPSjYb ἀλκᾷ] τῷ κατ' ἀλλήλων πολέμῳ.

Th 878f θT ἀλκᾷ] οὐ σὺν φιλίᾳ.

Th 878g Ξa ἀναπαιστικὰ τὰ β′.

Th 879-880a F pc + σύστημα κατὰ περικοπὴν κώλων β′.

Th 879-880b T ἡμέτερα· + μέλεοι δῆτ α· τὸ παρὸν σύστημα κώλων ἐστὶν ἀναπαιστικῶν β′, ὧν τὸ μὲν δίμετρον ἀκατάληκτον, τὸ δὲ καταληκτικόν, ἤτοι ἑφθημιμερές.

Th 879-880c ἐπὶ τῷ τέλει παράγραφος. T μέλεοι] ἄθλιοι.

Th 879a AAbBRaT μέλεοι] ἄθλιοι ἔθανον.

Th 879b XYb μέλεοι] ἀθλίως ἀποθανόντες.

Th 879c Ξa δῆθ'] κατ' ἀλήθειαν.

Th 879d CSj δῆθ'] ἀληθῶς.

Th 879e NaPPdR 1 μελέους] δυστυχεῖς.

Th 879f CSjYb μελέους] ἀθλίους.

Th 879g AbBV δόμων] τῆς πατρῴας ἀρχῆς.

Th 879h LcT λύμῃ] βλάβῃ, φθορᾷ.

Th 879i ALc λύμῃ] βλάβῃ.

Th 879j AbBCNaPRV ἀμφότεροι γὰρ θανόντες τῶν οἰκείων δόμων καὶ τῆς ἀρχῆς ἐστερήθησαν, Ἐτεοκλῆς μὲν Θηβῶν, Πολυνείκης δὲ ὧν παρὰ τοῦ Ἀδράστου ἔτυχεν εἰς προῖκα.

Th 879k ἢ τὸ δόμων ἀντὶ τοῦ τῆς πατρῴας ἀρχῆς ὡς ἄνωθεν ἔφημεν. θT λύμῃ] βλάβῃ, ἀπωλείᾳ.

Th 879l T ἀντιστροφὴ κώλων δ′.

Th 881-885a T + ἰὼ ἰ ώ· ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχή· ἰὼ ἰὼ δύσφρονες (875)· κώλων γάρ ἐστι καὶ αὕτη δ′ ὁμοίων ἐκείνοις.

Th 881-885b ἐπὶ τῷ τέλει παράγραφος μόνη. T τροχαϊκὸν περιοδικόν.

Th 881 F pc ἰαμβικὸς τρίμετρος.

Th 882a F pc ἐρειψίτοιχοι] οἱ καταβάλλοντες.

Th 882b AbCPQ ἐρειψίτοιχοι] καταβολεῖς.

Th 882c BO ἐρειψίτοιχοι] καταβληταί.

Th 882d PPdR 1 TXc ἐρειψίτοιχοι] οἱ ῥίψαντες.

Th 882e AbH ἐρειψίτοιχοι] ὄλεθροι, πορθηταί θT ἐρειψίτοιχοι] ὀλέθριοι.

Th 882g RaRb ἐρειψίτοιχοι] καταβληταί, ἀνατραπεῖς.

Th 882h Ξa πικρὰς μοναρχία ς· τουτέστι δυαρχεῖν οὐκ ἠθέλετε καὶ γέγονεν ἡμῖν πικρὰ ἡ τῆς μοναρχίας ἔφεσις.

Th 882i πῶς δὲ πικρά; ὅτι ἀνῃρέθητε ὑπ' ἀλλήλων. VW πικρὰς μοναρχίας] ἐπεθύμει γὰρ ἕκαστος ἀποκτείνας τὸν ἕτερον μόνος ἄρχειν, ὥστε ἣν ἐπεθύμουν μοναρχίαν ἰδεῖν, πικρὰ αὐτοῖς ἔδοξε, δι' ἐκείνην στερηθεῖσι τοῦ ζῆν.

Th 882j θT μοναρχίας] βασιλείας.

Th 882k BC περιοδικόν.

Th 883a F pc ἰδόντες] τὴν ἴσην μοῖραν λαχόντες.

Th 883b MY ἤδη διήλλαχθ ε· ἡ διαλλαγὴ ὑμῶν οὐκ ἐπὶ φιλίᾳ γέγονεν, ἀλλ' ἐπὶ ἀναιρέσει τῇ διὰ σιδήρου.

Th 884a I 1 M ἤδη διήλλαχθε σὺν σιδάρ ῳ· τοῦτό φησιν ὅτι· ἡ διαλλαγὴ ἡμῶν οὐκ ἐπὶ φιλίᾳ γέγονεν, ἀλλ' ἐπὶ ἀναιρέσει τῇ τοῦ σιδήρου.

Th 884b ABCD HNdP 1 PdSjVWXaYYaYb διήλλαχθ ε· κακὴ διαλλαγὴ ἡ διὰ θανάτου· μὴ ὄντες γὰρ οὐδὲ μάχην σχῆτε τὸ ἀπὸ τοῦδε.

Th 884c ἢ διήλλαχθε ἀντὶ τοῦ ἀπαλλάγητε. VW τῆς μάχης πέπαυσθε καὶ εἰς ἓν συνήλθετε τῇ κατ' ἀλλήλων σφαγῇ, σιδήρῳ διαλλακτῇ χρησάμενοι.

Th 884d φεῦ τοιούτου διαλλακτοῦ. σαφηνίζει δὲ τὴν διαλλαγὴν φάσκων οὐκ ἐπὶ φιλίᾳ γεγενῆσθαι, ἀλλ' ἐπὶ φόνῳ. τὸ δὲ διεκρίθητε ἀντὶ τοῦ κεχώρισθε. θT τροχαϊκὸν ἰθυφαλλικόν.

Th 884e F pc διήλλαχθε] διηλλάγητε.

Th 884f BCHR 1 Xc διήλλαχθε] διηλλάχθητε, ἐφιλιώθητε.

Th 884g AX διήλλαχθε] φιλιώθητε.

Th 884h AbNaSjYYaYbΞa διήλλαχθε] διελύθητε τοῦ κατ' ἀλλήλων μίσους.

Th 884i DPPd διήλλαχθε] ἤγουν σιδήρῳ διαλλακτῇ ἐχρήσασθε.

Th 884j T σιδάρῳ] ξίφει.

Th 885a AV οὐκ—διεκρίθητε] τοῦτο οὐχ εὑρέθη ἐν ἑτέροις παλαιοῖς βιβλίοις.

Th 885b F pc ἡμέτερον· + περισσὸν ἦν ἐνταῦθα τὸ οὐκέ τ ' ἐπὶ φιλί ᾳ , ἀλ λ ' ἐπὶ φόνῳ διεκρίθητε καὶ ἄμετρον καὶ κοινόλεκτον· διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ.

Th 885c T φόνῳ] ἀναιρέσει.

Th 885d PPdY διεκρίθητε] διεχωρίσθητε.

Th 885e AbBHVΞa διεκρίθητε] κατηλλάγητε.

Th 885f NaYaYb διεκρίθητε] κεχώρισθε.

Th 885g θ κάρτα δ ' ἀληθ ῆ· τῷ ὄντι ἡ τοῦ Οἰδίποδος Ἐρινὺς ἐτελείωσε τὰς ἐκείνου ἀρὰς κατὰ τῶν παίδων.

Th 886-887a M κάρτα δ ' ἀληθ ῆ· κάρτα δὲ καὶ λίαν ἀληθῆ ἐπέκρανε καὶ ἐπλήρωσε τὰ κατεύγματα τοῦ πατρὸς Οἰδίποδος ἡ σεβασμία καὶ τιμία Ἐριννὺς ἐκείνου, τουτέστι τῷ ὄντι ἡ τοῦ Οἰδίποδος Ἐριννὺς ἐτελείωσε τὰς ἐκείνου ἀρὰς κατὰ τῶν παίδων.

Th 886-887b ABCDHNdP 1 PdSjVWXaXcYYaYb ἀναπαιστικὰ β′.

Th 886-887c F pc + σύστημα κατὰ περικοπὴν κώλων β′.

Th 886-887d T + κάρτα δ ' ἀληθ ῆ· σύστημα ἕτερον κώλων ἀναπαιστικῶν δύο ὁμοίων τοῖς ἄνω εἰρημένοις.

Th 886-887e ἐπὶ τῷ τέλει παράγραφος. T ἀληθῆ] τὰ κατεύγματα.

Th 886a BHP ἀληθῆ] τὰς ἀράς.

Th 886b YaYb ἀληθῆ] τὰ πράγματα.

Th 886c NaR 1 πότνι'] σεβασμία.

Th 887a BCHP πότνι'] ἡ μεγάλη, ἢ διὰ τὸ ὡς θεὸν αὐτὴν εὐλαβεῖσθαι.

Th 887b DPPd πότνι'] κατ' εὐφημισμὸν λέγει τὴν Ἐριννὺν πότνιαν, ὡς καὶ εὐμενίδα φαμέν, ἢ ὡς θεὸν οὖσαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 887c θT πότνι’] ἣν δι’ ἀρᾶς ἐπήγαγε τοῖς παισίν.

Th 887d θT Ἐριννὺς] κατάρα.

Th 887e BCY Ἐριννὺς] ἤγουν ἡ ἀρὰ τοῦ πατρός.

Th 887f YaYb εἰς τέλος ἤγαγε τὰς ἀρὰς κατὰ τῶν παίδων.

Th 887g I 1 ἐπέκρανε] ἐτελείωσεν.

Th 887h BθTYaYb ἐπέκρανεν] ἐπλήρωσεν.

Th 887i AYa ἐπέκρανεν] εἰς τέλος ἦλθε.

Th 887j Ξa στροφὴ ἑτέρα κώλων ϛʹ.

Th 888-893a T + δ ι ’ εὐωνύμων τετυμμένο ι· τῆς παρούσης στροφῆς τὰ κῶλα ϛʹ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· κατὰ συνέχειαν γὰρ κεῖνται.

Th 888-893b τὸ αʹ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου, διτροχαίου καὶ συλλαβῆς, τὸ τῆς ἀντιστροφῆς δὲ κῶλον ἐπιτρίτους ἔχει ἀντὶ τούτων. τὸ βʹ ὅμοιον δίμετρον καταληκτικὸν ἐκ διιάμβου καὶ δακτύλου. τὸ γʹ ὅμοιον ἐξ ἐπιτρίτου τρίτου καὶ κρητικοῦ. τὸ δʹ καὶ τὸ εʹ ὅμοια ἡμιόλια ἐξ ἐπιτρίτων καὶ ἰάμβων. εἰ δὲ τὰ τῆς ἀντιστροφῆς κῶλα οὐχ ὁμοίους ἔχει πόδας—τὸ μὲν γὰρ ἔχει πρῶτον ἐπίτριτον, τὸ δὲ ἀντίσπαστον καὶ τροχαῖον, εἰ βούλει, ἢ ἴαμβον διὰ τὴν ἀδιάφορον—οὐδὲν θαυμαστόν· τῷ αὐτῷ γάρ εἰσι καὶ οὗτοι οἰκεῖοι μέτρῳ. τὸ ϛʹ ἰωνικὸν ἀπ’ ἐλάττονος μονόμετρον ὑπερκατάληκτον ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ καὶ συλλαβῆς· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς πεντασυλλάβους ἔχει τοὺς πόδας. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. T ἀντισπαστικὰ γʹ.

Th 888-890 F pc δ ι ’ εὐωνύμων τετυμμένο ι· τὸ ἑξῆς τοῦ λόγου οὕτως νοητέον· ἤδη διήλλαχθε σὺν σιδάρῳ· οὐκ ἐπὶ φιλίᾳ ἀλλ’ ἐπὶ φόνῳ διεκρίθητε τετυμμένοι καὶ τυφθέντες καὶ τρωθέντες δι’ εὐωνύμων—τοῦτο δὲ συμβαίνει ἐν τοῖς κατὰ τὸ ἐναντίον ἱσταμένοις—, οἷον διαμπὰξ ἀλλήλων τὰς πλευρὰς τρώσαντες· ἑκάτερος γὰρ τῶν μονομαχούντων τὸ ἀριστερὸν πλευρὸν τοῦ ἀντιπάλου τιτρώσκειν βούλεται.

Th 888a οἷον διὰ τῶν πλευρῶν αὐτῶν τεθνήκασιν οἱ ὁμόσπλαγχνοι. ABCDHNcNdP 1 PdSjVWXaYYaYb εὐωνύμους τὰ ἀλλήλων χεῖρας καλεῖ ὡς κακῶν ἐργαστρίας καὶ οὐ δεξιὰς ἐκείνας καλεῖ· τῶν γὰρ δεξιῶν ἡ καλὴ ἐργασία.

Th 888b ἢ εὐώνυμα λέγει τὰ πληγώματα αὐτῶν· εὐωνύμως γὰρ ἐπλήγησαν. ἑκάτερος γὰρ τῇ δεξιᾷ χειρὶ τὴν ἑκατέρου εὐώνυμον πλευρὰν ἔπληξαν. P 2a SjVW δ ι ’ εὐωνύμω ν· τὸ ἑξῆς· διήλλαχθε δι’ εὐωνύμων.

Th 888c τοῦτο δὲ συμβαίνει ἐν τοῖς κατὰ τὸ ἐναντίον ἱσταμένοις. M συμβαίνει τοῖς ἀντικαθισταμένοις· κατὰ τῶν ἀριστερῶν γὰρ ἀλλήλους κεντοῦσι πλευρῶν.

Th 888d I 1 ὦ δι’ εὐωνύμων συγγενικῶν πλευρῶν τυπέντες.

Th 888e I 1 κἂν δὲ ἐν δεξιοῖς ἀληθῶς, ἀλλ’ οὖν πρὸς ἕτερον τὸν ἀπεναντίον ἱστάμενον καὶ τὸ δεξιὸν ἀριστερὸν ὥσπερ ἐκείνου ἦν τε καὶ ἐλογίζετο.

Th 888f VW δι’ εὐωνύμων] πλευρῶν.

Th 888g BCHNaPVYYaYb τὸ εὐωνύμων πρὸς τὸ ὁμοσπλάγχνων πλευρωμάτων συντακτέον.

Th 888h ἔφη δὲ διὰ μέσου τὸ ἕτερον ἡμιχόριον τὸ τετυμμένοι ὥσπερ συμμαρτυροῦν τῷ προτέρῳ. συμβαίνει δὲ τοῖς μονομαχοῦσι κατὰ τὸ εὐώνυμον μέρος τὰς τρώσεις δέχεσθαι ἱσταμένοις ἐναντίον ἀλλήλων, ὡς ἑκάτερον τῇ δεξιᾷ χειρὶ τὴν ἀριστερὰν ἑκατέρου παίειν πλευράν. μαρτυρεῖ δὲ τοῦτο καὶ τὸ ἀντιφόνων (894) καὶ τὸ διανταίαν (895). θT εὐωνύμων] ἀριστερῶν.

Th 888i ΟθΤ τετυμμένοι] τετρωμένοι.

Th 889a ACI 3 VXYYaYb τετυμμένοι] τυφθέντες.

Th 889b AbCOPR 1 τετυμμένοι] ὦ μέλεοι οἱ τυφθέντες.

Th 889c PPd τετυμμένοι] τρωθέντες· διεκρίθητε κατὰ κοινοῦ.

Th 889d θ τετυμμένοι] τετρωμένοι· διήλλαχθε ἀπὸ κοινοῦ.

Th 889e T τετυμμένοι δῆθ’] διὰ μέσου.

Th 889f BLc δῆτα] ἀληθῶς.

Th 889g BR 1 Sj δῆτα] καθ’ ἀλήθειαν.

Th 889h CYb ὁμοσπλάγχνων τε πλε ( υρωμάτω ν)· οἷον διαμπὰξ ἀλλήλων τὰς πλευρὰς τρώσαντες· ἑκάτερος γὰρ τῶν μονομαχούντων τὸ ἀριστερὸν πλευρὸν τοῦ ἀντιπάλου τιτρώσκειν βούλεται.

Th 890a οἷον διὰ τῶν πλευρῶν αὐτῶν καθήκασιν οἱ ὁμόσπλαγχνοι. Μ ὁμοσπλάγχνων τε πλευρωμάτων τὸ ἑξῆς τοῦ λόγου οὕτως· δι’ εὐωνύμων τετυμμένοι ὁμοσπλάγχνων τε πλευρωμάτων· τοῦ γὰρ ἡμιχορίου ἀρξαμένου λέγειν δ ι ’ εὐωνύμων τετυμμένοι καὶ μέλλοντος εἰπεῖν καὶ τὸ ὁμοσπλάγχνων πλευρωμάτων, ἐν τῷ μέσῳ ἔφησε τὸ ἕτερον ἡμιχόριον συμμαρτυροῦν καὶ συμφωνοῦν ἐκείνῳ ἀληθῶς τετυμμένο ι. [5]

Th 890b ABCDHNcNdP 1 PdSjVWXaXcYYaYb ὁμοσπλάγχνων] ἀδελφικῶν.

Th 890c CNaPPdθTVYYaYb πλευρωμάτων] πλευρῶν.

Th 890d AbCR 1 V πλευρωμάτων] τῶν συγγενικῶν.

Th 890e Ξa ἀντισπαστικὰ ἡμιόλια β′ καὶ ἓν μονόμετρον.

Th 891-894 F pc δαιμόνιοι] ἄθλιοι.

Th 891a ABXYb δαιμόνιοι] δυστυχεῖς.

Th 891b AbCNaPPdR 1 θTΞa ἀντιφόνων] ἰσοφόνων.

Th 893a ABCHNaNcPPdRbXcΞa ἀντιφόνων] ἀντὶ τοῦ ἴσων.

Th 893b YaYb ἀντιφόνων] τῶν ἐξ ἐναντίας γινομένων.

Th 893c θT θανάτων ἀραί] μονόμετρον.

Th 894a F pc ἀραί] τοῦ Οἰδίποδος.

Th 894b T ἀντιστροφὴ κώλων ς′.

Th 895-899 T ἀντισπαστικὰ γ′.

Th 895-896 F pc διανταίαν λέγεις πλα ( γά ν)· πληγὴν λέγεις διαμπὰξ γενομένην καὶ ἐπὶ τῶν σωμάτων καὶ ἐπὶ τῶν οἴκων· ἄμφω γὰρ ἔχει κακῶς.

Th 895a M διανταίαν λέγει ς· πληγὴν λέγεις διαμπὰξ γενομένην καὶ δι’ ἐναντίας ἐρχομένην καὶ ἐπὶ τῶν σωμάτων καὶ τῶν οἴκων· ἄμφω γὰρ ἔχει κακῶς.

Th 895b ABDHNcP 1 PdSjVWYYaYb διαμπὰξ γεγενημένην καὶ ἐπὶ τῶν σωμάτων καὶ ἐπὶ τῶν οἴκων· ἄμφω γὰρ ἔχουσι κακῶς.

Th 895c I 1 διανταίαν] δι’ ἐναντίας ἐρχομένην.

Th 895d BH διανταίαν] ἰσχυράν.

Th 895e BP διανταίαν] διπλῆν.

Th 895f NaPdR 1 YYa διανταίαν] δι’ ἐναντίαν ἐλθοῦσαν.

Th 895g XYa διανταίαν] διόλου.

Th 895h PdQ διανταίαν] διπλῆν ἢ ἐξ ἐναντίας.

Th 895i CXc διανταίαν] τὴν ἀλλήλων ἐξ ἐναντίας γινομένην.

Th 895j θT διανταίαν] δι’ ἐναντίας ἐπλήγησαν.

Th 895k Ξa δόμοισι καὶ σώμασ ι· εἰπόντος τοῦ ἡμιχορίου αἲ αἲ ἀντιφόνων θανάτων ἀρα ί, καὶ πρὸς τοῦτο ἀντιφήσαντος τοῦ ἑτέρου ἡμιχορίου ὅτι διανταίαν λέγεις πληγήν, ὥσπερ ἐφερμηνεῦον ἄνωθεν τί εἶπε τὸ πρῶτον ἡμιχόριον, λέγει ὅτι· φημὶ αὐτοὺς στερηθέντας καὶ οἴκων καὶ σωμάτων διὰ τὸ ἀναιρεθῆναι ὑπ’ ἀλλήλων. [5]

Th 895-896bis ABCHNcP 1 Pd SjVWXaYYb τὸ δεύτερον ἡμιχόριον ὥσπερ ἐφερμηνεῦον τὸ τοῦ πρώτου ἡμιχορίου λόγιον τὸ ἀντιφόνων θανάτων φησὶν ὅτι διανταίαν λέγεις πληγή ν· πιστευόμενον οὖν τὸ πρῶτον ἡμιχόριον τὸν αὐτοῦ λόγον εἰσαῦθις λέγει ὅτι δώμασι καὶ σώμασ ι.

Th 895l I 2 σφαγέντες γὰρ αὐτοί τε ἀπολώλασι καὶ τῆς ἀρχῆς δι’ ἣν ἐμάχοντο ἀπεστέρηντο· τοῦτο γάρ ἐστι τὸ δώμασι καὶ σώμασι πεπληγμένου ς.

Th 895m ἐπλήγησαν δὲ ἐν προθυμίᾳ ψυχῆς οὐχ οἵᾳ τε ῥηθῆναι, καὶ ἐν δυστυχίᾳ ἐκ κατάρας πατρὸς ἐπελθούσῃ διχόφρονι καὶ διπλῇ· κατ’ ἀμφοτέρων γὰρ ἦν. θT δώμασι] οἴκοις. [5]

Th 895n AVX πεπλαγμένους] στερηθέντας.

Th 896a ABDNcPPd πεπλαγμένους] τετρωμένους.

Th 896b AbCNaVYa πεπλαγμένους] ἢ πεπληγμένους, ἤγουν τρωθέντας.

Th 896c PPd ἐννέπω] λέγω.

Th 896d AAbCDHNaPPdR 1 θTVXc ὅμοια ἡμιόλια γʹ.

Th 897-899 F pc ἀναυδάτῳ μένε ι· ἀνήρηνται ὑπ’ ἀλλήλων ἰσχύι μεγάλῃ καὶ ἀλαλήτῳ.

Th 897a I 1 M ἀναυδάτῳ μένει] ἀκαθέκτῳ ὀργῇ.

Th 897b DI 1 M ἀναυδάτῳ] ἀλαλήτῳ.

Th 897c AXY ἀναυδάτῳ] ἀρρήτῳ.

Th 897d BHNaR 1 θT ἀναυδάτῳ] ἀφώνῳ.

Th 897e CVXc ἀναυδάτῳ] ἡσύχῳ.

Th 897f PPd ἀναυδάτῳ] ἀλόγῳ.

Th 897g PQ μένει] ὀργῇ, ψυχῇ, προθυμίᾳ.

Th 897h I 1 μένει] προθυμίᾳ.

Th 897i BHNaθT μένει] ὀργῇ.

Th 897j BNaNcPPdR 1 μένει] θράσει.

Th 897k NaPQ ἀραίῳ] ἐπικαταράτῳ.

Th 898a BNc ἀραίῳ] καταρασίμῳ.

Th 898b NaPR 1 TXYaYb διχόφρονι] οὐχ ὁμονοοῦντες.

Th 899a M διχόφρονι πότμ ῳ· οὐχ ὁμογνωμονοῦντι, ἀλλὰ διχογνωμονοῦντι.

Th 899b DP 1 P 2gl διχόφρονι] διακεχωρισμένῳ.

Th 899c BNc διχόφρονι] διπλῷ.

Th 899d AbNaPR 1 θTV διχόφρονι] διασπαστικῷ.

Th 899e Ξa πότῳ] τύχῃ ἢ θανάτῳ.

Th 899f I 1 πότμῳ] θανάτῳ.

Th 899g BCV πότμῳ] δυστυχίᾳ.

Th 899h

AbT ὅμοια ἑφθημιμερῆ δ′ καὶ ἡμιόλια β′ καὶ πενθημιμερὲς ἕν.

Th 900-906a F pc + σύστημα κατὰ περικοπὴν κώλων ζ′.

Th 900-906b T ἡμέτερα· + διήκει δὲ καὶ πόλι ν· σύστημα ἕτερον κατὰ περικοπὴν κώλων ζ′.

Th 900-906c τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ δακτύλου. τὸ β′ ἰαμβικὸν ἑφθημιμερὲς καθαρόν. τὸ γ′ ὅμοιον κατὰ πάντα. τὸ δ′ ὅμοιον τὸν β′ καὶ τρίτον ἔχον πόδα χορείους. τὸ ε′ καὶ ς′ ἀντισπαστικὰ ἡμιόλια ἐξ ἀντισπάστων καὶ ἰάμβων. τὸ ζ′ χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον. ἐπὶ τῷ τέλει παράγραφος. T ὁ τούτων στεναγμὸς ἥψατο καὶ τῆς πόλεως. [5]

Th 900a ADMXYa καὶ πόλιν στόνο ς· ὁ τούτων στεναγμὸς ἥψατο καὶ τῆς πόλεως.

Th 900b I 1 διήκει] διέρχεται.

Th 900c AAbBHNaθTVXc στόνος] στεναγμός.

Th 901a BCT στένουσι] στενάζουσι.

Th 901b AbCT στένει] στενάζει.

Th 901c AbCT πέδον φίλανδρον] πόλις ἡ φιλοῦσα τοὺς ἄνδρας.

Th 902a XYa πέδον φίλανδρον] τὸ ἀγαπῶν τοὺς ἄνδρας τεῖχος.

Th 902b CΞa πέδον] ἡ πόλις ἡ ἡμετέρα.

Th 902c AD φίλανδρον] τὸ ὑπ’ ἀνδρῶν φιλούμενον.

Th 902d [5] θT μενεῖ κτέανά τ ’ ἐπιγόνοι ς· τοῦτό φησιν ὅτι τὰ χρήματα, δι’ ὧν, ἀντὶ τοῦ ὧν χάριν, φιλονεικία ἐγένετο καὶ θανάτου τέλος τοῖς αἰνομόροις ἀδελφοῖς, μενεῖ καὶ ἀπομενεῖ καὶ ἐπικτηθήσεται τοῖς ἐπιγόνοις καὶ συγγενέσι ἐκείνων, τουτέστιν ἄλλοι κερδήσουσι τὰ χρήματα δι’ ἃ ἐκεῖνοι ἀπώλοντο.

Th 902-905a ἢ οὕτως· τὰ κτέανα ταῦτα, οἱονεὶ τὰ ὀνείδη, διήξουσι μέχρι τῶν ἐπιγόνων. κτέανα δὲ εἶπεν ὡς ἐπὶ οὐσίας, οἱονεὶ κληρονόμοι τῶν παθῶν ἐκείνων καὶ τῶν ὀνειδῶν οἱ παῖδες γενήσονται, ὀνειδιζόμενοι τὴν τῶν προγόνων ἀπώλειαν. ABCDHNcNdP 1 PdSjVWXaXcYYa Yb ἕτεροι κερδήσουσι τὴν ἀρχὴν δι’ ἣν κακῶς ἀπολώλασιν οὗτοι· ἢ τοῖς ὕστερον ἔσται λόγος, ὁρῶσι πρὸς τὴν τῶν Θηβῶν ἀρχήν, ὡς διὰ ταύτην ἀδελφοῖς συμβέβηκε θάνατος.

Th 902-905b θT μενεῖ κτέανά τ ’ ἐπιγό ( νοι ς)· ἄλλοις ἔσται τὰ χρήματα δι’ ἃ ἀπώλοντο.

Th 902-903 ἢ οὕτως· τὰ κτέανα ταῦτα, οἷον τὰ ὀνείδη, διήξει μέχρι τῶν ἐπιγόνων. κτέανα δὲ εἶπεν ὡς ἐπὶ οὐσίας, οἷον κληρονομήσουσι τῶν παθῶν οἱ παῖδες. I 1 M μενεῖ] ἀπομενεῖ.

Th 902a BP μενεῖ] μένουσι.

Th 902b QV κτέανα] ἢ τὰ κτήματα ἢ τὰ ὀνείδη.

Th 902c ABHNaPXYa κτέανα] κτήματα.

Th 902d AbCLcNbQR 1 TV ἐπιγόνοις] συγγενέσιν.

Th 903a BHX ἐπιγόνοις] τοῖς ἐπιγενεστέροις.

Th 903b DPPdY ἐπιγόνοις] τοῖς μεταγενεστέροις.

Th 903c CXc ἐπιγόνοις] τοῖς ὕστερον.

Th 903d θT ἐπιγόνοις] τοῖς ἐξ ἡμῶν γεννηθεῖσι.

Th 903e Ξa δι’ ὧν] τὸ ἑξῆς· δι’ ὧν δι’ ὧν.

Th 904a I 1 δι’ ὧν] ἀντὶ τοῦ ὧν χάριν.

Th 904b CXc δι’ ὧν] κτημάτων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 904c PQ δι’ ὧν] κτεάνων.

Th 904d T αἰνομόροις] κακοθανάτοις.

Th 904e ACPR 1 XYaΞa αἰνομόροις] τοῖς δυστυχέσι καὶ κακῶς θανοῦσι.

Th 904f θT νεῖκος] φιλονεικία ἐγένετο.

Th 905a ABCT νεῖκος] μάχη.

Th 905b θT ἔβα] ἦλθεν.

Th 905c BCHR 1 RaT + σύστημα ἕτερον κώλων ε′.

Th 907-910a T + ἐμοιράσαντ ο· σύστημα ἕτερον κατὰ περικοπὴν κώλων ε′.

Th 907-910b τὸ α′ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον καθαρόν. τὸ β′ τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ γ′ ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου α′ καὶ ἰάμβου. τὸ δ′ ὅμοιον ἐξ ἐπιτρίτου τρίτου καὶ ἰάμβου· εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ε′ χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου πεντασυλλάβου καὶ σπονδείου ἢ ἰάμβου, εὕρηται γὰρ καὶ μακρὸν καὶ βραχὺ τὸ τοῦ Ἄρεος α′, ὃ καὶ κυρίως ἐγώ φημι ὀνομάζεσθαι δίχρονον, καὶ τἄλλα τὰ παραπλήσια. εἰ δὲ βούλει, ἔστω τὸ κῶλον τροχαϊκὸν ἰθυφαλλικὸν τοῦ δευτέρου ποδὸς χορείου. ἐπὶ τῷ τέλει παράγραφος. T ὅμοια. [5]

Th 907-908a τὸ α′ τ[ρίμετρον] βραχυκατά[ληκτον], τὸ β′ ἑφθημιμερές, καὶ τὸ γ′ ἡ[μιόλιον]. F pc τὸ δὲ ἐμοιράσαντο, τουτέστιν ὀξύθυμοι ὄντες ἐμοιράσαντο καὶ διενείμαντο τὰ κτήματα ὥστε ἴσα λαχεῖν.

Th 907-908b λέγει δὲ τὰς ταφάς· μόνος γὰρ ὁ τάφος αὐτοῖς ἐξ ἴσου μεμέρισται καὶ τοῦτον μόνον ἐκέρδησαν. ABHNcP 1 PdSjVWYYa οὕτω διεμοιράσαντο τὴν ἀρχὴν ὥστε αὐτῶν ἕκαστον ἴσον μέρος ταύτης λαχεῖν καὶ μὴ πλέον σχεῖν ἕτερον θατέρου.

Th 907-908c τὸ δέ ἐστι τὸ ἀμφοτέρους τεθνάναι. εἰ γάρ τις αὐτῶν ἔζη, ὁ μὲν μόνος εἶχεν, ὁ δὲ θανὼν ἀπεστέρητο. εἰ δὲ καὶ ἄμφω ἔζων, ἐπλεονέκτει ἂν ὁ μέν ποτ’ ἐκείνου, ἐκεῖνος δὲ τούτου, καθάπερ καὶ πρόσθεν ἐγένετο. θT ὀξυκάρδιο ι· ὀξύθυμοι ὄντες ἐμοιρήσαντο καὶ διενείμαντο τὰ κτήματα ὥστε ἴσον λαχεῖν· φησὶ δὲ τὰς ταφάς. [5]

Th 907-908d M ὀξυκάρδιοι] ὀξύθυμοι.

Th 907a AAbDFdI 1 NaPPdR 1 RbSjVYYb ὀξυκάρδιοι] θυμώδεις.

Th 907b CYa ὀξυκάρδιοι] ὀξύθυμοι καὶ πρὸς μάχην καὶ φόνον θερμότατοι.

Th 907c θT ὀξυκάρδιοι] τολμηροὶ καὶ ἀκάθεκτοι, ὀξέως καὶ ἀσκέπτως κινούμενοι.

Th 907d Ξa κτήμαθ’] τὰς ταφὰς λέγει.

Th 907e ANaPPdYYa ἴσον γὰρ τόπον ἔλαχον εἰς ταφήν.

Th 908a I 1 ἴσον] ἐπίσης.

Th 908b SjYaYb ἴσον] + ἤγουν τὴν τοῦ τάφου γῆν.

Th 908c T ἴσον] τὴν ἰσότητα.

Th 908d Ξa λαχεῖν] μερίσαι.

Th 908e BP λαχεῖν] κληρώσασθαι.

Th 908f CSjYb διαλλακτῆρι δ ’ οὐκ ἀμε ( μφί α)· μέμφονται δὲ οἱ φίλοι αὐτῶν τὸν διαλλακτῆρα σίδηρον ὡς μηδετέρῳ χαρισάμενον.

Th 908-910a I 1 M τὸ δὲ διαλλακτῆρι δ ’ οὐκ ἀμεμφία φίλοι ς· οὐκ ἀμεμφία δὲ καὶ ἔπαινος καὶ τιμὴ τῷ καταλλάξαντι αὐτοὺς σιδήρῳ καὶ διαλύσαντι τὸ νεῖκος, ἀλλὰ μέμψις καὶ ὄνειδος.

Th 908-910b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἱονεί· μέμφονται δὲ οἱ φίλοι τὸν διαλλακτῆρα αὐτῶν σίδηρον ὡς οὐδετέρῳ χαρισάμενον, ἀλλ' ἀνελόντα καὶ τοὺς δύο. ABCHNcNdP 1 PdSjVWXaYYa ἐμερίσαντο δὲ ἐν διαλλακτῆρι καὶ τῆς μάχης παυστῆρι, τῷ θανάτῳ δηλονότι, βαρεῖ μὲν τοῖς φίλοις καὶ δυσχερεῖ ἅτε φίλοις, οἱ δὲ ἐχθροὶ τὴν αὐτῶν φύσιν ἠρνήσαντο· οὐ γὰρ ἐπίχαρις αὐτοῖς ἔδοξεν, ἀλλὰ καὶ οὗτοι ἠλέησαν, τοσοῦτόν ἐστι τὸ κατ' αὐτοὺς δρᾶμα. [5]

Th 908-910c θT διαλλακτῆρι] τῷ σιδήρῳ.

Th 908f BDHNaPPdR 1 YΞa διαλλακτῆρι] τῷ φιλίας καταλλάξαντι.

Th 908g CXXc διαλλακτῆρι] τῷ διαλλάξαντι σιδήρῳ.

Th 908h PV διαλλακτῆρι] τῷ οὕτως αὐτοὺς διαλλάξαντι.

Th 908i T οὐκ ἀμεμφία] ἀλλὰ μέμψις.

Th 909a BCM 2 PPdR 1 XcY οὐκ ἀμεμφίᾳ] ἀλλ' ἐπιψόγῳ· ἔστι δὲ ἡ εὐθεῖα ὁ ἀμεμφίας ὡς ὁ κοχλίας.

Th 909b θ οὐκ ἀμεμφία] + ἔστιν· ἀλλὰ μέμψις ἐκ φίλων ἔρχεται ὡς κακῶς διαλλάξαντι.

Th 909c T ἀμεμφία] ἔπαινος.

Th 909d BDNaNcPY ἀμεμφία] τιμή.

Th 909e VY οὐδ' ἐπίχαρις] + ἀλλὰ λυπηρός.

Th 910a T ἐπίχαρις] χαρᾶς αἴτιος αὐτοῖς γέγονεν.

Th 910b AXYa ἐπίχαρις] εὐφραντός.

Th 910c BV ἐπίχαρις] ἀποδεκτὸς τοῖς ἐχθροῖς· τῶν γὰρ ἐχθρῶν ἐστι τὸ ἐπιχαίρειν.

Th 910d θ ἐπίχαρις] ἡδύς.

Th 910e Ξa Ἄρης] ὁ σίδηρος.

Th 910f XYa Ἄρης] ἡ μάχη αὐτῶν.

Th 910g T ὅμοια τρίμετρα β[ραχυ]κατά[ληκτα] β′ καὶ [ἐφ]θη[μιμερῆ] β′.

Th 911-914a F pc στροφὴ ἑτέρα κώλων δ′.

Th 911-914b T ἡμέτερα· + σιδηρόπληκτοι μέ ν· ἡ στροφὴ αὕτη κώλων ἐστὶ δ′.

Th 911-914c τὸ ἀσυνάρτητον ἐκ δύο ἰαμβικῶν πενθημιμερῶν συγκείμενον. τὸ β′ ὅμοιον. τὸ γ′ περιοδικὸν καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας καὶ τροχαϊκῆς καταληκτικῆς. τὸ δ′ ὅμοιον. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ συνήθως. T σιδαρόπληκτοι] οἱ φονευθέντες. [5]

Th 911a PPd σιδηρόπληκτοι] + οἱ ὑπὸ τοῦ ξίφους πληγέντες.

Th 911b T ἔχουσι] + ἤγουν τεθνήκασι.

Th 911c T σιδαρόπληκτοι] τάφοι.

Th 912a CNaPYaYb σιδηρόπληκτοι] + τοὺς τάφους λέγει οὓς διὰ σιδήρου κατασκευάζουσιν, ὃ καὶ ἐπάγει.

Th 912b T μένουσι] ἐκδέχονται.

Th 912c θT ὡς ἀνοήτως αὐτὸ εἰπούσης 〈ἐρωτᾷ〉 τίνες αὐτοὺς μένουσι.

Th 913-914 ἐπάγει· αἱ λαχαί, ἤγουν αἱ σκαφαί, τῶν πατρῴων τάφων, ὡς τὸ (Hom. ω 242) φυτὸν ἀμφελάχαιν ε. I 1 τά χ ' ἄν τις εἴπο ι· ὡς ἀνοήτως αὐτὸ εἰπούσης ἐρωτᾷ τίνες αὐτοὺς μένουσιν.

Th 913a M τὸ δὲ τά χ ' ἄν τις εἴποι τίνε ς· ὡς ἀνοήτως αὐτῆς εἰπούσης ἐρωτᾷ τίνες αὐτοὺς μένουσιν.

Th 913b ABCHNcNdVWXaYYa τά χ ' ἄν τις εἴπο ι· τίνες αὐτοὺς περιμένουσι σιδηρόπληκτοι; τοῦτο δὲ τοῦ ἑνὸς ἡμιχορίου εἰπόντος ἀποκρίνεται τὸ ἕτερον.

Th 913c P 1 PdSj τάφων πατρῴων] ἤγουν τῶν ὀφθαλμῶν.

Th 914a BPR 1 πατρῴων] πατρικῶν.

Th 914b PT λαχαὶ] αἱ σκαφαί· 〈ὡσ〉 τὸ (Hom.

Th 914c ω 242) φυτὸν ἀμφελάχαινε ν. M τάφων πατρῴων λαχα ί· αἱ λαχαὶ καὶ διωρύξεις, ἀπὸ τοῦ λαχαίνω τὸ διορύσσω, τῶν τάφων τῶν πατρῴων, ἤτοι τῶν ὀμμάτων τῶν τοῦ πατρός· τάφοι γὰρ ἄντικρυς τῷ πατρὶ ἡ στέρησις τῶν ὀμμάτων.

Th 914d ABCHNcNdP 1 PdSjVWXaYYaYb λαχαὶ] διορύξεις.

Th 914e BCNaNcPdR 1 Ra λαχαὶ] αἱ διορύξεις, ἀπὸ τοῦ λαχαίνω τὸ σκάπτω.

Th 914f HP λαχαὶ] διορύξεις τῶν ὀμμάτων.

Th 914g YYa τὸ λαχαὶ ἢ ἀντὶ τοῦ διορύξεις νόει· λαχαίνω γὰρ τὸ σκάπτω ἐξ οὗ καὶ λάχανον· ἤ, ὃ καὶ κρεῖττον, ἀντὶ τοῦ κληρώσεις, ἤγουν οἱ κεκληρωμένοι αὐτοῖς πατρῷοι τάφοι.

Th 914h θT λαχαὶ] αἱ κληρώσεις.

Th 914i FdSjTYb δόμων μά λ ’ ἀχ ώ· ἀπὸ τῶν δόμων ἠχὴν καὶ βοὴν προπέμπει ἐπ’ αὐτοὺς γόος καὶ θρῆνος δαϊκτὴρ καὶ διακόπτων τὰς φρένας, οὐκ ἐπὶ τοῖς καλοῖς χαίρων, διακόπτων πάντας, αὐτοπήμων, ἤτοι ἀφ’ ἑαυτοῦ ἔχων τὰ κακὰ καὶ πολέμια, ἐκ βάθους θρηνῶν, ἥτις ἠχὼ μινύθει καὶ σμικρύνεται καὶ ἐλαττοῦται ἐμοῦ θρηνούσης καὶ σφοδρότερον ἦχον καὶ μείζονα ποιουμένης.

Th 915-921a ABDHNcP 1 PdSjVWXcYYaYb ὅμοια δίμετρα ἀκατάληκτα ἕξ, τὸ δὲ ζ′ ἑφθημιμερές.

Th 915-921b F pc + σύστημα κατὰ περικοπὴν κώλων ζ′.

Th 915-921c T δόμων μά λ ’ ἀχή ν· σύστημα ἕτερον κατὰ περικοπὴν κώλων ζ′.

Th 915-921d τὸ α′ περιοδικὸν δίμετρον ἀκατάληκτον ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς συζυγίας. τὸ β′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου τρίτου διὰ τὴν ἀδιάφορον. τὸ γ′ ὅμοιον τῷ α′. τὸ δ′ ἰωνικὸν ἀπ’ ἐλάττονος δίμετρον ἀκατάληκτον ἐκ δύο ἰωνικῶν. τὸ ε′ χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ δύο χοριάμβων. τὸ ϛ′ ὅμοιον κατὰ πάντα. τὸ ζ′ ὅμοιον δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ βακχείου. ἐπὶ τῷ τέλει παράγραφος. T ἀχὴν] βοήν.

Th 915a NaPQθTVYa ἀχὼ] ἦχον.

Th 915b NaP αὐτοὺς] τοὺς ἀδελφούς.

Th 915c θT 〈προπέμπει〉 ] λείπει τὸ προπομπά.

Th 916a M προπέμπει] προέρχεται.

Th 916b SjYb προπέμπει] προφέρει.

Th 916c T δαϊκτὴρ] διακόπτων τὰς φρένας.

Th 916d AbBHPYYa δαϊκτὴρ] πολέμιος.

Th 916e NaPPdQR 1 δαϊκτὴρ] μεριστής.

Th 916f CLcSj δαϊκτὴρ] + διαμερίζων τὸν θρηνοῦντα.

Th 916g T γόος] θρῆνος.

Th 916h AT αὐτόστονο ς· ἐν ἑαυτῷ τὸν στόνον ἔχοντα.

Th 917-918 ὁ δὲ γόος, φησίν, αὐτοπήμων ἐστίν, ἀφ’ ἑαυτοῦ τὰ κακὰ ἔχων καὶ τὰ πολέμια. δαΐφρων δέ, δαΐζων τὰς φρένας. M αὐτόστονος] αὐτοστένακτος.

Th 917a LcPTV αὐτοπήμων] ἀφ’ ἑαυτοῦ ἔχων τὰ κακά.

Th 917b BDP αὐτοπήμων] αὐτόκλαυστος.

Th 917c BH αὐτοπήμων] ἤγουν αὐτοὶ ἀφ’ ἑαυτῶν ἐβλάβησαν.

Th 917d

NaP αὐτοπήμων] αὐτοβλαβής.

Th 917e CLeSjYb αὐτοπήμων] + αὐτῷ πῆμα καὶ βλάβη γενόμενος τῷ ἔχοντι.

Th 917f T λυπηρὸς καὶ διακόπτων τὰς φρένας θρῆνος.

Th 918-920 πάντα δὲ τὰ τοιαῦται ὀνόματα οἰκεῖα τῷ θρήνῳ· αὐτὸς γάρ ἐστι στεναγμὸς καὶ πῆμα τοῖς ἔχουσι. τὸ δὲ ἐτύμως πρὸς τὸ δαΐφρων καὶ οὐ πρὸς τὸ φιλαγαθὴς συντακτέον· ἀληθῶς γάρ ἐστιν ὁ γόος δαΐφρων. δακρυχέων δὲ ἐκ φρενὸς ἀντὶ τοῦ δάκρυ πέμπων ἐκ τῆς τοῦ ἔχοντος αὐτὸν διανοίας· οὐ γὰρ οἷόν τε γόον εἶναι χωρὶς δακρύων. θT δαΐφρων] τὰς φρένας δαΐζων ὁ γόος. [5]

Th 918a I 1 δαΐφρων] διακόπτων τὰς φρένας.

Th 918b PVXYa δαΐφρω ν· ἀφανιστὴς τῶν φρενῶν.

Th 918c AV δαΐφρων] τὰς φρένας κόπτων.

Th 918d PdR 1 δαΐφρων] πολεμικός.

Th 918e AbHa δαΐφρων] πολέμιος ταῖς φρεσίν.

Th 918f θT ἡμέτερον· + οἱ γράφοντες οὐ φιλογαθὴς ἐτύμως οὐ καλῶς γράφουσιν· οὐ γὰρ ἦν ἔν τινι τῶν παλαιῶν.

Th 918g διὸ ἐξεβλήθη παρ’ ἐμοῦ. T οὐκ εἴωθε γεγηθέναι, ἢ οὐκ ἐπὶ τοῖς καλοῖς χαίρων.

Th 918h I 1 οὐ φιλογαθὴς] οὐκ ἐπὶ τοῖς καλοῖς χαίρων.

Th 918i ADMPdVXYa οὐ φιλαγαθὴς] οὐ φιλῶν τὸ ἀγαθόν.

Th 918j BCH οὐ φιλαγαθὴς] φιλόγελως· γήθω γὰρ τὸ χαίρω.

Th 918k θT οὐ φιλαγαθὴς] ἀλλὰ μισητός.

Th 918l VY ἐτύμως] ἀληθῶς.

Th 919 BHaNaR 1 VYa δακρυχέων ἐκ φρενὸς] ἐκ βάθους θρηνῶν.

Th 920a ABMPQ δακρυχέων] κινητικὸς δακρύων.

Th 920b θT ἐκ φρενὸς] ἀπὸ καρδίας.

Th 920c PPd ἐκ φρενὸς] ἐκ ψυχῆς.

Th 920d CHaNaR 1 ἐκ φρενὸς] + ἤγουν μετὰ λογισμοῦ καὶ οὐκ ἀλόγως.

Th 920e T ἅτις ἠχὼ μινύθει καὶ ἐλαττοῦται ἐμοῦ θρηνούσης καὶ σφοδρότερον ἦχον καὶ μείζονα ποιουμένης.

Th 920f CNdXa ἅ] ἡ ἠχώ.

Th 920g BDHVXcYa ἅ] ἡ φρήν.

Th 920h HHaI 1 NaPT ἅ] ἡ φρήν μου.

Th 920i θ κλαιομένας] κλαιούσης τοὺς δύο βασιλεῖς.

Th 920j M κλαιομένης] κλαιούσης.

Th 920k T κλαιομένας] θρηνούσης.

Th 920l SjVYb μινύθει] ἐλαττοῦται.

Th 920m BHHaQXXc μινύθει] σμικρύνεται.

Th 920n BCFdNaPPdR 1 SjVYYaYb μινύθει] σμικρύνεται, πάσχει.

Th 920o θT πάρεστιν εἰπεῖ ν· πάρεστιν ἐπ’ ἀμφοτέρων τοῦτο εἰπεῖν· ὁ μὲν βασιλικῶς ἐκβαλὼν τὸν ἀδελφόν, ὁ δὲ βασιλικῶς ἐπιστρατεύσας.

Th 922-925a

M πάρεστι δ ’ εἰπεῖ ν· πάρεστιν εἰπεῖν ἐπ’ ἀμφοτέρων, τοῦ Ἐτεοκλέους καὶ Πολυνείκους, ὅτι πολλὰ κακὰ ἔπραξαν τοῖς πολίταις, τοῖς μὲν Θηβαίοις ὁ Ἐτεοκλῆς, τοῖς δὲ Ἀργείοις ὁ Πολυνείκης, μὴ ἐναντίοι γενόμενοι εἴς τε Θηβαίους καὶ Ἀργείους.

Th 922-925b ABCHNcNdP 1 PdSjVW XaYYaYb ὅμοια ἑφθημιμερῆ ε′. [5]

Th 922-925c F pc ἀντιστροφὴ κώλων δ′.

Th 922-925d T ἡμέτερα· + πάρεστι δ ’ εἰπεῖ ν· ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχή· σιδηρόπληκτοι μὲν ὦ δ ’ ἔχουσι (911).

Th 922-925e καὶ αὕτη γὰρ κώλων ἐστὶν ὁμοίων ἐκείνοις δ′. ἐπὶ τῷ τέλει παράγραφος. T εἰπεῖν] τὸ ἄναξ.

Th 922a NaPPd ἀθλίοισιν] νεκροῖς.

Th 922b HPPd ἀντίοι γενόμενοι εἴς τε Θηβαίους καὶ Ἀργείους.

Th 923-925a M ἔβλαψαν τοὺς ἑαυτῶν πολίτας καὶ τοὺς ξένους καὶ κοινὸν κακὸν ἐγένοντο, ὁ μὲν βασιλικῶς ἐκβαλὼν τὸν ἀδελφόν, ὁ δὲ βασιλικῶς ἐπιστρατεύσας.

Th 923-925b I 1 ἐπειδή φαμεν ‘ποιῶ σοι τόδε‘ καὶ ‘ποιῶ σὲ ἠτιμωμένον‘, ἀμφότερα Αἰσχύλος ἐνταῦθα πεποίηκε, λέγων ὡς ἐποίησαν τοῖς πολίταις πολλὰ δεινὰ ἐν τῇ μάχῃ, καὶ τὰς στίχας καὶ τὰς τάξεις τῶν ξένων ἐποίησαν πολυφθόρους, Ἐτεοκλῆς μὲν τοὺς πολίτας, Πολυνείκης δὲ τοὺς σὺν αὐτῷ, ὁ μὲν ἀγαγὼν ἐνταῦθα καὶ ἀπολωλεκώς, Θηβαῖοι δὲ πολιορκίας δεινὰς ὑπομείναντες. [5]

Th 923-925c θT ἐρξάτην] ἔπραξαν.

Th 923a AAbBHHaNaPθTY ἐρξάτην] ἐποίησαν.

Th 923b CR 1 Xc πολλὰ] δεινά.

Th 923c HNaQθTYYaYb πολλὰ] δάκρυα.

Th 923d CXc πολίταις] τοῖς Θηβαίοις.

Th 923e VY στίχας] τάξεις.

Th 925a AbCI 2 LcPQR 1 TVWXcYa πολυφθόρους] μετὰ φθορᾶς ἐλθούσας.

Th 925b M πολυφθόρους] πολλὰς φθορὰς δεξαμένας.

Th 925c T δαΐ] μάχῃ.

Th 925d BDHNaPPdθTVXY δαΐ] πολέμῳ.

Th 925e ACHaPYa δαΐ] μάχαις.

Th 925f HaYb τὰ μὲν β′ ὅμοια δίμετρα ἀκατάληκτα, τὸ γ′ χοριαμβικὸν ἑφθημιμερές, τὰ ἑξῆς β′ τρίμετρα ἀκατάληκτα ὅμοια, τὸ δὲ ϛ′ τρίμετρον καταληκτικόν.

Th 926-931a F pc + δυσδαίμων σφι ν· σύστημα ἕτερον κατὰ περικοπὴν κώλων ϛ′.

Th 926-931b τὸ α′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου δ′ καὶ διτροχαίου. τὸ β′ ὅμοιον ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου τρίτου. τὸ γ′ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ βακχείου. τὸ δ′ ὅμοιον τρίμετρον ἀκατάληκτον ἐκ χοριάμβων τριῶν. τὸ ε′ ὅμοιον κατὰ πάντα. τὸ ϛ′ ὅμοιον τρίμετρον καταληκτικὸν ἐξ ὁμοίων ποδῶν καὶ ἀμφιβράχεος. ἐπὶ τῷ τέλει παράγραφος. T δυσδαίμων σφιν ἡ τεκοῦσ α· ἡ μήτηρ αὐτῶν δυστυχεστάτη ἀπὸ πασῶν γυναικῶν ὅσαι παῖδας ἐποίησαν, θεμένη καὶ ποιήσασα ἄνδρα αὐτῆς τὸν ἴδιον παῖδα, τουτέστι δυσδαίμων ὅτι ὃν ἔτεκεν ἄνδρα ἔσχεν· λέγει δὲ τὸν Οἰδίποδα ἀφ’ οὗ ἐγεννήθησαν Ἐτεοκλῆς καὶ Πολυνείκης. [5]

Th 926-929 ABCHNcNdP 1 PdSjVWXaYYaYb δυσδαίμων ὅτι ὃν ἔτεκεν ἄνδρα ἔσχεν.

Th 926a M διότι ἄνδρα ἔσχεν ὃν ἔτεκεν ὡς ἐρεῖ, καὶ ἔσχεν ἐξ ἐκείνου τοιούτους παῖδας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 926b I 1 δυσδαίμων] δυστυχεστάτη.

Th 926c ABPV δυσδαίμων] κακοδαίμων.

Th 926d CSjYb σφιν] αὐτοῖς.

Th 926e AAbBCFdHaNaPdQRaSjT σφιν] αὐτῶν.

Th 926f PR 1 XcYa τεκοῦσα] ἡ μήτηρ.

Th 926g ABPPdR 1 VXcYYa τεκοῦσα] αὐτούς.

Th 926h HQ πρὸ πασῶν] ἐπέκεινα.

Th 927a I 1 πρὸ πασῶν] παρὰ πάσας τὰς γυναῖκας.

Th 927b AbHa πρὸ πασῶν] καθόλου πασῶν.

Th 927c T τεκνογόνοι] μητέρες.

Th 928a ANaPPdXYa τεκνογόνοι] γεννήσασαι τέκνα.

Th 928b SjYb κέκληνται] καλοῦνται.

Th 928c AV κέκληνται] + ὀνομάζονται.

Th 928d T πόσιν] ἄνδρα.

Th 929a AAbBCHaNaPQSjTVYb θεμένα] ποιήσασα.

Th 929b AbBHaPR 1 SjVYb θεμένα] τὸν ἴδιον υἱὸν ἄνδρα ἑαυτῇ ποιήσασα.

Th 929c AYa θεμένα] ποιησαμένη.

Th 929d T τούσδ’ ἔτεχ’] τούτους ἐγέννησε.

Th 930a AAbBHHaNaTYa ὧδ’] ὡς ὁρῶμεν.

Th 930b θT ὧδ’] + οὕτως ὡς ὁρῶμεν.

Th 930c t ἐτελεύτησαν] ἀπέθανον.

Th 930d HaNa ὁμοσπόροισιν] ἀδελφικαῖς.

Th 931a ABHPPdQTXYa ὁμοσπόροισιν] συγγενικῶν CSj ἀντισπαστικὰ θʹ ἡμιόλια.

Th 932-940a F pc + σύστημα ἕτερον κώλων ζʹ.

Th 932-940b T ὁμόσποροι δῆτ α· σύστημα ἕτερον κατὰ περικοπὴν κώλων ζʹ.

Th 932-940c τὸ αʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ διιάμβου, διτροχαίου καὶ κρητικοῦ. τὸ βʹ ἰωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος δʹ ἀντὶ ἰωνικοῦ ἀπ’ ἐλάττονος καὶ κρητικοῦ. τὸ γʹ ὅμοιον ἐκ παίωνος δʹ καὶ ἀναπαίστου. τὸ δʹ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ βακχείου. τὸ εʹ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου πρώτου, διιάμβου καὶ συλλαβῆς. τὸ ςʹ ἰωνικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, διιάμβου καὶ συλλαβῆς. τὸ ζʹ τροχαϊκὸν ἰθυφαλλικόν. ἐπὶ τῷ τέλει παράγραφος. T ὁμόσποροι δῆτα καὶ πανώλεθρο ι· ἀληθῶς ἀδελφοὶ καὶ πανώλεθροι γεγόνασιν, ἀλλήλους διατεμόντες ἐν μαινομένῃ ἔριδι πρὸς τὸ τέλειον τῆς φιλονεικίας· ἀποθανόντων γὰρ αὐτῶν πέπαυται τὸ ἔχθος.

Th 932-940d ἐν δὲ τῇ γῇ τῇ ῥανθείσῃ τῷ αἵματι μέμικται ἡ ζωὴ αὐτῶν. ABC HNaNcNdP 1 PdSjVWXaYYaYb ὁμόσποροι δῆτα καὶ πανώλε ( θρο ι)· ἀδελφοὶ καὶ πανώλεθροι γεγόνασι, ἀλλήλους διατεμόντες ἐν μαινομένῃ ἔριδι πρὸς τῷ τέλει τῆς φιλονεικίας· ἀποθανόντων γὰρ πέπαυται τὸ ἔχθος.

Th 932-936 M ὁμόσποροι δῆτα ἀληθῶς καὶ πανωλέθριοι γεγόνασιν, ἀλλήλους διατεμόντες.

Th 932a I 1 ἀπὸ κοινοῦ τὸ ἐτελεύτησαν ἢ προσυπακουστέον τὸ ἦσαν.

Th 932b I 1 ὁμόσποροι] ἀδελφοί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 932c ABHPTVYa δῆτα] ἀληθῶς.

Th 932d BNaP διατομαῖς] κόψεσι.

Th 934a AH διατομαῖς] σφαγαῖς.

Th 934b ACNaPPdQR 1 XYa διατομαῖς] τρώσεσι, σφαγαῖς.

Th 934c θT οὐ φίλαις] ἀντὶ τοῦ ἀνάγνοις.

Th 935a BHNc οὐ φίλαις] ἀλλ’ ἐχθραῖς.

Th 935b T ἔριδι] φιλονεικίᾳ.

Th 935c BHHaNaR 1 ἔριδι] + φιλονεικίᾳ, μάχῃ.

Th 935d T μαινομένᾳ] μανικῇ.

Th 935e HaT πρὸς τὸ τέλος δὲ τῆς φιλονεικίας ἀποθεμένους καὶ τὸ μῖσος· πέπαυται γὰρ καὶ τοῦτο θανόντων αὐτῶν.

Th 936-937a I 1 ἢ καὶ οὕτως· ἐν τῇ τελευτῇ δὲ καὶ ἐν τῷ θανάτῳ πέπαυται τὸ ἔχθος καὶ τὸ μῖσος τοῦ νείκεος καὶ τῆς φιλονεικίας.

Th 936-937b P 2a νείκεος ἐν τελευτᾷ] θανόντες γὰρ πέπαυνται τοῦ φιλονεικεῖν.

Th 936-937c θT νείκεος] φιλονεικίας.

Th 936a ABFdHLcPVYa τελευτᾷ] τέλει.

Th 936b ABVYa τελευτᾷ] πρὸς τὸ τέλος.

Th 936c NaP πέπαυται] ἐπαύθη.

Th 937a CR 1 ἔχθος] τὸ μῖσος.

Th 937b AAbBCHaNa ἔχθος] τὸ πρὸς ἀλλήλους.

Th 937c θT ἐν δὲ γαίᾳ ζό α· ἡ ζωὴ αὐτῶν κέχυται ἐν τῇ φονορρύτῳ γῇ.

Th 937-940 I 1 M γαίᾳ] τῇ γῇ.

Th 937d AbBCV ζωὰ φονορρύτ ῳ· ἡ ζωὴ αὐτῶν τῇ χεομένῃ τῷ αἵματι· φόνος γὰρ τὸ αἷμα.

Th 939a V ζωὰ] αὐτῶν.

Th 939b AHI 1 NaPPdYa ζωὰ] τὸ αἷμα.

Th 939c BHXc φονορρύτῳ] αἵματι ῥανθείσῃ.

Th 939d AYYa φονορρύτῳ] τῇ ῥανθείσῃ τῷ αἵματι.

Th 939e BDV φονορρύτῳ] ἐν ᾗ τὸ αὐτῶν αἷμα ἔρρευσεν.

Th 939f θT φονορρύτῳ] + διὰ τὸ μέτρον.

Th 939g T κάρτα δ ’ εἴ ς ’ ὅμαι ( μο ι)· ὄντως ἀδελφοί εἰσι, ταῖς προαιρέσεσι τοιοῦτοι ὄντες.

Th 940a I 1 M κάρτα δ’ εἴς’ ὅμαιμοι] ἀδελφοί· ὄντως ἀδελφοί εἰσι, ταῖς προαιρέσεσι τοιοῦτοι ὄντες τῇ συμφορᾷ.

Th 940b A κάρτα δ’ εἴς’ ὅμαιμοι] ἤγουν κατὰ πάντα εἰσὶν ἀδελφοί, κατά τε τὸ γένος καὶ τύχην.

Th 940c θT 〈ὅμαιμοι〉 ] τῇ συμφορᾷ.

Th 940d M ὅμαιμοι] ἀδελφοί.

Th 940e BCHNaV ὅμαιμοι] ἀδελφοί, διότι εἰς τὸν κατ’ ἀλλήλων ὡμονόησαν φόνον.

Th 940f PPd πικρὸς λυτὴρ νεικέων ὁ πόντιο ς· χαλεπὸς καὶ πικρίας καὶ ὀδύνης αἴτιος λυτὴρ τῶν νεικέων καὶ τῶν φιλονεικιῶν τοῦ Ἐτεοκλέους καὶ Πολυνείκους ὁ ξένος σίδηρος ὁ πόντιος, ὁ ἐκ πυρὸς συθεὶς καὶ ὁρμηθεὶς θηκτὸς καὶ ἠκονημένος πικρὸς μεριστὴς τῶν χρημάτων.

Th 941-946a τὸ δὲ ἀρὰν πατρὸς τιθεὶς ἀληθ ῆ· τοῦτό φησιν ὅτι ἐπηράσατο ὁ Οἰδίπους διὰ ξιφῶν τὴν οὐσίαν αὐτῶν μερίσασθαι αὐτούς· ταύτην δὲ τὴν τοῦ Οἰδίποδος κατάραν ἐξεπλήρωσεν ὁ σίδηρος. ABB a CNcNdP 1 PdSjV WXaYYaYb ὅμοια ς′. [5]

Th 941-946b τὸ α′ τρίμετρον καταληκτικόν, τὰ δὲ ε′ ἑφθημιμερῆ. F pc + σύστημα ἕτερον κώλωνς′.

Th 941-946c T ἡμέτερα· + πικρὸς λυτή ρ· σύστημα ἕτερον κατὰ περικοπὴν κώλων ς′.

Th 941-946d τὸ α′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ διιάμβου, διτροχαίου καὶ κρητικοῦ διὰ τὴν ἀδιάφορον, ἢ δακτυλικὸν ὃ καλεῖται Φαλαίκειον. τὸ β′ τροχαϊκὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς Εὐριπίδειον. τὸ γ′ ἰαμβικὸν ἑφθημιμερές. τὸ δ′ περιοδικὸν δίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας καὶ τροχαϊκῆς καταληκτικῆς. τὸ ε′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν Φερεκράτειον ἐξ ἀντισπάστου καὶ κρητικοῦ. τὸ ς′ ὅμοιον τῷ γ′ ἰαμβικόν. ἐπὶ τῷ τέλει παράγραφος. T πικρὸς λυτὴρ νεικέ ( ω ν)· πόντιος, ὅτι οἱ Χάλυβες παράλιοί εἰσιν. [5]

Th 941-943 ἔθνος γὰρ ἐν τῷ Πόντῳ οἱ Χάλυβες ὅθεν ὁ σίδηρος. πυρὸς δὲ συθείς, ὅτι διὰ πυρὸς ἡ κατασκευή. M πικρὸς] χαλεπός.

Th 941a BYa λυτὴρ] καταλυτής.

Th 941b PPd λυτὴρ] διαχωριστής.

Th 941c NaP λυτὴρ] + διαλυτής.

Th 941d T νεικέων] φιλονεικιῶν.

Th 941e ABHaNaV πόντιον δὲ τὸν σίδηρον λέγει, ὅτι οἱ Χάλυβες παράλιοί εἰσιν, ἐν οἷς ὁ σίδηρος γίνεται.

Th 942a ἢ ὅτι ἔθνος ἐν τῷ Πόντῳ οἱ Χάλυβες, ὅθεν ὁ σίδηρος. πυρὸς δὲ συθεὶς εἶπεν, ὅτι διὰ πυρὸς ἡ κατασκευὴ τοῦ σιδήρου. AB a CNdP 1 PdSjVWXa ὁ πόντιος] παραθαλάσσιοι γὰρ οἱ Χάλυβες.

Th 942b I 1 ὁ πόντιος] ὁ ἐκ τοῦ Πόντου.

Th 942c CPR 1 T πόντιος] εἰ γὰρ οἱ Χάλυβες παράλιοι—ἐκ τούτων δὲ ὁ σίδηρος εὕρηται—καιρὸν ἂν ἔχοι καὶ τοῦτον πόντιον ξεῖνον καλεῖσθαι.

Th 942d θT ξεῖνος] φίλος.

Th 942e NaHaRa συθεὶς] ὁρμηθείς.

Th 942f ABCFdNcPQR 1 SjVYYaYb συθεὶς] τεχνουργηθείς.

Th 942g BH συθεὶς] ὁρμηθείς, ἤγουν κατασκευασθείς.

Th 942h θT θηκτὸς] ἠκονημένος.

Th 943a ABCHaNaPθTVYaYb σίδαρος] ἤγουν τὸ ξίφος.

Th 943b T κακὸς δατητά ς· πικρὸς μεριστὴς ὁ σίδηρος τῶν χρημάτων, ἐπειδὴ ἐπηράσατο διὰ ξιφῶν αὐτοὺς τὴν οὐσίαν νείμασθαι.

Th 945a I 1 M δατητὰς] μεριστής.

Th 945b AAbBCDHHaNaPPdR 1 θTVXXcYa Yb Ἄρης] σίδηρος.

Th 945c AI 1 V ἀρὰν] τὴν κατάραν.

Th 945d HaNaT πατρὸς] τοῦ Οἰδίποδος.

Th 945e AT τιθεὶς] ποιῶν.

Th 946a ABHaNaθTYb τιθεὶς] ποιήσας.

Th 946b FdHSj ὅμοια δ′.

Th 947-950a τὸ α′ τρίμετρον καταληκτικόν, τὰ δὲ γ′ ἑφθημιμερῆ. F pc + σύστημα ἕτερον κώλων δ′.

Th 947-950b T + ἔχουσι μοῖρα ν· σύστημα ἕτερον κατὰ περικοπὴν κώλων δ′.

Th 947-950c τὸ α′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ὅμοιον τῷ πρώτῳ τοῦ ἄνω συστήματος ἐκ διιάμβου, ἐπιτρίτου β′ καὶ ἀναπαίστου. τὸ β′ ἀντισπαστικὸν ἑφθημιμερὲς ἐκ διιάμβου καὶ ἀναπαίστου. τὸ γ′ ὅμοιον. τὸ δ′ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ βακχείου. ἐπὶ τῷ τέλει παράγραφος. T ἔχουσι μοῖραν] εὗρον, φησί, μοῖραν ἴσην ἤτοι τοὺς τάφους· οὗτοι γὰρ αὐτοῖς ἐξ ἴσου εἰς μοῖραν ἐδόθησαν. [5]

Th 947a AYa ἔχουσι—λαχόντες] καὶ θεοὶ γὰρ κρύψαντες ἔχουσιν (Hes.

Th 947b Op. 42) ἀντὶ τοῦ κεκρύφασιν. W ἔχουσι] ἀντὶ τοῦ ἔλαχον.

Th 947c BCDNaOPPdR 1 XXc μοῖραν] δυστυχίαν.

Th 947d BH μοῖραν] τύχην.

Th 947e CθT λαχόντες] κληρωθέντες.

Th 947f HaNa μέλεοι] ἄθλιοι.

Th 947g AAbHaNaV διοσδότων] ἐκ Διὸς δοθέντων.

Th 948a θT ἀχέων] θλίψεων.

Th 948b AHaLcNaR 1 T γᾶς πλοῦτος ἄβυσσος ἔστα ι· πολλὴ τῆς γῆς ἀφθονία ὑποκείσεται αὐτοῖς.

Th 949-950a ἢ οὕτως· ὑπὸ γῆς δὲ ὁ πολὺς πλοῦτος αὐτοῖς κέκρυπται, ἀντὶ τοῦ ἐν ἀφανείᾳ. I 1 M ὑπὸ δὲ σώματι γᾶ ς· πολλὴ τῆς γῆς ἡ ἀφθονία ὑποκείσεται αὐτοῖς.

Th 949-950b ἢ οὕτως· ὑπὸ γῆν δὲ ὁ πολὺς πλοῦτος αὐτῶν κέκρυπται, ἀντὶ τοῦ ἐν ἀφανείᾳ. ACNdP 1 PdSjVWXa τοῦτο διπλῶς νοητέον· ἢ ὅτι ἔσται αὐτοῖς ὑπὸ τῷ σώματι τῆς γῆς, ἤγουν ὑπὸ τῷ ᾍδῃ, πλοῦτος πολύς· ἢ ὁ πολὺς πλοῦτος καὶ ἡ εὐδαιμονία, δι’ ἣν οὕτως ἀθλίως ἀπώλοντο, ὑπὸ τῷ ᾍδῃ ἔσται αὐτοῖς.

Th 949-950c ἔστι δὲ ἀμφότερα κατ’ εἰρωνείαν. θT ὑπὸ] κευθμῶνι.

Th 949a NaPX ὑπαὶ] + ἤγουν κάτω, ὑπὸ γῆν.

Th 949b T πλοῦτος] αὐτῶν.

Th 950a BNc ἄβυσσος] πολύς.

Th 950b AAbBCDHHaNaR 1 θTVWXcYaYb ἔσται] αὐτοῖς.

Th 950c θT ὅμοια δέκα.

Th 951-960a τὰ μὲν δίμετρα ἀκατάληκτα, τὰ δὲ ἑφθημιμερῆ, τὰ δὲ πενθημιμερῆ, τὰ δὲ ἡμιόλια. F pc + σύστημα ἕτερον κώλων ζ′.

Th 951-960b T + ἰὼ πολλοῖ ς· σύστημα ἕτερον κατὰ περικοπὴν κώλων ζ′.

Th 951-960c τὸ α′ ἀντισπαστικὸν δίμετρον ἀκατάλκτον ἐξ ἐπιτρίτων πρώτων δύο. τὸ β′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ γ′ ὅμοιον τῷ α′ ἐξ ἀντισπάστου καὶ διτροχαίου ὃ καλεῖται Γλυκώνειον. τὸ δ′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ διιάμβου, διτροχαίου ἢ ἐπιτρίτου β′ καὶ κρητικοῦ. τὸ ε′ τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ ς′ ὅμοιον τῷ δ′ ἐξ ἐπιτρίτου τρίτου, διιάμβου καὶ κρητικοῦ. τὸ ζ′ ὅμοιον ἐκ διτροχαίου, ἐπιτρίτου τρίτου καὶ βακχείου. ἐπὶ τῷ τέλει παράγραφος. T + ἤγουν ὦ Ἐτέοκλες καὶ Πολύνεικες. [5]

Th 951a T εὐφήμως εἶπε τὸ ἐπανθήσαντε ς· ἔδει γὰρ εἰπεῖν αἰσχύναντες.

Th 951b I 1 ἐπανθήσαντες] λαμπρυνθέντες, στέψαντες τὴν γενεάν.

Th 951c BHNc ἐπανθήσαντες] κοσμήσαντες.

Th 951d XYa ἐπανθήσαντες] ἀνατραφέντες.

Th 951e

Eulogikon public reading copy · View original HTML at eulogikon.org

CXc ἐπανθήσαντες] λαμπρυνθέντες.

Th 951f AbHa ἐπανθήσαντες] + ἤγουν ἀνατραφέντες ἐν τοῖς οἴκοις.

Th 951g T ἐπανθήσαντες] + ἤγουν ἐπὶ τῷ πολλοὺς πόνους ὑπομεῖναι.

Th 951h T πόνοις] δυστυχίαις.

Th 952 θ τελευτᾷ δ ’ αἵ δ ’ ἐπηλάλαξα ν· ἐπὶ δὲ τῇ τελευτῇ τούτων ἠλάλαξαν καὶ ἤχησαν κατὰ τὸν ὀξύφωνον καὶ μεγαλόηχον νόμον αἱ ἀραὶ τοῦ Οἰδίποδος, ἀντὶ τοῦ θόρυβον καὶ θρῆνον μέγαν ἐποίησαν αἱ ἀραὶ αἱ ἐπὶ τῷ θανάτῳ τούτων, τοῦ γένους παντὸς τοῦ Οἰδίποδος οὐκέτι φέροντος τὰς συμφοράς, ἀλλ’ ἡττηθέντος αὐτῶν καὶ οἱονεὶ δεδωκότος νῶτα τοῖς κακοῖς.

Th 953-957 τῆς δὲ βλάβης τρόπαιον ἕστηκεν ἐν αἷς πύλαις ἐθείνοντο καὶ ἐτύπτοντο τοῖς ξίφεσιν οἱ ἀδελφοί—λέγει δὲ τὰς ἑβδόμας πύλας τῆς πόλεως—, καὶ τοὺς δύο ἀπωλέσασα ἡ τύχη ἐπαύθη. ABCHNcNdP 1 Pd SjVWXaYYaYb τελευτᾷ δ ’ αἵ δ ’ ἐπηλά ( λαξα ν)· ἐπὶ δὲ τῇ τελευτῇ αὐτῶν αἱ ἀραὶ ἐπηλάλαξαν.

Th 953a M οἷον νενικημένον τῇ ἀρᾷ οὐ φέρει 〈τὰσ〉 ἄτας τὸ γένος, ἀλλὰ δέδωκε νῶτα τραπὲν εἰς φυγήν.

Th 953b αὗται οὖν ἐπηλάλαξαν καὶ νικήσασαι τρόπαιον ἔστησαν πρὸς ταῖς πύλαις ἐν αἷς οἱ παῖδες ἐμάχοντο. I 1 τελευτᾷ] ἐπὶ τῇ τούτων τελευτῇ.

Th 953c AYa τελευτᾷ] ἐν τῷ τέλει.

Th 953d BT τελευτᾷ] τούτων.

Th 953e BPR 1 τελευτᾷ] ἐν τέλει, ἐν ὑστέρῳ.

Th 953f θ ὥσπερ ἐν τῷ πολέμῳ, ἐάν τινες ἀλαλαγὴν καὶ φόβον ἐμποιοῦσαν βοὴν πρὸς τοὺς αὐτῶν ἀντιπάλους ποιήσωνται, τούτοις τροπὴν ἐνεργάζονται καὶ δεῖγμα τῆς νίκης ἱστῶσι τρόπαιον, οὕτω καὶ νῦν Αἰσχύλος ποιεῖ.

Th 953-956 λέγων γὰρ πολλοῖς δεινοῖς τὸν Οἰδίποδος δόμον περιπεσεῖν, εἶθ’ ὥσπερ τινὰ δεινὸν ὁπλίτην εἰσάγει τὴν τούτου ἀράν, ἣν τοῖς παισὶ κατηράσατο, τοσοῦτον ὑπερβαλλομένην τὰ πρόσθεν δυστυχήματα ὡς παντελῆ ἐνεργάσασθαι ὄλεθρον τοῦ γένους αὐτοῦ. τὸ δὲ ἦν Ἐτεοκλῆς καὶ Πολυνείκης, οἱ δι’ αὐτὴν ἀθλίως ἀπολωλότες· τὸ δὲ ἕστακεν ἄτας τρόπαιον ἐν πύλαις διὰ τὴν δυστυχίαν λέγει καὶ τὸν θάνατον τὸν ἐν ταῖς πύλαις συμβάντα αὐτοῖς. θT αἵδ’] αἱ ἀραί.

Th 953g AbHHaNa ἐπηλάλαξαν] ἤχησαν.

Th 953h AAbBCHaNaPR 1 θTVXcYaYb ἐπηλάλαξαν] ἐφώνησαν.

Th 953i AYa ἐπηλάλαξαν] ἐπληρώθησαν.

Th 953j CXc θρηνητικός.

Th 954a M τὸν ὀξὺν νόμον] τὸν ὄρθιον καὶ εἰς μάχην παρακλητικόν, ᾧ κατὰ τῶν ἀντιπάλων χρῶνται οἱ ἐν πολέμῳ.

Th 954b θT ὀξὺν] μεγαλόηχον.

Th 954c BHPW ὀξὺν] ὀξύφωνον.

Th 954d APVWYa ὀξὺν] πολεμικόν.

Th 954e HaNaPPdQ ὀξὺ ν] τὸν ὄρθιον.

Th 954f SjTYb τετραμμένου] ἡττηθέντος, τραπέντος.

Th 954g BHNcP τετραμμένου] τραπέντος.

Th 954h ADTYa τετραμμένου] κινηθέντος.

Th 954i AbCHaNa τετραμμένου] φυγόντος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 954j θ παντρόπῳ φυγᾷ γένου ς· οἷον οὐκέτι φέρει τὰς συμφορὰς τὸ γένος, ἀλλὰ δέδωκεν νῶτα τοῖς κακοῖς, τῆς δὲ ἄτης τρόπαιον ἕστηκεν.

Th 955a Μ παντρόπῳ] πάσης τροπῆς καὶ ἥττης μεστῇ.

Th 955b θΤ γένους] τοῦ Οἰδίποδος.

Th 955c BCNaOPdXcYa ἕστακε] ἐστάθη.

Th 956a CSjYb ἄτας] βλάβης.

Th 956b AAbCHaNaRaSjVYaYb ἄτας] + ἤγουν φόνου.

Th 956c Τ τρόπαιον] ἡ νίκη.

Th 956d CNaPPd ἐν πύλαις] + ἐν αἷς ἐμάχοντο.

Th 957a Τ πύλαις] θύραις.

Th 957b BH πύλαις] ταῖς ἑβδόμαις.

Th 957c CNaP αἷς] πύλαις.

Th 957d BHaSjVYb ἐθείνοντο] ἐτύπτοντο.

Th 957e ABPVWYa ἐθείνοντο] ἐσφάττοντο.

Th 957f θ ἐθίνοντο] ἐπολέμουν.

Th 957g HaNaRb ἡμέτερα· + περισσὸν ἦν ἐνταῦθα εἰς τὸ ἐν πύλαις τὸ ἐν αἷς ἐθείνοντ ο· διὸ καὶ ἐξεβλήθη παρ’ ἐμοῦ.

Th 957h ἀλλὰ καὶ τὰ ἐν ταῖς ἀρχαῖς τοῦ συστήματος κῶλα οὕτω χρὴ γράφεσθαι ὡς διωρθώθη παρ’ ἡμῶν. εὕρηται γὰρ μόλις καὶ ἔν τινι τῶν ἄγαν παλαιῶν ἀντιγράφων οὑτωσὶ κείμενα. Τ κρατήσας] ἀπολέσασα.

Th 958a NaP κρατήσας] + ἤγουν καὶ τοὺς δύο καταβαλὼν καὶ νικήσας ἐπαύσατο.

Th 958b Τ ἔληξε] ἔπαυσεν.

Th 960a AAbBCFdHaNaR 1 VYa ἔληξε] ἐπαύσατο.

Th 960b NbSjYb ὁ δαίμων] ἡ τύχη.

Th 960c ABCHNcPR 1 Τ ὁ δαίμων] ὁ Ἄρης.

Th 960d NaP ὁ δαίμων] ἡ δυστυχία.

Th 960e AbCHaθ τὰ ἑξῆς ταῦτα ἰαμβικὰ ε′.

Th 961-965a τὰ α′ τρίμετρον, τὰ δὲ γ′ δίμετρα· τὰ γὰρ β′ πρόσωπα ἓν ποιοῦσι κῶλον. τὸ δὲ ε′ ἐφθημιμερές. F pc + σύστημα ἕτερον κώλων ς′.

Th 961-965b Τ + παισθεὶς ἔπαισα ς· σύστημα ἕτερον ἀμοιβαῖον κώλων ς′ ἰαμβικῶν.

Th 961-965c τὸ α′ πενθημιμερές. τὸ β′ δίμετρον ἀκατάληκτον τοῦ πρώτου ποδὸς χορείου. τὸ γ′ ὅμοιον τοῦ πρώτου ποδὸς ἀναπαίστου, τοῦ δὲ τρίτου χορείου. τὸ δ′ ὅμοιον τοῦ πρώτου καὶ τρίτου ποδὸς χορείου. τὸ ε′ ὅμοιον τοῦ δευτέρου ποδὸς χορείου. τὸ ς′ ὅμοιον δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, καθαρόν. ἐπὶ τῷ τέλει παράγραφος. Τ παισθεί ς· ἡ Ἀντιγόνη φησὶ πρὸς τὸν Πολυνείκην· τυφθεὶς καὶ πεσὼν ἔτυψας· φιλικῶς γὰρ διέκειτο πρὸς αὐτόν. [5]

Th 961a CNdP 1 PdSjVWXa ἡ Ἀντιγόνη καὶ ἡ Ἰσμήνη κλαίουσι τοὺς ἀδελφούς.

Th 961b Χ ὦ ἀδελφέ μου, πατάξας τὸν πατάξαντα ἀδελφόν.

Th 961c Ι 1 παισθεὶς ἔπαισας] παταχθεὶς ἐπάταξας.

Th 961d Μ παισθεὶς] ὦ Πολύνεικες.

Th 961e CHaNaPdR 1 θXcYaYb παισθεὶς] τυφθείς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Th 961f PTVX παισθεὶς] πληγείς.

Th 961g AHaNaYa ἔπαισας] ἔτυψας.

Th 961h HaNaPTVX σὺ δ ’ ἔθανε ς· ἀνηρέθησαν οὕτως· ὁ πλήξας ἐπλήγη, ὁ δὲ ἀποθανὼν ἀνελὼν τὸν ἕτερον ἀπέθανεν.

Th 961i M σὺ δ ’ ἔθανες κατακτανώ ν· οὕτως ὁ πλήξας ἐπλήγης, ὁ δὲ ἀποθανὼν ἀνελὼν τὸν ἕτερον ἀπέθανες.

Th 961k ABHNcPP 1 PdSjVWYYaYb σὺ δ ’ ἔθανε ς· φησὶ δὲ πάλιν ἡ Ἰσμήνη· σὺ δέ, ὦ Ἐτέοκλες, ὁ θανατώσας τὸν Πολυνείκην ἔθανες ὑπ’ αὐτοῦ.

Th 961l CNdP 1 PdSjVWXa ἔθανες] ὦ Ἐτέοκλες.

Th 961m AbCHaNaOPR 1 θTVXXcYaYb κατακτανὼν] φονεύσας.

Th 961n AAbBHHaNaSjTYaYb κατακτανὼν] τὸν Πολυνείκην.

Th 961o CVXXc ἔκτανες] ἐφόνευσας.

Th 962a BCHa ἔθανες] ἀπέθανες.

Th 962b AbHa μελεόπονος] ἄθλιον πόνον ἀγαγών.

Th 963a BH μελεόπονος] ἀθλιόπονος.

Th 963b NaR 1 μελεόπονος] ἤγουν μέλεα πονήσας πρὸς τὸν ἀδελφόν.

Th 963c θT μελεοπαθὴς] ἐλεεινὰ παθών.

Th 963d AYa μελεοπαθὴς] ἄθλια παθὼν παρ’ αὐτοῦ.

Th 963e θT ἴτω γόος ἴτω δά ( κρυ α)· ποτὲ πρὸς τοῦτον, ποτὲ πρὸς ἕτερον ἴτω, κοιμάσθω καὶ ὁ ἀνελὼν τὸν ἕτερον καὶ αὐτὸς προκείσεται, τουτέστι τέθνηκεν.

Th 964a M ἴτω γόος ἴτω δάκρυ α· ποτὲ πρὸς τοῦτον, ποτὲ πρὸς ἕτερον ἴτω καὶ κοιμάσθω καὶ ὁ ἀνελὼν τὸν ἕτερον καὶ αὐτὸς προκείσεται, τουτέστι τεθνήξεται.

Th 964b P 1 PdSjVWXa ἴτω 1 ] ἐλθέτω.

Th 964c BCHaNaR 1 TYa γόος] θρῆνος.

Th 964d AbBHaTV ἴτω 2 ] ἐλθέτω.

Th 964e AbBCHaT προκείσεται κατακτάς] δηλονότι νεκρός.

Th 965a M προκείσεται κατακτάς] πρόκειται, ἤγουν τέθνηκεν.

Th 965b ἢ ἄλλως· ὁ προκατακτὰς κεῖται, ἤγουν ὁ Ἐτεοκλῆς πρῶτος ἐφόνευσε τὸν Πολυνείκην. BHNcYb προκείσεται] ὁ Πολυνείκης ὁ φονεύσας.

Th 965c AYa προκείσεται] τεθνήξεται.

Th 965d R 1 V προκείσεται] προτεθήσεται νεκρός.

Th 965e θT κατακτάς] φονεύσας.

Th 965f NaPR 1 TVXc κατακτάς] φονευθείς.

Th 965g DW κατακτάς] τὸν ἀδελφόν.

Th 965h θT στροφὴ ἑτέρα κώλων ι′.

Th 966-974a T + ἡὲ ἡ ὲ· ἡ ἀμοιβαία αὕτη στροφὴ κώλων ἐστὶ ι′.

Th 966-974b τὸ α′ τροχαϊκὸν μονόμετρον. τὸ β′ ὅμοιον δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς Εὐριπίδειον. τὸ γ′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ δ′ καὶ ε′ ὅμοια καθαρά. τὸ ς′ καὶ ς′ χοριαμβικὰ ἡμιόλια ἐκ χοριάμβου καὶ πυρριχίου, ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον· εἰ δὲ βούλει, δακτυλικὰ δίμετρα καθαρά. τὸ η′, τὸ θ′ καὶ τὸ ι′ ἰαμβικὰ δίμετρα ἀκατάληκτα καθαρά, τὸ μέντοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι′ τὸν πρῶτον ἔχει πόδα ἀνάπαιστον. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ συνήθως. T μονόμετρον.

Th 966 F pc δίμετρον.

Th 967a F pc μαίνεται] ταράσσεται.

Th 967b θT γόοισι] θρήνοις.

Th 967c AAbHaTV φρήν] ἡ διάνοια.

Th 967d AAbHaNaVYa φρήν] ὁ νοῦς μου.

Th 967e T ἰαμβικοὶ τρεῖς δίμετροι.

Th 968-970 F pc στένει] στενάζει.

Th 968 AAbBHaNaTV πανδάκρυτε] πολλῶν δακρύων ἄξιε.

Th 969a AAbCHaSjTYaYb πανδάκρυτε] Πολύνεικες.

Th 969b OQR 1 σὺ] Ἐτεόκλες.

Th 970 QR 1 V πρὸς φίλου γ’ ἔφθισο] παρὰ ἀδελφοῦ ἐφθάρης.

Th 971a AYa πρὸς φίλου γ’ ἔφθισο] ἤγουν παρὰ τοῦ ἀδελφοῦ σου.

Th 971b HaX ἔφθισο] ἐφθάρης.

Th 971c AbBCHaNaQθT φίλον] ἀδελφόν.

Th 971d AAbBHaX ἔκτανες] ἐφόνευσας.

Th 971e AHaSjTVYb τροχαϊκοὶ β′ ἰθυφαλλικοί.

Th 972a F pc διπλᾶ] πάρεστι.

Th 972b DR 1 SjY λέγειν] πάρεστι.

Th 972c AbHaNaNcPPdθTXc διπλᾶ 2 ] πάρεστι.

Th 972d DP 1 ὁρᾶν] πάρεστι.

Th 972e BNa ὁρᾶν] βλέπειν.

Th 972f TV ἰαμβικὰ δίμετρα γ′.

Th 973-974 F pc ἐπειδὴ γὰρ ἔφασαν, ὡς διπλᾶ λέγειν καὶ διπλᾶ ὁρᾶν πάρεστι, διὰ τοῦτό φησιν Ἀντιγόνη καὶ αὖθις, ὅτι τάδε τὰ παρόντα κακὰ πλησίον τοιούτων γόων, τουτέστι, εἰ διπλᾶ, καὶ τοὺς περὶ αὐτῶν γόους διπλοῦς εἶναι δεῖ.

Th 973a εὕρηται δὲ καὶ ἐν παλαιῷ βιβλίῳ ἀχέω τά δ ’ ἐγγύθεν, ἤγουν ἐκ τοῦ πλησίου ταῦτα θρηνῶ, ὅπερ ἐστὶ κρεῖττον· μαρτυρεῖ δὲ καὶ τὸ ἐπαγόμενον τὸ πέλας δ ’ αἵδε ἀδελφαὶ ἀδελφεῶ ν. θT ἀχέων τοίω ν· τοῖς πάθεσιν ἀγχιστεύοντα.

Th 973b M ἀχέων] θλίψεων.

Th 973c ABYa γόων] θρήνων.

Th 973d AbHaT τοίων] μεγάλων.

Th 973e BCPPdXYYa τοίων] διπλῶν.

Th 973f θT τὰ καθ’ ἡμᾶς ἐγγύς εἰσι τῶν ἀδελφικῶν ἀχέων· διὸ καὶ ἐπάγει· πέλας ἐσμὲν τῶν ἀδελφῶν, οὐ χρόνῳ οὐ τόπῳ ἀλλὰ τῇ ὁμοιότητι τῶν δυστυχιῶν.

Th 973g I 1 τάδ’ ἐγγύθεν] ἀντὶ τοῦ οὐκ ἀλλότρια.

Th 973h MV τάδ’ ἐγγύθεν· ἀντὶ τοῦ οὐκ ἀλλότρια, ἀλλὰ τοῖς πάθεσιν ἀγχιστεύοντα.

Th 973i P 1 P 2 PdSjVWXa τάδ’ ἐγγύθεν] ἅτινα ἐγγύθεν εἰσίν.

Th 973j

Eulogikon public reading copy · View original HTML at eulogikon.org

PPd τάδ’] τὰ παρόντα κακά.

Th 973k θΤ τάδ’] ταῦτα ἅπερ λέγομεν.

Th 973l HaNa ἐγγύθεν] πλησίον.

Th 973m CFKTYa ἐγγύθεν] ἐκ τοῦ πλησίον.

Th 973n θ πέλας δ ’ αἵ δ ’ ἀδε ( λφα ί)· ἐγγὺς δὲ τῶν κακῶν καὶ ἡμεῖς αἱ ἀδελφαί ἐσμεν ὧν καὶ οἱ ἀδελφοί.

Th 974a M πέλας δ ’ αἵ δ ’ ἀδελφαὶ ἀδελφεῶ ν· ἐγγὺς δὲ τῶν κακῶν ὧν οἱ ἀδελφοὶ ἔπαθον ἐσμὲν καὶ ἡμεῖς αἱ ἀδελφαί.

Th 974b ABHNcNdP 1 PdSjV WXaYYaYb πέλας] πλησίον.

Th 974c AbT αἵδ’] ἡμεῖς.

Th 974d ABCDHNaPPdR 1 TXYYa ἀδελφεῶν] ἀδελφικῶν κακῶν.

Th 974e BNc ἀδελφεῶν] τῶν ἀδελφῶν.

Th 974f ATV ἐφύμνιον.

Th 975-977a M ἰὼ μοῖρα βαρυδότειρα μογερ ά· φεῦ, ὦ μοῖρα, βαρέα πάθη παρέχουσα, καὶ ὦ σεβασμία Οἰδίπου σκιά, σύ τε, ὦ Ἐριννύς, ὄντως μεγαλοδύναμος καὶ γενναία τις εἶ.

Th 975-977b ABHNcP 1 PdSjVWXaYYaYb + ἐφύμνιον κατὰ περικοπὴν κώλων ε′.

Th 975-977c T ἡμέτερα· + ἰὼ ἰ ώ· τὰ τοιαῦτα εἴδη καλεῖται ἐφύμνια ὡς Ἡφαιστίων (70, 12 Consbr.

Th 975-977d ) φησίν. ταύτης δὲ τῆς προσηγορίας ἔτυχεν, ἐπειδὴ ἐφύμνιόν τι εἰώθασιν ἐπάγειν οἱ ποιηταὶ ταῖς στροφαῖς. ἔστι δὲ τὰ παρόντα κατὰ σχέσιν, κώλων δὲ ε′. τὸ α′ ἰαμβικὴ βάσις. τὸ β′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον τοῦ δευτέρου ποδὸς χορείου, τοῦ δὲ τετάρτου ἀναπαίστου. τὸ γ′ ὅμοιον ἑφθημιμερὲς Εὐριπίδειον τοῦ πρώτου ποδὸς χορείου ἢ δακτύλου. τὸ δ′ ἰαμβικὸν πενθημιμερὲς τοῦ δευτέρου ποδὸς ἀναπαίστου· εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ, καὶ τροχαίου. τὸ ε′ ὅμοιον τῷ γ′ Εὐριπίδειον καθαρόν. ἐπὶ τῷ τέλει μόνη παράγραφος. T τροχαϊκὰ β′. [10]

Th 975-976 F pc βαρυδότειρα] ἡ βαρέα πάθη παρέχουσα.

Th 975a BPV βαρυδότειρα] βαρέα καὶ δυστυχῆ διδοῦσα.

Th 975b θΤ μογερὰ] θρηνήσιμε.

Th 975c PPd μογερὰ] ἀθλία.

Th 975d CNaθT ἐφθημιμερές.

Th 976a F pc Οἰδίπου σκι ά· ὁ ἀσθενὴς Οἰδίπους, ὅτι δοκεῖ νῦν οὐδὲν ὑπάρχειν.

Th 976b M περιφραστικῶς ὁ Οἰδίπους, ὅτι δοκεῖ νῦν οὐδὲν ὑπάρχειν.

Th 976c I 1 πότνια τ ’ Οἰδίπου σκι ά· σκιὰν Οἰδίποδος αὐτὸν καλεῖ τὸν Οἰδίποδα· τυφλωθεὶς γὰρ εἴδωλον εἶναι δοκεῖ καὶ οὐ τέλειος ἄνθρωπος.

Th 976d ABCHNcNdP 1 PdSjVWXaYYaYb ἤγουν ὦ Οἰδίπου, διὰ τὸ γῆρας σεβάσμιε.

Th 976e σκιὰν δὲ αὐτὸν καλεῖ διὰ τὴν τύφλωσιν ὥσπερ καὶ Εὐριπίδης (Ph. 1538) αἰθέρος εἴδωλο ν. τίνος δὲ ἕνεκα τοῦτον ἐνταῦθα καλεῖ, πρῶτον εἰποῦσα βαρυδότειρα μοῖρ α, ἔπειτα ὦ μέλαινα Ἐριννύ ς; δι’ οὐδὲν ἄλλο ἢ ὡς τῶν παρόντων κακῶν αἴτιον γεγονότα, δι’ ὧν τοῖς παισὶ κατηράσατο. θΤ πότνια] σεβασμία. [5]

Th 976f BCNaP πότνια] μεγάλη.

Th 976g PPd σκιὰ] τύφλωσις.

Th 976h

BNaPPdT σκιὰ] κατάρα.

Th 976i CXc ἰαμβικὸς τρίμετρος ἐν ἄλλῳ.

Th 977a F pc μέλαινα] ἡ μελαίνουσα ταῖς συμφοραῖς τοὺς κολαζομένους ἢ ἡ ἀφανῶς ἐπιοῦσα.

Th 977b θT μεγασθενὴς] μεγαλοδύναμος.

Th 977c BPTYa μεγασθενὴς] μεγάλα δυναμένη.

Th 977d AbCSjYb μεγασθενὴς] οὐδεὶς γὰρ τὸ σὸν ἐξέφυγε κράτος.

Th 977e θT ἀντιστροφὴ κώλων ι′.

Th 978-985a T + ἠὲ ἠ έ· ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφής ἧς ἡ ἀρχὴ ἡ αὐτή (966)· κώλων γάρ ἐστι καὶ αὕτη ὁμοίων ἐκείνοις ι′.

Th 978-985b οὕτω δὲ χρὴ γράφειν τὰ κῶλα ὡς διωρθώθη παρ’ ἡμῶν, ἵν’ οἰκείως ἔχῃ πρὸς τὰ τῆς στροφῆς. ἐπὶ τῷ τέλει παράγραφος μόνη. T τροχαϊκὰ γ′.

Th 978-979 F pc ἠὲ ἠὲ δυσθέατ α· τοῦτο ὡς πρὸς Πολυνείκη· ἐκ τῆς φυγῆς ἐπανήκοντες ἐμοὶ τῇ ἐνταῦθα μεινάσῃ ἐδείξατε ὀδύνας.

Th 978a M τοῦτο πρὸς τὸν Πολυνείκην 〈ἐκ〉 τῆς φυγῆς ἐπανήκοντα.

Th 978b I 1 ἠὲ ἠ έ· φεῦ φεῦ· τοῦτο ὡς πρὸς Πολυνείκην καὶ τοὺς μετ’ αὐτοῦ φησιν, ὅτι ἐκ τῆς φυγῆς ἐπανήκοντες ἐδείξατε βλάβας ἀφορήτους ἐμοὶ τῇ ἐνταῦθα μεινάσῃ.

Th 978c ABHNcP 1 PdSjVWXaYYaYb δίμετρον.

Th 978d F pc δυσθέατα] δυσθεώρητα.

Th 978e AB δυσθέατα] οὐκ ἀνεκτὰ ὁρᾶσθαι.

Th 978f θT πήματα] βλάβας.

Th 978g HaT τοῦτο πρὸς μόνον τὸν Πολυνείκην φυγόντα καὶ κατὰ τῆς πατρίδος ἐπενεγκόντα στρατὸν καὶ τῶν παρόντων συμφορῶν γενόμενον αἴτιον.

Th 979a θT δίμετρον.

Th 979b F pc ἐκ φυγᾶς] ἐκ τῆς τοῦ Πολυνείκους ἐκβολῆς.

Th 979c PPd ἰαμβικὰ ζ′.

Th 980-985 F pc οὐ δ ’ ἵκε θ ’ ὡς κατέκτα ( νε ν)· ὁ Ἐτεοκλῆς· πρῶτος γὰρ κατέκτανε τὸν Πολυνείκη.

Th 980a M οὐ δ ’ ἵκε θ ’ ὡς κατέκτανε ν· οὐδ’ ἵκετο καὶ ὑπέστρεψε καὶ ὄπισθεν παρεγένετο ὁ Ἐτεοκλῆς ἀφ’ οὗ τὸν Πολυνείκην ἀνήρηκε· πρῶτος γὰρ οὗτος κατέκτανε τὸν Πολυνείκην.

Th 980b ABCHNcNdP 1 PdSjVWXa YYaYb δίμετρον.

Th 980c F pc ἵκεθ’] ἦλθεν ὁ Ἐτεοκλῆς.

Th 980d BNaP ἵκεθ’] ὑπέστρεψε.

Th 980e BR 1 V ἵκεθ’] ὁ Ἐτεοκλῆς.

Th 980f DXc ἵκεθ’] ὑπέστρεψε ὄπισθεν ὁ Ἐτεοκλῆς καὶ ἐφόνευσε τὸν ἀδελφόν του.

Th 980g X ἵκεθ’] ζῶν ὁ Ἐτεοκλῆς.

Th 980h θT ὡς] ἀφ’ οὗ.

Th 980i BNaP κατέκτανε] ἐφόνευσεν.

Th 980j CHHaTV κατέκτανε] τὸν Πολυνείκην.

Th 980k BNaPθ σωθεὶς δὲ πνεῦ μ ’ ἀπώλ ( εσε ν)· σωθεὶς ἀπὸ τῆς φυγῆς ἀπώλεσεν τοῦ Ἐτεοκλέους τὸ πνεῦμα, ἢ τὸ αὐτοῦ, ὃ καὶ μᾶλλον.

Th 981a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

M ἄλλως· ἡ ἔννοια· σωθεὶς δὲ ἀπὸ τῆς φυγῆς ἀπώλεσε τοῦ Ἐτεοκλέους τὸ πνεῦμα· ὃ καὶ μᾶλλον.

Th 981b P 3 δίμετρον.

Th 981c F pc σωθεὶς] ὁ Ἐτεοκλῆς.

Th 981d BCSjYb πνεῦμ’ ἀπώλεσεν] ἤγουν τὴν ζωὴν ἔφθειρεν.

Th 981e CSjYb πνεῦμ’ ἀπώλεσεν] ἠφάνισε τὸ πνεῦμα δῆλον.

Th 981f AbHa πνεῦμ’] τὸ ἑαυτοῦ.

Th 981g I 1 πνεῦμ’] τὴν ψυχήν.

Th 981h AAbHaNaRaT τρίμετρος.

Th 982a F pc τόδ’] τὸ τούτου πνεῦμα.

Th 982b T ἐνόσφισε] ἐστέρησε.

Th 982c BCHRa ἐνόσφισε] ἐστέρησε τῆς ζωῆς.

Th 982d DXc ἐνόσφισε] ἐχώρισε.

Th 982e CR 1 ἐνόσφισε] ἀπεστέρησε τῆς ζωῆς.

Th 982f HaNa ἐνόσφισε] ἀπεστέρησε τοῦ πνεύματος.

Th 982g θT τάλαν γένος] ἄθλιόν ἐστι τὸ γένος τοῦ Οἰδίποδος.

Th 983a AbHa τάλαν] τλητικὰ πεπονθός.

Th 983b MPPd τάλαν] ἄθλιόν ἐστι.

Th 983c PθT τάλαν] ἄθλια.

Th 983d AθT πάθον] οἱ δύο ὑπ’ ἀλλήλων.

